Névnapomra kaptam az én kedves kis feleségemtől.
Kolozsvártt 1880. február. 10-én.

Dr. Gyergyai

D11 Z12

# PHYSICI ET MEDICI GRAECI

## MINORES.

D

CONGESSIT, AD FIDEM CODD. MSS. PRAESERTIM EORUM, QUOS BEATUS *DIEZIUS* CONTULERAT, VETERUMQUE EDITIONUM PARTIM EMENDAVIT PARTIM NUNC PRIMA VICE EDIDIT, COMMENTARIIS CRITICIS INDICIBUSQUE TAM RERUM QUAM VERBORUM INSTRUXIT

*IULIUS LUDOVICUS IDELER.*

VOLUMEN I.

9516
1707
58.196
28 JUN 2004

BEROLINI
TYPIS ET IMPENSIS G. REIMERI
MDCCCXLI.

1841

321.73

## Lectori benevolo S.

Haud ego is sum profecto, qui, et ipse aliquando rerum naturae tractatione et amore mirifice captus, nunc vero (ita enim cohaerent omnia, quae hominum genus aut scire cupit aut affectat se intellexisse) ad alia studia abreptus, uberem ex hisce, quae partim prima vice omnino, partim vel emendatiores vel locupletiores iam prodeunt, dissertatiunculis historiae naturali artive medicae fructum esse redundaturum affirmem. Ut vero illud praeteream argumentum, quod ab historiae dignitate potest repeti, obversatur animo meo aureum illud Heracliti apud Aristotelem effatum, qui amicos in casam furnariam, ubi forte sedebat, intrare cunctantes fidenter ut accederent exhortabatur; esse enim illic etiam loci deos immortales.

Operis huius vel Collectionis historia fere haec est. Quum quatuor et quod excurrit annis abhinc novam Meteorologicorum absolvissem editionem, quam viris eruditis non ingratam fuisse laetor, statim ad Problemata illa, quae Aristoteli tribui solent, me converti, quae situ et squalore vitiata, dudum intacta iacuerunt atque hodienum iacent. Mox intellexi, nihil prius mihi hac in re esse faciundum, quam ut Galenum et minores, qui appellari solent, medicos et physicos cum problematum illa collectione conferrem, et omnia ea eruerem, quae ad veram lectionem restituendam frugis alicuius esse possent. Quo in opere quum versarer, idque innotesceret Summo Ministerio res sacras, scholasticas et medicas per regnum Borussiae curanti, summa liberalitate mihi concessum est, ut quae Cel. *Diezius,* olim professor Regiomontanus, quem mature defunctum lugemus omnes, qui eius merita,

intelleximus, in longo illo per omnes fere Europae plagas itinere descripsit, congessit, comparavit, iam nunc meos in usus converterem omnibusque uterer iis, quae ad consilium operis mei spectarent. De quibus adminiculis, qualia nulli hucusque praesto erant critico, dicetur in peculiari dissertatione, adiuncta illa secundo huius operis volumini, quo lectores nunc ablego. Dabimus ibi catalogum codicum, quibus usi sumus, fere CC numero, maximam partem a *Diezio* collatorum, dabimus singulorum librorum, quae vocari solet, historiam literariam, dabimus denique indicem res et verba commemoratione digna vel nondum in lexicis enotata continentem.

De ordine, quem in opusculis describendis secuti sumus, hodie non disputamus, id tantummodo monere volumus, quod quasi catenam quandam conficere studuimus eiuscemodi naturae, ut libri initium praecedentis finem ulla ratione exciperet, ita ut modo libellorum auctores, modo argumenti adfinitatem, modo loquendi et disserendi genus ante oculos haberem. Attamen studui, ut qui haecce scripta perlegat, eaque plerumque fastidiosa, nonnunquam inepta etiam et insulsa, nihilo tamen secius varias propter rationes philologis medicisque commendanda, argumenti varietate a taedio abstineat. Postremi enim aevi opuscula, si ea in finem ablegassem omnia, legisset nemo: nunc vero ab hoc illove nec sine omni fructu legentur.

Iam hoc loco nihil mihi restat monendum, nisi ut Viris doctissimis, qui fautores exstitere huic operi, praesertim viro Illustrissimo *Ioanni Schulze,* sociisque illustrissimis et eruditissimis Academiae Regiae Berolinensis grates meas dicam quam maximas.

Scripsi Id. Novembribus anni MDCCCXL.

*Iulius Ludovicus Ideler.*

# INDEX OPUSCULORUM

## QUAE VOLUMEN PRIMUM COMPLECTITUR.


Pag.

I. *Ἀλεξάνδρου [Ἀφροδισιέως] ἰατρικῶν ἀπορημάτων καὶ φυσικῶν προβλημάτων τὸ Α.* . . . . . . . . . . . . 3

- - - - - - - - *τὸ Β.* . . . . . . . . . . . . 52

II. *Ἀλεξάνδρου Ἀφροδισιέως ἰατροῦ περὶ πυρετῶν.* . . 81

III. *Παλλαδίου περὶ πυρετῶν σύντομος σύνοψις.* . . . . 107

IV. *Ξενοκράτους περὶ τῆς ἀπὸ τῶν ἐνύδρων τροφῆς.* . . . . 121

V. *Ἐκ τῶν Μαρκέλλου τοῦ Σιδίτου ἰατρικῶν περὶ ἰχθύων.* 134

VI. *Ἀνδρομάχου Θηριακὴ ἀπ' ἐχιδνῶν ἡ καλουμένη Γαλήνη.* 138

VII. *Κασσίου Ἰατροσοφιστοῦ ἰατρικαὶ ἀπορίαι καὶ προβλήματα φυσικά.* . . . . . . . . . . . . . . . . . . . 144

VIII. *Θεοφυλάκτου τοῦ Σιμοκάτου διάλογος περὶ διαφορᾶς φυσικῶν ἀπορημάτων καὶ ἐπιλύσεων αὐτῶν.* . . . . . . 168

IX. *Ἐκ τῶν Σωτίωνος τῶν σποράδην περὶ ποταμῶν καὶ κρηνῶν καὶ λιμνῶν παραδοξολογουμένων.* . . . . . . . . . . 184

X. *Ἀνωνύμου (ὡς ἐνίοις δοκεῖ Ἀθηναίου) περὶ τῆς τοῦ Νείλου ἀναβάσεως.* . . . . . . . . . . . . . . . . . . 190

XI. *Ἀπολλωνίου τοῦ Δυσκόλου, Ἀλεξανδρέως γραμματικοῦ, κατεψευσμένη ἱστορία ἢ ἱστορίαι θαυμάσιαι.* . . . . . . 193

XII. *Ἀσκληπιαδῶν ὑγιεινὰ παραγγέλματα.* . . . . . . . 202

XIII. *Τοῦ σοφωτάτου Ψέλλου καὶ ὑπερτίμου πόνημα ἰατρικὸν ἄριστον δι' ἰάμβων.* . . . . . . . . . . . . . . . 203

XIV. *Ψέλλου περὶ λίθων δυνάμεων.* . . . . . . . . . . 244

XV. *Σωράνου τοῦ Ἐφεσίου περὶ σημείων καταγμάτων καὶ Βίος Ἱπποκράτου. Ἐκ τῶν τοῦ αὐτοῦ περὶ μήτρας καὶ γυναικείου αἰδοίου.* . . . . . . . . . . . . . . . . . . 248

XVI. *Θεοφίλου περὶ οὔρων βιβλίον.* . . . . . . . . . 261

*XVII. *Ἀνέκδοτα τῶν τοῦ Μανουὴλ τοῦ Φιλῆ.* . . . . . . . 284

*XVIII. *Περὶ χροιᾶς τοῦ αἵματος τοῦ ἀπὸ φλεβοτομίας ἐκ τῆς ἰατρικῆς τῶν Περσῶν.* . . . . . . . . . . . . . . 293

*XIX. *Ἀνωνύμου περὶ γεννήσεως ἀνθρώπου καὶ γονῆς.* . . . . 294

*XX. *Σκευασία ἁλατίου Λουκᾶ τοῦ ἁγίου ἀποστόλου. Ἁλάτιον σκευασθὲν ὑπὸ τῆς τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου.* 297

Pag.
*XXI. Στοῖχοι τῶν δώδεκα μηνῶν. . . . . . . . . . . . 299
*XXII. Ἑρμήνεια περὶ τῶν στοιχείων τοῦ ἀνθρώπου. . . . . 301
*XXIII. Ἀνωνύμου περὶ τῆς τοῦ κόσμου κατασκευῆς τοῦ ἀνθρώπου. 303
XXIV. Ἀλεξάνδρου Τραλλιανοῦ περὶ ἑλμίνθων. . . . . 305
XXV. Ἰωάννου τοῦ Ἀκτουαρίου περὶ ἐνεργειῶν καὶ παθῶν τοῦ ψυχικοῦ πνεύματος καὶ τῆς κατ' αὐτὸ διαίτης λόγος Α. 312
— — — — — — — — — — — — — — — — — — λόγος Β. 350
*XXVI. Ἰατρομαθηματικὰ Ἑρμοῦ τοῦ Τρισμεγίστου πρὸς Ἄμμωνα Αἰγύπτιον. . . . . . . . . . . . . . . . 387
XXVII. Θεοφίλου περὶ διαχωρημάτων. . . . . . . . . . 397
XXVIII. Ἱεροφίλου Σοφίστου περὶ τροφῶν κύκλος, ποίᾳ δεῖ χρᾶσθαι ἑκάστῳ μηνὶ καὶ ὁποίοις ἀπέχεσθαι. . . . . . 409
XXIX. Θεοδώρου τοῦ Προδρόμου στίχοι κατὰ ἰατρικὴν ἐπιστήμην εἰς τοὺς ιβ' μῆνας. . . . . . . . . . . 418
XXX. Ἀνωνύμου περὶ τοῦ αὐτοῦ στίχοι. . . . . . . . . 421
*XXXI. Ἀνωνύμου περὶ τῶν δώδεκα μηνῶν τοῦ ἐνιαυτοῦ ὁποίαις δεῖ χρῆσθαι τροφαῖς ἐνὶ ἑκάστῳ αὐτῶν καὶ ἀπὸ ποιῶν ἀπέχεσθαι. . . . . . . . . . . . . . . . . . . . 423
XXXII. Ἑρμοῦ τοῦ Τρισμεγίστου περὶ κατακλίσεως νοσούντων περιγνωστικά, ἐκ τῆς μαθηματικῆς ἐπιστήμης πρὸς Ἄμμωνα τὸν Αἰγύπτιον [ἄλλως]. . . . . . . . . 430

## CORRIGENDA.

P. 312. Ἰωάννου pro Ἰοάννου.
P. 387 l. 11 et p. 388 l. 6. Pro τῷ σχήματι lege τῷ ♂.

Quin alia nonnulla me fugerint σφάλματα plagulas corrigentem vix dubito. Precor, ut benevolus lector in memoriam sibi revocet, quid accidere soleat iis, qui Libyae peragrant deserta. Oculis enim vix credunt, quando αὐάσεων adspicere contingit palmèta, adeo adsueti arenarum vastitudini, ut animalium spectra hominumque, lassi animi deliramenta, in ipso coelo conspexisse sibi videantur.

# PHYSICI ET MEDICI GRAECI

## MINORES.

---

### VOLUMEN PRIUS.

# I.

## ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ

### ἰατρικῶν ἀπορημάτων καὶ φυσικῶν προβλημάτων

### τὸ Α.

---

Edit. Aldina fol. 1

Τῶν προβλημάτων τὰ μὲν αὐτόθεν ἐστὶ πιστὰ καὶ γνώριμα, πάσης ἀμφιβολίας καὶ ζητήσεως ἄγευστα. τίς γὰρ οἶμαι νοῦν ἔχων ἀπορήσειε, τίνος ἕνεκεν ἡ φύσις τοῖς πτηνοῖς ἐδωρήσατο πτερά; πᾶς γὰρ συνετὸς εἴποι ἄν, ὅτι θάλψεως χάριν ἀνθ' ἱματίων μὲν πρῶτον περιέβαλε, δεύτερον δὲ κάλλους ἕνεκεν. πεζοῖς δὲ ζώοις τρίχας, ἑρπετοῖς δὲ φολίδας, ἐνύδροις δὲ λεπίδας, ἢ ὄστρακα, καθάπερ τὰ ὀστρακόδερμα προσαγορευόμενα. καὶ πάλιν διὰ τί τοῖς μὲν κέρατα, τοῖς δὲ κέντρα, τοῖς δὲ ὀξεῖς ὄνυχας ἤ τι τοιοῦτον; πρὸς ἄμυναν τῶν ἀδικούντων ὥσπερ φυσικοῖς δόρασιν ἠσφαλίσατο ταῦτα. καρποὺς δὲ πάντας καὶ σπέρματα πρὸς γένεσιν καὶ διαδοχὴν τοῦ γένους κεκτημένη ἡ φύσις, λέπεσιν ἢ σώμασί τισιν ὑγροῖς ἢ ξυλώδεσιν ἢ δέρμασιν ὁμοίως ἠσφαλίσατο, καθάπερ ἐν κιβωτῷ τούτους ἀποκρύψασα πρὸς ἀποφυγὴν κρύους ἢ θάλπους ἢ ζώων τινῶν ἀδικούντων. καὶ αὐτὸ δὲ τὸ περίβλημα παντελῶς ἀχρεῖον οὐκ ἀπέλειψεν, ἀλλὰ πρὸς τροφὴν παρεσκεύασεν. αὐτὰ δὲ τὰ φυτὰ φύλλοις μὲν καὶ φλοιῷ καὶ τοῖς ὁμοίοις ἠμφίασεν ἀντὶ πτερῶν. προῄδει γὰρ ὡς ἄμετρος ψύξις ἢ θερμότης ἐδύνατο λυμήνασθαι ταῦτα. ἀκάνθαις δὲ καθώπλισεν ἀντὶ βελῶν διὰ τὴν ἀπὸ τῶν ζώων φθοράν. ἄνθεσι δὲ ποικίλοις ἐστεφάνωσε ταῦτα κόσμου καὶ κάλλους ἕνεκεν, καὶ πάλιν ὥσπερ κήρυκας προμηνύοντας τὴν τῶν καρπῶν

b προκύπτουσαν γένεσιν. ὅσοι μὲν τοιαῦτα γνωστὰ καὶ σαφῆ προτείνουσιν, ἄντικρυς δέονται νοῦ· ὅσοι δὲ διχοστατοῦσιν, εἰ σύμφυτος τῷ πυρὶ σύνεστιν ἡ θερμότης, ἁπτικῆς αἰσθήσεώς εἰσιν ἐνδεεῖς. ὅσοι δέ, πότερον φύσις καὶ λόγος προνοητικὸς προμυθεύεται τὰ ἐν γενέσει καὶ φθορᾷ, τὴν τάξιν, τὴν κίνησιν, τὴν θέσιν, τὴν διάπλασιν, τὰς χρόας, τὰ παραπλήσια, κολάσεσιν τυγχάνουσιν ἔνοχοι. τὰ δὲ ἄλυτα παντελῶς ἐστι θεῷ μόνῳ γνώριμα, τῷ καὶ τὴν τούτων οὐσίαν ὑποστήσαντι. καὶ γὰρ ὁ τεχνίτης ἔργον τι μηχανικὸν κατασκευάσας οἶδεν αὐτοῦ πάσας τῶν ἐνεργειῶν τὰς αἰτίας, ἰδιώτης δὲ παντελῶς ἄμοιρος τῶν αἰτιῶν ἐστιν. ἄποροι δὲ ζητήσεις εἰσὶν αἱ τοιαίδε· τίνος ἕνεκεν οἱ γαργαλιζόμενοι μασχάλας ἢ πέλματα ἢ πλευρὰς γελῶσιν; ἢ τίνος χάριν ἀκούοντές τινες μαρμάρων παρατριβομένων ἢ πριζομένων ἢ τρίζοντος ἢ ῥινουμένου σιδήρου τοὺς ὀδόντας εὐθέως μαρκῶσιν; ἢ διὰ τί τὴν ἀπὸ τῶν ψυχρῶν ὀπωρῶν προσγινομένην αἱμωδίαν τοῖς ὀδοῦσιν ἀνδράχνη ψυχρὰ πεφυκυῖα θεραπεύει καὶ οὐκέτι τὰ ἐναντία τῶν ἐναντίων ἰάματα, ἀλλὰ τὰ ὅμοια; ἢ διὰ τί λίθος ἡ μαγνῆτις ἕλκει μόνον τὸν σίδηρον, ὑπό τε τῶν τούτο ῥινημάτων ζωοποιεῖται ἡ λίθος, ἥ τε ἤλεκτρος λεγομένη μόνα τὰ κυρήβια καὶ τὰ κάρφη συνανασπᾷ κολλωμένη τούτοις· καὶ λέων ἀλεκτρυόνα δέδοικε μόνος· ὄρνις δὲ κατοικίδιος ᾠὸν τεκοῦσα τοῖς κάρφεσιν ἑαυτὴν ἀποκαθαίρει πανταχόσε τοῦ σώματος· ὄρτυγές τε σιτοῦνται τὸν ἐλλέβορον τοῖς ἀνθρώποις δηλητήριον ὄντα· ψᾶροι δὲ τὸ κώνειον· ἀσκαμωνία δὲ μᾶλλον χολὴν ξανθὴν ἕλκει· κολοκυνθὶς δὲ καὶ ἀγαρικὸν καὶ λευκὸς ἐλλέβορος εὐφόρβιόν τε καὶ κόκκος Κνίδιος φλέγμα. μέλας δὲ ἐλλέβορος καὶ ἐπίθυμον μέλαιναν χολήν. τινὲς δὲ ὑπὸ μὲν τῶν καθαιρόντων στεγνοῦνται τὴν κοιλίαν, ὑπὸ δὲ τῶν στελλόντων καθαίρονται μᾶλλον. καὶ ἄλλος πρὸς τήνδε πλέον ἥδεται τὴν τροφήν, ῥᾷον αὐτὴν μεταβάλλων. οὐδεὶς δὲ καὶ τὴν θαλασσίαν νάρκην ἀγνοεῖ· πῶς δὴ τῆς μηρίνθου τὸ σῶμα ναρκοῖ; τρίγλη δὲ κρατουμένη ἀντιπαθεῖ τῇ νάρκῃ. καὶ μυρίων ἂν σοι τοιού-
2 των προκαταβαλοίμην κατάλογον, πείρᾳ μόνον γινωσκομένων, ἃ παρὰ τοῖς ἰατροῖς ἰδιότητες ἄρρητοι λέγονται· τὸ

*γὰρ ἴδιον ἑκάστου προφορόμενον ἄρρητον ὑπάρχει πρὸς ἀπόδοσιν τῶν αἰτίων. κακῶς γὰρ ἔνιοι λύσεις ἀθρόας τούτων παραβάλλουσι, εὐφυρωτάτους δὲ καὶ ἀπιθάνους. φασὶ γὰρ τὰ καθαρτήρια θερμότατα τοὺς χυμοὺς ἕλκειν. ὅπερ ψεῦδος. ἔδει γὰρ πᾶν θερμὸν εἶναι καὶ καθαρτήριον· οὕτω γὰρ τὸ πέπερι θερμὸν ὂν οὐχ ἑλκτικόν ἐστιν, ἀλλὰ πεπτικὸν καὶ τονωτικόν. ὡσαύτως δὲ καὶ μαστίχη καὶ ἀλόη. φαμὲν δὲ μὴ ἀντιστρέφειν τὸν λόγον. πᾶν γὰρ καθαρτήριον θερμὸν μὲν τῇ κράσει, κενωτικὸν δὲ τῇ δυνάμει. οὐ πᾶν δὲ θερμὸν ἤδη καὶ τὴν δύναμιν καθαρτήριον. λέγουσι δὲ τὸν στρουθοκάμηλον σίδηρον πέττειν, οὐκ ἰδιότητί τινι, μᾶλλον δὲ θερμότητι· ὅπερ ἄτοπον. λέων γὰρ τούτου τοῦ ζῴου θερμότερος ὢν οὐ πέττει τὸν σίδηρον. οὐ μόνον δὲ παρὰ τοῖς ἰατροῖς ἐστιν ἰδιώματα μόνοις, ἀλλ᾽ ἤδη καὶ παρὰ φιλοσόφοις καὶ γραμματικοῖς, πάθη λεγόμενα καὶ σεσημειωμένα ταῖς χρήσεσι. χρὴ τοίνυν προβάλλειν εἰς ζήτησιν τὰ μέσην ἔχοντα χώραν, ἀμφίβολά τε πρὸς γνῶσιν, οἷά τε πρὸς λύσιν ὑποπεσεῖν. ὥσπερ γὰρ τῶν λεγομένων τὰ μέν ἐστι ψευδῆ πᾶσι γνωριζόμενα, τὰ δὲ πάντα τὴν ἀλήθειαν πρὸς ἀπόδειξιν κεκτημένα, τὰ δὲ ὡς ἂν εἴποι τις ἐξ ἀμφοτέρων κεκραμένα λεγόμενα, τὸν αὐτὸν τρόπον καὶ τῶν προβαλλομένων τὰ μέν ἐστιν εὔδηλα πᾶσι γινωσκόμενα, τὰ δὲ πάντα κεκρυμμένα λύσιν οὐχ ὑποδεχόμενα, τὰ δὲ μέσην ἔχοντα φύσιν, ὧν καὶ τὴν ἔκθεσιν ποιησόμεθα. λυτέον δὲ πᾶν πρόβλημα ἀπὸ κράσεως, ἢ διαπλάσεως, ἢ ἐνεργείας, ἢ συμπαθείας τοῦ ὁμοίου, ἢ χρώματος, ἢ κατὰ ἀπάτην αἰσθήσεως, ἢ κατὰ ὁμωνυμίαν, ἢ ἐκ τοῦ μᾶλλον καὶ ἧττον τῶν ἐνεργουσῶν δυνάμεων αὐτοῦ, ἢ καθὸ σκληρότερον ἢ μανώτερον ἢ μεῖζον ἢ ἔλαττον αὐτό φαμεν, ἢ ἀπὸ χρόνου καὶ ἡλικίας καὶ ἔθους, ἢ οὐσιώδους ἢ κατὰ συμβεβηκός, ἢ τῶν ὁμοίων καθὼς ἐν τοῖς προβλήμασιν εὑρήσεις τὰ λεγόμενα. τούτοις οὖν τοῖς κανόσι χρησάμενος πᾶν ἀπορούμενον δυνήσῃ πρὸς ἀπόδειξιν τῆς αἰτίας ἀγαγεῖν. ἐπειδὴ δὲ οὐ μόνον ἀρκεῖσθαι χρὴ τῇ καθόλου μεθόδῳ, ἀλλ᾽ ἤδη* b *τοῖς κατὰ μέρος χειραγωγεῖν τὸν διδασκόμενον, ἀρξόμεθα τῶν λύσεων.*

1. *Διὰ τί* τοὺς ἀνθρώπους ὁ Ὅμηρος πολιοκροτάφους ἐκάλεσεν; ὅτι ὡς ἐπὶ τὸ πλεῖστον ἐντεῦθεν αἱ πολιαὶ ἄρχονται τῷ εἶναι τὰ ἐμπρόσθια τῆς κεφαλῆς τῶν ὀπισθίων μᾶλλον ὑγρότερα καὶ φλεγματικώτερα. ἡ λύσις ἐκ κράσεως.

2. *Διὰ τί* [δὲ καὶ] τὰ ἐμπρόσθια τῆς κεφαλῆς [τῶν ὀπισθίων μᾶλλον ὑγρότερα καὶ φλεγματικώτερα; ἡ λύσις ἐκ κράσεως]· φαλακροῦται μόνα· διότι μαλακὰ καὶ ἀραιόπορα. τῆς οὖν τριχὸς ὑπὸ τῆς φυσικῆς ξηρότητος ἀτροφούσης, ῥᾳδίως ἐκ τούτων τῶν μερῶν ἀποπίπτει καὶ μὴ κατεχομένη στερεῶς, ὥσπερ ἐπὶ τῶν ὀπισθίων ξηροτέρων καὶ πυκνοτέρων ὄντων. ἡ δὲ φαλάκρωσις τὴν γένεσιν ἐκ ξηρότητος ἔχει. διὰ δὴ τοῦτο καὶ οἱ οὐλότριχες ὡς ξηρόκεφαλοι θᾶττον μὲν φαλακροῦνται, βράδιον δὲ πολιοῦνται, τῆς ξηρότητος ἐκδαπανώσης τὰ φλεγματώδη περιττώματα. εἰσὶ δὲ καὶ ἄγρυπνοι μᾶλλον τῶν ἄλλων. ὁ γὰρ ὕπνος ἐξ ὑγρότητος, ὡς δηλοῖ τὰ βρέφη ὑγρὰ τυγχάνοντα καὶ ὑπνώδη καὶ περιττωματικά, καὶ τὰ ὑγρὰ πάθη, καὶ οἱ οἰνοφλυγήσαντες καὶ πυκνὰ λουόμενοι. τυγχάνουσι δὲ καὶ ἧττον ἀπέριττοι τὰς ἐκροὰς τῶν περιττωμάτων, ῥῖνά φημι καὶ στόμα καὶ ὀφθαλμούς. οἱ δὲ ἁπλότριχες ὑγροκέφαλοι πεφυκότες, τὰ ἐναντία πάσχουσι, βράδιον ἢ οὐδὲ ὅλως φαλακρούμενοι, φαλακροῦνται γὰρ καὶ διὰ γένους διαδοχήν, ὥσπερ καὶ ποδάγρα καὶ ἄλλα πάθη κατὰ συγγένειαν διαδέχεται τὰ τικτόμενα. τάχιον δὲ πολιοῦνται καὶ ὑπνώδεις καὶ περιττωματικοὶ [τυγχάνουσι]. αἱ δὲ πολιαὶ λευκαί. μιμοῦνται γὰρ τοῦ γεννήσαντος φλέγματος τὴν χροιάν. ἐνιότε δὲ καὶ χρυσοειδεῖς τυγχάνουσιν, ὅταν συναναμιχθῇ ἡ λεκιθώδης χολὴ τῷ φλέγματι.

3. *Διὰ τί* οἱ γέροντες περιττωματικοὶ καὶ ἄγρυπνοι;
3 περιττωματικοὶ μὲν διότι ψυχρότεροι τῷ χρόνῳ καὶ ἀδυνατότεροι γεγονότες. καὶ ἧττον πέττονται, πολλὰ συνάγουσι περιττώματα κατὰ τοὺς πόρους. ξηροὶ μέντοι κατὰ τὰ στερεὰ σώματα πεφυκότες εἰσὶ καὶ διὰ τοῦτο ἄγρυπνοι. τὰ δὲ βρέφη ὑγρὰ τοῖς πόροις τε καὶ τοῖς στερεοῖς σώμασιν ὑπάρχει.

4. *Διὰ τί* τὰ παιδία ὑγρὰ ὄντα καὶ περιττωματικὰ

*πολιὰς οὐκ ἀναφέρει; ὅτι ὑγρὰ καὶ θερμὰ τυγχάνουσι· τὸ μέντοι φλέγμα ὑγρὸν καὶ ψυχρόν. ἄλλως τε καὶ τὸ βρέγμα τῆς κεφαλῆς ἔχει δερματῶδες καὶ ἀραιοπόρον. καὶ διαφορεῖ τὰ περιττώματα. τῷ χρόνῳ γὰρ σκληρύνεται καὶ ὀστῶδες γίνεται πυκνότερον. ὅθεν καὶ ῥαφὰς αὐτῷ δέδωκεν ἡ φύσις ὕστερον, πρὸς τὸ διαφορεῖν ἐκεῖθεν τὰ ἀτμώδη περιττώματα. [ἡ λύσις ἐκ κράσεως καὶ κατασκευῆς σωμάτων.]*

5. *Διὰ τί αἱ γυναῖκες καὶ οἱ εὐνοῦχοι ταχέως πολιοῦνται; αἱ γυναῖκες μὲν ὡς φύσει ψυχραί· καὶ ὑπὸ τῆς ἀργίας δὲ περιττώματα συνάγουσι πλείονα, καὶ μάλιστα τῶν καταμηνίων ἐκλελοιπότων. εὐνοῦχοί γε τῷ μηκέτι τὸ σπέρμα ἐκκρίνειν, ἀλλ' ἔχειν τὸ περίττωμα τὸ γεννητικὸν τοῦ σπέρματος συναναδιδόμενον τῷ αἵματι καθ' ὅλον τὸ σῶμα, ὅπερ ἐστὶ φλεγματῶδες.*

6. *Διὰ τί δὲ καὶ ἄτριχες; γυναῖκες μὲν ὡς ψυχραὶ πυκνοὺς ἔχουσι τοὺς πόρους τοῦ σώματος· τὸ γὰρ ψυχρὸν πιλητικόν· καὶ οὐκ ἔχουσιν ὁδὸν αἱ τρίχες πρὸς ἔξοδον. καὶ εὐνοῦχοι δὲ ὡς ὑγροὶ καὶ περιττωματικοὶ σφόδρα. τούτῳ γὰρ τῷ λόγῳ καὶ τὰ κάθυγρα χωρία βοτάνας οὐ βλαστάνει, οὔτε μὴν τὰ ἄγαν ξηρὰ καὶ πετρώδη ἐοικότα ταῖς φαλακρώσεσι.*

7. *Διὰ τί τῶν εὐνούχων ὡς ἐπὶ τὸ πλεῖστον οἱ πόδες διαστρέφονται; ὅτι ὑπὸ τῆς εἰρημένης πολλῆς ὑγρότητος ἔχουσι τὰ μόρια διάβροχα σφόδρα καὶ μαλακά, διὰ τοῦτο δὲ καὶ ἀσθενῆ· τὸ οὖν ὑποκείμενον βάρος τοῦ σώματος τὰ σκέλη μὴ φέροντα στρεβλοῦνται. οὕτω γὰρ καὶ καλάμῳ, ἐὰν ἐπιθῇς βάρος κάμπτεται. ὅτι δὲ τὸ μὲν σκληρὸν καὶ ξηρὸν ἰσχυρὸν καὶ πρὸς ἐνέργειαν μᾶλλον ἀντέχει, τὸ δὲ ὑγρὸν καὶ μαλακὸν εὐθενὲς πρὸς ἐνέργειαν, δηλοῖ καὶ ξύλα καὶ δέρματα καὶ σχοινία. δηλοῦσι δὲ καὶ ἄνθρωποι. ὑπὸ γὰρ λουτρῶν καὶ ποτῶν πλειόνων ἀσθενέστεροι πρὸς ἐνέργειαν, ὑπὸ δὲ εὐταξίας συμμέτρως ξηρανθέντες, εὐσθενεῖς εἰσι πρὸς ἔργον. ὅθεν εὐνοῦχοι μὲν καὶ γυναικώδεις ἀσθενεῖς· ἴσως δὲ καὶ οἰνόφλυγες, ὡς φλεγματωδέστεροι. ψυχροὶ γὰρ γινόμενοι τὸ ἐναντίον ἀντεισάγειν ποθοῦσιν· οἶνος δὲ θερμὸς φύσει. Αἰθίοπες δέ, ὡς ξηρότεροι, οὐλότριχες, ἰσχνοί, μυώδεις, ἰσχυροὶ πρὸς ἔργον.*

8. *Διὰ τί δὲ καὶ ὀξύφωνοι; πάλιν γὰρ ἡ πλείων ὑγρότης παχύνουσα τὴν τραχεῖαν ἀρτηρίαν αὐτῶν ἀποστενοῖ καὶ τὸ πνεῦμα διὰ στενῶν τόπων διαβαῖνον ὀξυφωνίαν ποιεῖ, διὰ δὲ εὐρυτέρων ὡς ἐπὶ ἀνδρῶν μεγαλοφωνίαν· εἰκόνα δὲ λάμβανε τῶν αὐλῶν τὰς ὀπάς· ὅτι δὲ πλείστης ὑγρότητός εἰσιν ἔμπλεοι, δῆλον ἐκ τοῦ καὶ ἁδρύνεσθαι καὶ μαστοὺς γυναικώδεις ποιεῖν, καὶ βλέφαρα οἰδαλέα καὶ ἁπλότριχες καὶ πολιώδεις.*

9. *Διὰ τί ἔνιοι τῶν εὐνούχων ποσῶς ἀφροδισίων ὀρέγονται καὶ ἐρῶσί ποτε; ὅτι πολὺ παρὰ τὸ ἡβάσκειν ὠρχοτομήθησαν ἢ ἐθλάσθησαν καὶ ὥσπερ ἡμιτελεῖς εἰσιν εὐνοῦχοι. καὶ οἱ φύσει δὲ θερμότεροι τὸ ἧπαρ καὶ τὰ σπερματικὰ ἀγγεῖα μεγάλα ἔχοντες, οἵ τινες φαντάζονται μὲν τὴν χρῆσιν, οὐκ ἐνεργοῦσι δὲ τὴν ἐπιθυμίαν, διότι τὸ αἰδοῖον αὐτὸ μὲν ἀπεμαράνθη. τὸ γὰρ οἰδίσκον πνεῦμα συνεχῶς ἐκλέλοιπεν, ὅπερ ὑπὸ τοῦ σπέρματος ἐτίκτετο. καὶ διὰ τῶν σπερματικῶν πόρων ἐφύετο ἐκ τῶν περὶ τὰ ἰσχία μερῶν. ὡς ἐπὶ παιδίων δὲ τετύφλωνται αὐτῶν οἱ σπερματικοὶ πόροι συμπεσόντες.*

10. *Διὰ τί ἐν παντὶ τόπῳ τετριχωμένῳ πολιὰς ποιοῦμεν, ἐν δὲ μασχάλαις οὐκέτι; ὅτι ὁ τόπος θερμός· ἀρτηριώδης γὰρ καὶ φλεβώδης. ἄλλως τε καὶ ἀραιοπόρος ὢν διαφορεῖ συνεχῶς τὰ φλεγματώδη περιττώματα. δηλοῖ δὲ τοῦτο τὸ συνεχῶς ἱδροῦν αὐτάς.*

11. *Διὰ τί ἔνιοι αἰδούμενοι ἱδρῶσι τὰς μασχάλας; ὅτι μᾶλλον ἀραιοπόροι. ἡ φύσις γὰρ ἀποστρεφομένη τὸ τιμῆς ἢ εὐλαβείας ἄξιον μετρίως φεύγει σὺν τῷ αἵματι εἰς τὰς μεγίστας φλέβας καὶ ἀρτηρίας. καὶ αὗται πληρούμεναι ἀπο-*
4 *στάζουσιν. οἱ δὲ χαιρόμενοι τῷ διαχαλᾶσθαι καὶ ἀραιοῦσθαι, πλεῖστον δὲ τὰς μασχάλας, [ταὐτὸ τοῦτο πάσχουσιν].*

12. *Διὰ τί οἱ φοβούμενοι ὠχροί εἰσιν; ὅτι ἡ ἡμετέρα φύσις καὶ ἡ προνοουμένη τοῦ σώματος δύναμις δέει τοῦ μὴ παθεῖν τι περὶ τῶν ἐκτός, ὥσπερ καὶ ἡμεῖς ἐν οἴκοις ἀποφεύγομεν, καὶ αὐτὴ φεύγει σφόδρα πρὸς τὸ βάθος τοῦ σώματος ἀσφαλείας χάριν. συνέλκει δὲ μεθ' ἑαυτῆς τὸ αἷμα, ᾧ κέχρηται τροφῇ καὶ ὀχήματι, ὡς καὶ χρηστῷ μόνῳ χυμῷ· τοῦτο δὲ ἦν τὸ ῥοδίζον τὸ δέρμα καὶ ἐρυθριαῖνον.*

13. *Διὰ τί καὶ τρέμουσιν;* ὅτι καὶ ἡ ψυχικὴ δύναμις κατὰ συμπάθειαν τῆς φύσεως φεύγουσα τὰ νεῦρα καταλιμπάνει, ἅπερ ἐφύλαττον τὰ ἄτρομα μόρια. διὰ τοῦτο δὲ καὶ ἀποπατοῦσι καὶ οὐροῦσιν ἀπροαιρέτως. οἱ γὰρ κλείοντες τοὺς πόρους τῶν περιττωμάτων μύες νῦν ἀσθενοῦντες ἀφιᾶσι τὰ περιττά.

14. *Διὰ τί οἱ χαίροντες ἐρυθριῶσιν;* ὅτι ἡ φύσις αὐτοδιδάκτως τῷ ἥδοντι προτρέπει κατὰ τὸ ἐκτὸς ὄντι, καθάπερ ἡμεῖς φίλῳ ἢ τέκνῳ. συνέπεται δὲ τὸ αἷμα ταύτῃ. μεμαθήκαμεν δὲ τοῦτο ῥοδίζειν τὸ δέρμα τῷ ἰδίῳ χρώματι. οἱ δ' ὠχριῶντες διὰ τὸ ἐναντίον [τὸ ἐναντίον πάσχουσι].

15. *Διὰ τί οἱ αἰδούμενοι ἐρυθριῶσιν;* ὅτι ἡ φύσις αὐτοδιδάκτως τινὶ συνειδήσει τὸ τιμῆς ἄξιον αἰσχυνομένη, καθάπερ εὐγενὴς κόρη, μετρίως ὑποστέλλεται πρὸς τὸ βάθος καὶ ἐντὸς τοῦ σώματος. τοῦ αἵματος τοίνυν συγκρινομένου καὶ χεομένου, τὸ δέρμα βάπτεται τῷ τοῦ αἵματος χρώματι. οἱ δέ φασιν, ὅτι ὥσπερ αὐτὸ προβάλλεται σκέπης ἕνεκεν. οὕτω γὰρ καὶ τὴν χεῖρα φυσικῶς τῷ προσώπῳ προφέρουσιν.

16. *Διὰ τί ἔνιοι φοβηθέντες ἀπέθανον;* ὅτι φεύγουσα λίαν ἡ φυσικὴ δύναμις εἰς τὸ βάθος μετὰ τοῦ αἵματος τὸ ἔμφυτον θερμὸν καὶ ζωτικὸν τὸ παρὰ τῆς καρδίας γενόμενον ἀθρόως καταβαπτίζει καὶ σβέννυσι καὶ φθορὰν ἐπάγει. τούτῳ γὰρ τῷ λόγῳ καὶ τὸ ἔλαιον πολύ τε καὶ ἀθρόως ἐπιβαλλόμενον λυχνιαίᾳ φλογὶ σβέννυσιν αὐτήν. ἀναλογεῖ δὲ τὸ ἐκ καρδίας θερμὸν λυχνιαίᾳ φλογί. καὶ οἱ ἀμέτρως δὲ ὀδυνώμενοι ἀπέθανον τῷ αὐτῷ λόγῳ. ἀπόλλυται γὰρ ἡ b ἐκτὸς κίνησις τοῦ ἐμφύτου θερμοῦ, καθάπερ καὶ τὸ πῦρ ἐπιπωματιζόμενον σβέννυται.

17. *Διὰ τί πολλοὶ τῶν οἰνοφλυγησάντων ἀπέθανον;* ὅτι πάλιν τὸ πλῆθος τοῦ οἴνου τὴν φυσικὴν καὶ τὴν ζωτικὴν δύναμιν καὶ θερμότητα καταβαπτίζει. πάσχουσι δὲ τοῦτο μάλιστα, ὅσοι τὸ ἔμφυτον θερμὸν ὀλίγον καὶ ἀσθενὲς ἔχουσι, τὸ πολὺ γὰρ καὶ ἰσχυρὸν ἀντέχειν μᾶλλον δύναται, καὶ τῷ χρόνῳ πέττει τὸ πλῆθος. καθάπερ καὶ ἡ πλείων φλὸξ φέρει πλείονα τοῦ ἐλαίου τὴν ἐπίχυσιν.

18. *Διὰ τί οἱ γέροντες τρέμουσιν;* ὅτι τὰ νεῦρα πά-

λιν τῶν ψυχικῶν δυνάμεων καὶ οἱ μύες τῶν μορίων μὴ δεχόμενοι τὴν ἀρκοῦσαν δύναμιν κινητικὴν οὐκ ἀντέχουσιν ὁμοίως βαστάζειν τὸ βάρος τοῦ σώματος. γίνεται δὲ τρόμος τῷ ἕλκειν ἐπὶ τὸ κάτω τὸ βάρος τοῦ σώματος τὸ μόριον, τὴν δὲ ψυχικὴν δύναμιν ἐπὶ τὸ ἄνω. καὶ τοῦτο κατὰ διαδοχὴν καὶ συνεχῶς γινόμενον τὸν τρόμον ποιεῖ. ὅθεν λοιπὸν ἐπὶ κάτω νεύουσιν ἐπὶ γῆν σπεύδοντες, ὅπου καὶ φύσις βιάζεται. ὅθεν καὶ βακτηρίαις ἑαυτοὺς καθάπερ τοίχους παλαιοὺς ἀντὶ ξύλων στηρίζουσι. διὰ τοῦτον τὸν λόγον τῆς ἀσθενείας τῶν δυνάμεων, ἀπροαιρέτως ἐξίασι σκύβαλον καὶ οὖρον.

19. *Διὰ τί οἱ λυπούμενοι ὠχριῶσιν;* ὅτι πᾶσα ἡ φύσις ὑπομιμνησκομένη τοῦ ἀνιαροῦ, κατ' ὀλίγον συννεύει πρὸς τὸ βάθος μετὰ τοῦ ῥοδίζοντος αἵματος τὸ δέρμα· ἧττον μέντοι τῶν φοβουμένων [ὠχριῶσιν].

20. *Διὰ τί οἱ χαιρόμενοι ἀθρόως καὶ σφοδρῶς, ποτὲ καὶ ἐκλύονται;* τῷ τὴν ζωτικὴν δύναμιν καὶ τὸ ἔμφυτον θερμὸν ἀμέτρως ἔξω φερόμενον πρὸς τὸ ἦδος διαφορεῖσθαι καὶ ἀπόλλυσθαι. ὅθεν καὶ ἱδροῦσι καὶ ἐρυθριῶσι διὰ τὴν παρουσίαν τοῦ αἵματος. τὸ γὰρ ἔμφυτον θερμὸν καὶ αὐτὸ τὸ πῦρ τῇ μὲν θερμότητι καὶ τῇ φύσει τοῦ οἰκείου τόπου ἐπὶ τὸ ἄνω κινεῖται. πάλιν δὲ διὰ τὴν ὄρεξιν τῆς τροφῆς ἐπὶ τὸ κάτω. ὁποτέρα τοίνυν τῶν κινήσεων ἀπόλλυται διαφθείρει τοῦτο.

21. *Διὰ τί οἱ λυπούμενοι καὶ οἱ ἐρῶντες καὶ οἱ ὀργιζόμενοι στενάζουσι μέγα καὶ συνεχῶς;* ὅτι οἱ μὲν λυπούμενοι πρὸς τὸ λυπῆσαν ἔχουσι τὴν ψυχὴν ἐστραμμένην, οἱ δὲ ποθοῦντες πρὸς τὸ ποθούμενον, οἱ δὲ χολῶντες πρὸς τὸ τὴν ὀργὴν κινῆσαν αὐτοῖς. ἡ ψυχὴ τοίνυν ἐστραμμένη πρὸς τὸ κινῆσαν αὐτὴν ἀμελεῖ καὶ ὥσπερ ἐπιλανθάνεται χορηγεῖν τοῖς τοῦ θώρακος μυσὶ τὴν κινητικὴν δύναμιν. ἡ καρδία τοίνυν μήτε τῇ διαστροφῇ τοῦ θώρακος εἰςδεχομένη τὸν ἀέρα καὶ ῥιπιζομένη καὶ ἐψυχομένη μήτε διὰ τῆς συστολῆς ἐκκρίνουσα τὰ λιγνυώδη περιττώματα, ἅπερ ἡ ἐξ αἵματος ἔκκαυσις ἐ γ έ ν ν η σ ε, δέει τοῦ μὴ πνιγμὸν παρακολουθῆσαι, τὴν ψυχὴν ἀναγκάζει καὶ ὑπομιμνήσκει πλείστην τοῖς μυσὶν ἐπιχορηγεῖν κίνησιν καὶ ποιεῖν μεί-

*ζονα τὴν εἰσπνοὴν καὶ ἐκπνοὴν πρὸς τὸ καὶ πλῆθος ἀέρος ψυχροῦ λαβεῖν καὶ πλῆθος ἐκκενοῦν τῶν περιττωμάτων, ἵν', ὅπερ ἔμελλον αἱ μικραὶ καὶ συνεχεῖς ἀναπνοαὶ ποιεῖν, τοῦτο μία ποιήσῃ μείζων. καὶ τοῦτα καλεῖται στενάζειν παρὰ τοῖς παλαιοῖς παρὰ τὴν στενοχωρίαν τῆς καρδίας. καὶ στένουσι διά τινος χρόνου μέγα. καὶ τοῦτο ποιοῦσι πολλάκις τῷ τὴν ψυχὴν ἀπεστράφθαι μὲν ἀεὶ πρὸς τὸ κινῆσαν αὐτήν, τὴν δὲ φύσιν ἀναγκάζειν ποτὲ διὰ τὴν καρδίαν ἐπιπέμπειν πλείονα δύναμιν κινητικὴν τοῖς μυσὶ τοῦ θώρακος. ὅπερ δὲ ἐν θώρακι ἀναπνοή, τοῦτο ἐν σώματι διαπνοὴ διὰ τῶν ἀρτηρίων. καὶ ἔοικε τῇ μὲν εἰσπνοῇ ἡ διαστολή, τῇ δὲ ἐκπνοῇ ἡ συστολή. συστολῆς δὲ καὶ διαστολῆς σφυγμὸς κατηγορεῖται.*

22. *Διὰ τί ὁ ἴσικος δύσπεπτος; ὅτι κοῦφος ὢν ἐμπλέει ἐν τῇ ὑγρᾷ τροφῇ κατὰ μέσον καὶ οὐκ ὁμιλεῖ τῷ σώματι αὐτῆς, δι' ἧς ὁμιλίας ἡ πέψις γίνεται. καὶ παρὰ τὸν οἰσοφάγον δὲ πλεονάζει, [οὗ] ἡ ὄρεξις ἔργον καὶ οὐ πέψις. ἐκτὸς δὲ εἰς ὕδωρ ἐμπλέει μὴ βυθιζόμενον, ὅτι ἐν τῇ τρίψει τῶν κρεῶν ἐναπολαμβάνεται πνεῦμα κοῦφον, ὅπερ μετεωρίζει τὸ σῶμα τοῖς ὑγροῖς ἐπινήχεσθαι. διὰ τοῦτο δὲ καὶ χαῦνός ἐστι τῇ μετοχῇ τοῦ πνεύματος.*

23. *Διὰ τί τοῖς κνηστιῶσι τὸ ἄγαν ζέον φίλον; ὅτι τὸ* b
*μὲν ποιοῦν τὸν κνησμὸν φλέγμα παχὺ καὶ ψυχρὸν ὄν, δυσαίσθητον ἀποτελεῖ τὸ δέρμα.*

24. *Διὰ τί δὲ καὶ ἥδονται ἐν τοῖς λουτροῖς κνηστιῶντες; ὅτι ἡ θερμότης χέει τὸ φλέγμα· καὶ οἱ ὄνυχες διαφοροῦσι.*

25. *Διὰ τί δὲ καὶ τὰ νῶτα μάλιστα κνηστιῶσιν; ὅτι τὰ μέρη ταῦτα ψυχρότερα τῶν ἐμπροσθίων ὄντα πλέον φλέγμα ἔχει· ὅθεν καὶ γέρουσιν ὡς ψυχροῖς μᾶλλον τὸ πάθος πλεονάζει.*

26. *Διὰ τί οἱ βραχεῖς τῷ σώματι τῶν μακρῶν φρονιμώτεροι ὡς ἐπὶ τὸ πλεῖστόν εἰσιν; ὅτι συνέσφιγκται αὐτοῖς καὶ συγκεκρότηται ἡ ψυχὴ ἐν ὅλῳ τῷ σώματι. ἐπὶ δὲ τῶν εὐμεγεθῶν εἰς μῆκος ἐπεκτεινομένη ἐκλύεται. διὸ καὶ Ὅμηρος Ὀδυσσέα μὲν βραχὺν καὶ φρόνιμον λέγει, Αἴαντα δὲ μακρὸν καὶ μωρότερον. τὸν δὲ τρόπον [τοῦτον] ἰσχυροὶ μᾶλλον οἱ ἐλάσσονες τῶν μειζόνων.*

27. *Διὰ τί οἱ ἧττον φρόνιμοι μετεωρίζονται περιπατοῦντες; ὅτι ὥσπερ κυβερνήτης μὴ ἄγαν ἐρρωμένος οὐκ ἐπ' εὐθείας ἄγει τὸ σκάφος, οὕτως καὶ ἡ σαθροτέρα ψυχὴ τὸ σῶμα.*

28. *Διὰ τί πολλοὶ μωροὶ φρονίμους ἄγαν τίκτουσι, πολλοὶ δὲ ἄγαν φρόνιμοι μωροτέρους; ὅτι οἱ μωρότεροι ἐν τῇ συνουσίᾳ νικώμενοι σφοδρᾷ τῇ ἡδονῇ ἔχουσι τὴν ψυχὴν ἄγαν βεβαπτισμένην τῷ σώματι, καὶ διὰ τοῦτο τὸ σπέρμα πλείστης μετέχον δυνάμεως λογιστικῆς καὶ φυσικῆς τὰ ὑπ' αὐτοῦ τικτόμενα φρονιμώτερα ποιεῖ. ἐπὶ μέντοι τῶν φρονίμων καὶ μάλιστα τῶν πεπαιδευμένων, ἀεὶ τὸ φρονοῦν καὶ ἐν τῇ συνουσίᾳ λογιζόμενόν τινα τῶν ἐκτὸς ἀναγκαίων καὶ μετεωριζόμενον ἔχει τὸ σπέρμα κατιὸν ἄμοιρον πλείστης ψυχικῆς δυνάμεως. ἔνθεν λυτέον, διὰ τί οἱ μωροὶ καὶ ἀπαίδευτοι τῷ σώματι εὐσθενεῖς τίκτουσι μᾶλλον, οἱ δὲ πεπαιδευμένοι ἀσθενεῖς.*

29. *Διὰ τί τῶν ἀγρίων ζώων ἡ κόπρος ἧττον δυσώδης ἐστί; διότι καὶ ξηροτέρᾳ καὶ ἀπέπτῳ κέχρηται τροφῇ καὶ* 6 *γυμνάζεται πλέον. ἡ δὲ τῶν δορκῶν καὶ τινων ζώων κόπρος ἀρωματίζει ποσῶς. ἡ μέντοι τῶν ἀνθρώπων ὑπὲρ πάντα τὰ ζῷα δυσώδης ἐστίν, ὅτι καὶ ποικίλῃ καὶ ὑγρᾷ χρῶνται τροφῇ καὶ πλέον τοῦ κόρου παρὰ καιρὸν μὴ δεόμενοι καὶ ἀγυμναστότεροι καὶ ἧττον τῶν ἀλόγων θερμότεροι. μὴ πεττομένη τοίνυν τελείως καὶ τῷ πλήθει μὴ διαπνεομένη ποσῶς σηπομένη δυσώδης ἐστίν.*

30. *Διὰ τί τὸ σίνηπι καὶ τὸ πέπερι καὶ πάντα τὰ δριμέα ἐπιτιθέμενα μὲν τῷ δέρματι ἕλκουσιν αὐτό, καταπινόμενα δὲ οὐκέτι τὴν κοιλίαν ἕλκουσι; διότι φθάνουσι μεταβληθῆναι καὶ πεφθῆναι πρὶν δράσωσι, καὶ ὅτι ἐκλύεται ἡ δριμύτης τῇ πολλῇ τῆς κοιλίας ὑγρότητι. ἄλλως τε ἐν τῇ ἐπιθέσει τὸ δέρμα καὶ τῇ πυκνότητι δίδωσι καιρὸν πρὸς τὸ δρᾶν τοῖς δριμέσι καὶ τὸ ἀσθενὲς δέ. τὸ δὲ βάθος καὶ ἀραιοπόρον καὶ ἰσχυρὸν μᾶλλον.*

31. *Διὰ τί δὲ οἱ λυπούμενοι καὶ οἱ χαιρόμενοι γελῶντες δακρύουσιν; οἱ μὲν λυπούμενοι τῇ πυκνότητι τῶν ἐν ὀφθαλμοῖς πόρων ἐκθλίβουσι τὸ ἐν αὐτοῖς ὑγρόν· ἡ λύπη γὰρ ψύξιν καὶ πύκνωσιν ἐργάζεται τῶν πόρων· οἱ δὲ*

χαιρόμενοι τὸ ἐναντίον τῇ ἀραιότητι τῶν πόρων ἐκχέουσι τὰ ὑγρά. ἐπί τινων δὲ στενοπόρων ὀφθαλμῶν οὐ γίνεται τὸ δάκρυον ἐπ' ἀμφοτέρων.

32. Διὰ τί τοῖς λυπουμένοις ὠχρὸν γίνεται τὸ ἐπιπολῆς; τῷ τὴν φύσιν μετὰ τοῦ αἵματος εἰς τὸ βάθος συννεύειν, ὡς ἐμάθομεν. ὅπερ ἦν θερμαῖνον καὶ ἀραιοῦν τὴν ἐπιφάνειαν.

33. Διὰ τί τοῖς οὐροῦσι παρέπεται πολλάκις καὶ φῦσαν ἐκκρίνειν; ὅτι ἡ οὐροδόχος κύστις τοῦ οὔρου πεπληρωμένη ὀγκοῦται καὶ θλίβει καὶ ῥενοῖ τὸ ἀπευθυσμένον ἔντερον. νῦν οὖν ἐν τῇ ἐκκενώσει χαυνούμενον δίδωσι καιρὸν πρὸς διέξοδον τῷ ἐναπολαμβανομένῳ πνεύματι ἐν τοῖς ἐντέροις. οἱ δέ φασιν, ὅτι καὶ συμπάθειά τίς ἐστι τῶν μορίων πρὸς τὴν ἀπόκρισιν.

34. Διὰ τί οἱ βλέποντες χασμωμένους χασμῶνται; διὰ τὸ τὴν φύσιν ὁμοιοπαθῆ καὶ συμπάσχειν τῶν ζώων, πλέον δὲ τῶν ἀλόγων· οὕτω γὰρ ἑνὸς οὐροῦντος ὄνου καὶ οἱ λοιποὶ συνεξουροῦσιν αὐτῷ πεπληρωμένοι οὔρων. b

35. Διὰ τὶ ὁ ὀφθαλμιῶν τῷ ὑγιαίνοντι μεταδίδωσι τοῦ πάθους, οὐκέτι μὴν ὁ ὑγιαίνων τῷ πάσχοντι μεταδίδωσι τῆς ὑγείας; τῷ εἶναι τοὺς ὀφθαλμοὺς ὑγροὺς καὶ μαλακοὺς καὶ εὐπαθεῖς, ἔτι γε μὴν καὶ τῆς ὑγείας ἐκ συμμέτρου κράσεως οὔσης, τῆς δὲ νόσου ἐξ ἀμέτρου δυσκρασίας· τὸ οὖν σύμμετρον ῥᾶον ὑπὸ τοῦ ἀμέτρου μεταβάλλεται καὶ τρέπεται, ἤπερ τοὐναντίον. οὐκοῦν ἡ ὀφθαλμία δυσκρασία τις ἄμετρος οὖσα τὴν ὑγείαν τρέπει θᾶττον, οὖσαν εὐκρασίαν σύμμετρον. ἔγνωμεν δὲ τὴν τροπὴν γίνεσθαι διὰ τὴν φυσικὴν τῶν σωμάτων συμπάθειαν.

36. Διά τί τὸ νόμισμα καὶ τὸ μῆλον ἐν ὕδατι μείζονα ἑαυτῶν φαίνεται; ὅτι τὸ ὁμιλοῦν αὐτοῖς ὕδωρ [ποιούμενον] τὴν χρόαν αὐτῶν ἀναδέχεται καὶ τὴν ὄψιν ἀπατᾷ, ὡς μειζόνων αὐτῶν ὄντων. τούτῳ γὰρ τῷ λόγῳ καὶ ἥλιος καὶ σελήνη καὶ οἱ πλανῆται περὶ τὸν ἀνατολικὸν ἢ δυτικὸν ὁρίζοντα τυγχάνοντες μείζονες νομίζονται τῷ σώματι τῷ τὸν περὶ αὐτῶν ἀέρα ποιεῖσθαι.

37. Διά τί τὰ τετράγωνα πόρρωθεν στρογγύλα νομίζονται; τῷ τὴν ὄψιν μὴ σθένουσαν μακρόθεν ὁρᾶν τὰς

γωνίας ὡς ὀξείας, μὴ βλέπειν αὐτὰς τῇ ἀγνοίᾳ. τούτων δὲ ὑπεξαιρουμένων κατὰ ἀπάτην τῆς ὄψεως τὸ λοιπὸν σῶμα στρογγύλον φαίνεσθαι, τοῦτο γίνεται κατὰ ἀπάτην τῆς ὄψεως, [ὥσπερ] καὶ ἡ κεκλασμένη κώπη ἐν ὕδατι.

38. *Διὰ τί ξύλου τυπουμένου πόρρωθεν ὁρῶμεν τὴν πληγὴν εὐθέως, τὸν δὲ κτύπον βράδιον, καίπερ ἅμα τῇ πληγῇ τοῦ κτύπου γινομένου.* ὅτι τὴν ὄψιν κεκτήμεθα τῆς ἀκοῆς λεπτομερεστέραν καὶ ὀξυτέραν. προλαμβάνει τοίνυν κατὰ τὸν χρόνον ὡς ὀξυτέραν τὴν πληγὴν ὄψις, ἡ δὲ ἀκοή, ὡς παχυμερεστέρα βράδιον τῆς πληγῆς ἀντιλαμβάνει. τῷ λόγῳ γὰρ ἀρχὴν τούτῳ λυτέον, ὅτι καὶ ἐπὶ τῆς παρατρίψεως τῶν νεφῶν ἐν χειμῶνι, πληγῆς τικτομένης τῆς λεγομένης βροντῆς καὶ ἐκπυρώσεως λεγομένης ἀστραπῆς, ὡς ἐπὶ πυρ-
7 εκβόλων, πρῶτον ὁρῶμεν τὴν ἀστραπήν, εἶθ' οὕτως ὕστερον ἀκούομεν τῆς βροντῆς, καίπερ τῆς πληγῆς πρῶτον τῆς ἀστραπῆς τὴν βροντὴν ἀποτελούσης ἢ ἅμα. κἀνταῦθα τοίνυν ἡ ὄψις προλαμβάνουσα τὴν ἀκοήν, ὡς λεπτομερεστέρα, πρώτη τὴν ἀστραπὴν ὁρᾷ, εἶθ' οὕτως ὕστερον ἡ ἀκοὴ τῆς βροντῆς αἰσθάνεται ὡς παχυμερεστέρα καὶ βραδεῖα πρὸς ἀντίληψιν.

39. *Διὰ τί τῆς μὲν ὄψεως γυμνῆς οὔσης, τοῦ δὲ παντὸς σώματος ἠμφιεσμένου ἐν κρύει σφοδρῷ τὸ μὲν σῶμα πᾶν ῥιγοῦμεν, τὸ δὲ πρόσωπον οὐδόλως;* διὰ τὸ ἔθος· εἴθισε γὰρ ἡ ὄψις ἀεὶ τῷ ἀέρι προσομιλεῖν. ᾧ δ' ἂν ᾖ γυμνὴ τυγχάνουσα, μέγα δὲ πέφυκεν ὅπλον πρὸς δυσπάθειαν ἡ συνήθεια.

40. *Διὰ τί ἡ ξανθὴ δι' ὅλου τοῦ βίου παραμένουσα χιτῶνι, τῇ λεγομένῃ κύστει χοληδόχῳ, λίαν εὐπαθεῖ, οὐδ' ἀναβιβρώσκει τοῦτον, κατασκήπτουσα δὲ τῷ ὀδόντι βραχὺν χρόνον, σώματι δυσπαθεστάτῳ, παραχρῆμα τὴν διάβρωσιν ἐργάζεται;* φημὶ διὰ τὸ παρὰ φύσεως ὡρίσθαι κατοικεῖν αὐτὴν ἐν ἐκείνῳ τῷ σώματι μόνῳ καὶ διὰ τοῦτο μηδὲν αὐτὴν λυμαίνεσθαι. μέγα γὰρ φάρμακον κωλυτικὸν ἀνίας ὄνομα τῆς φύσεως· καὶ μυρίων ἄλλων παραδείγματα δύναμαί σοι λέγειν. ἐν μήτρᾳ δεκαμηνιαῖον βρέφος βραδὺ παραμένει μηδεμίαν αἴσθησιν βάρους παρέχον τῇ κυοφορούσῃ, πνεῦμα δὲ κοῦφον ἐνσκῆψαν εἰς αὐτὴν ὀδύνην ἐρ-

*γάζεται παραχρῆμα, τάσιν καὶ βάρος ἀφόρητον ἐμποιοῦν. τραχεῖα ἀρτηρία πνεύματός ἐστι δοχεῖον μόνον, καὶ ἐὰν ψὶξ ἢ ποτὸν εἰς αὐτὴν παραδράμῃ, πνιγμὸς ἕπεται καὶ βὴξ σύντονος. ἡ γὰρ φύσις οὐχ ὥρισε τοῦτο γενέσθαι κἂν ἐπ' ὀλίγον ἀδύνατα.*

41. *Διὰ τί τῶν λουομένων οἱ μὲν εἰσιόντες διψώδεις ἐξίασιν ἄδιψοι, οἱ δὲ τοὐναντίον; ὅσοι μὲν ξηρότεροι διψῶντες, ὑπὸ τοῦ λουτροῦ ὑγραινόμενοι γίνονται ἄδιψοι (ἡ δίψη γὰρ ἀπὸ ξηρότητος), καὶ μάλιστα ἐὰν μὴ διαφορηθῶσιν ὑπὸ τοῦ ξηροῦ θόλου· ὅσοι δὲ ὑγρότεροι καὶ ἄδιψοί εἰσιν, ἐγχρονίσαντες καὶ μάλιστα ἐν ἀέρι σφόδρα θερμῷ καὶ τῷ ξηρῷ θόλῳ [ἐὰν] διαφορηθῶσι τὴν ὑγρότητα διὰ* b *τῶν ἱδρώτων διψώδεις ἀποτελοῦνται.*

42. *Διὰ τί τῶν ἐσθιόντων ῥάφανον οἱ μὲν δυσώδες ἐρεύγονται, οἱ δὲ οὐ δυσώδες; φαμὲν ὅσων μὲν ἡ κοιλία καὶ ὁ στόμαχος ἀπέριττός ἐστι μοχθηρῶν χυμῶν καὶ μάλιστα φλεγματωδῶν ἡ ἐρυγὴ καθαρά· ὅσων δὲ πεπλήρωται, δυσώδης ἐστί, τῷ τὴν ῥάφανον θερμὴν καὶ τμητικὴν χυμῶν καὶ λεπτύνουσαν αὐτοὺς κινεῖν ἐκ τῶν χυμῶν τὰ πνεύματα, καὶ ταῦτα δι' ἐρυγῶν κενοῦν διὰ στόματος. οὕτω γὰρ καὶ βόρβορος ἡσυχάζων μὲν οὐκ ἀναπέμπει δυσωδίαν, ὑπὸ δέ τινος κινούμενος καὶ ταρασσόμενος ἀναπέμπει. ὅσοι δέ φασιν αὐτὴν τὴν ῥάφανον μοχθηρᾶς εἶναι φύσεως καὶ δυσώδους ποιότητος, ἐκ τοῦ καὶ ἐκτὸς αὐτὴν χρονίζουσαν δυσώδη γίνεσθαι, σφάλλονται. πάντας γὰρ ἔδει τοὺς προσενεγκαμένους αὐτὴν δυσώδη ἐρεύγεσθαι.*

43. *Διὰ τί ἐν τῷ ἄκρῳ κρύει οἱ δάκτυλοι καὶ τὰ ἄκρα τοῦ σώματος μελαίνεται καὶ ἀποπίπτει; ὅτι ἡ ἄκρα ψῦξις ἀπελαύνει καὶ ἀποκλείει τὸ ἔμφυτον θερμὸν εἰς τὸ βάθος τοῦ σώματος· καὶ λοιπὸν τὰ ἄκρα, ἀποτυχόντα τῆς ζωτικῆς δυνάμεως καὶ θερμότητος, πρῶτον μὲν πελιδνοῦνται, εἶτα μελαίνονται, καὶ ἐκκρούονται. καὶ ἀποπίπτει δὲ τῷ τὴν φύσιν μὲν προνοουμένην τοῦ λοιποῦ σώματος παρασφίγγειν μὲν εἰς αὐτὴν τὸ ὑγιές, τὸ δὲ νεκρὸν ἀφιεῖσαν ἀπορρίπτειν. τὰ δὲ ἄκρα μάλιστα πάσχει τῷ εἶναι αὐτὰ μὴ ἄγαν σαρκώδη καὶ ἧττον θερμά. οὕτω γὰρ καὶ τῶν φυτῶν ταῦτα χειμῶνος φυλορροεῖ, ὅσα καὶ ἧττον θερμὰ*

καὶ ἀσθενῆ καὶ ἀραιότερα. ὅσοι δὲ λέγουσιν, ὅτι ἐξ ἀρχῆς μὲν τὸ ἔμφυτον θερμὸν φεύγει τὸ ψυχρὸν ὡς ἐναντίον εἰς τὸ βάθος, συναθροισθὲν δὲ καὶ ὥσπερ ἀνακτησάμενον ἑαυτὸ κάτεισι πάλιν εἰς τὰ μόρια μετὰ πλήθους ἀθρόως πρὸς ἐπικουρίαν, καὶ τῇ ἀθροότητι καὶ τῷ πλήθει τοῦ θερμοῦ καίει τὰ ἄκρα τῶν μορίων (ἐκεῖ γὰρ ἱσταμένη μᾶλλον συνάγεται), ψευδολογοῦσι.

44. *Διὰ τί οἱ ψυγέντες τὰ ἄκρα καὶ προσάγοντες πυρὶ πρὸς τὸ θερμαίνειν, ὀδυνῶνται σφόδρα;* φημὶ ὅτι τῇ ἀθρόᾳ μεταβολῇ τῆς ποιότητος. ἀπὸ γὰρ πλείονος ψύξεως εἰς πλείονα πάλιν μεταβάλλουσιν αὐτὰ θερμότητα. πᾶν δὲ τὸ ἀμέτρως καὶ ἀθρόως γινόμενον κατὰ δυσκρασίαν λυπεῖ τὴν φύσιν, κατὰ δὲ εὐκρασίαν καὶ συμμετρίαν καὶ εἰς τὸ κατὰ φύσιν ἀθρόως μεταβαλλόμενον εὐφραίνει σφόδρα τὴν φύσιν. ἔχει γὰρ ἐν συμμετρίᾳ κρᾶσιν τὴν ὕπαρξιν τὸ ἀνθρώπου σῶμα μᾶλλον τῶν ἄλλων ζώων.

45. *Διὰ τί οἱ προσενεγκάμενοι πέπερι [καὶ ἄρτον μείζονα] λύζουσι;* φημὶ ὅτι ἀναλογεῖ τοῖς κἀπὶ τῶν ἐκτὸς βασταζομένοις καὶ λυποῦσι, τὸ μὲν πέπερι καὶ ἡ ξανθὴ χυλὴ ταῖς ἀκάνθαις, τὸ δὲ φλέγμα καὶ ὁ ἄρτος λίθῳ βαρυτάτῳ. ὅσοι τὸ στόμα τῆς γαστρὸς ἔχουσιν ἄπεπτον καὶ εὐαίσθητον καὶ θερμόν, οὗτοι ταχέως ὑπὸ τῆς δριμύτητος τοῦ πεπέρεως δακνόμενοι διεγείρουσι τὸν στόμαχον πρὸς ἔκκρισιν καὶ δίωξιν τοῦ λυποῦντος καὶ ποιοῦσι τὸν λεγόμενον λύγγα. ὅσοι δ' εἰσὶ στόμαχον φλεγματικώτεροι καὶ δυσαίσθητοι καὶ ψυχρότεροι, βραδέως λύζουσι. πάσχουσι δὲ αὐτὸ καὶ οἱ ἀθρόως μέγιστον ἄρτον καταπιόντες τῷ πλήθει καὶ τῷ μεγέθει τοῦ ἄρτου βαρυνόμενοι. οὐκ ἀνέχεται γὰρ τῶν μορίων ἡ φύσις ἠρεμεῖν, ὅταν παρῇ τι τὸ λυμαινόμενον. τὸ μὲν οὖν πέπερι ποιότητι δριμείᾳ ποιεῖ κατὰ ἀναλογίαν καὶ τῆς ἔνδον νυττούσης χολῆς, ὁ δὲ ἄρτος ποσότητι βαρῶν, καθὼς καὶ πλῆθος φλέγματος ἔνδοθεν βαρῦνον, λυγμὸν ποιεῖ.

46. *Διὰ τί ἐν τοῖς ὄνυξι τῶν δακτύλων τὰ συνιστάμενα πάθη σφοδρὰν τὴν ὀδύνην ἐργάζεται;* ὅτι τὰ νεῦρα κατιόντα ἐν τοῖς πέλμασι τῶν δακτύλων ἐκ τῶν οἰκείων περιττωμάτων ποιεῖ τοὺς ὄνυχας, ὥσπερ καὶ τοὺς ὀδόντας

ἐν τοῖς οὔλοις. ἐπειδὴ τοίνυν ἡ διὰ τῶν νεύρων αἰσθητικὴ δύναμις κατιοῦσα πρὸς τοῖς ἄκροις τῶν νεύρων ἱσταμένη κἀκεῖσε συναγομένη πλεῖον γίνεται, καθάπερ καὶ ὕδωρ συρρέον εἰς μισγάγγειαν, δῆλον ὡς μᾶλλον αἰσθανομένη τοῦ πάθους μᾶλλον καὶ ὀδυνήσεται.

47. Διὰ τί ἐπὶ τῶν ἀθρόως καταπιόντων ἄρτον μείζονα καὶ λυζόντων ἡ τοῦ πνεύματος κατοχὴ λύει τὸν λυγμόν; φημὶ ὅτι ὁ στόμαχος παράκειται τῇ τραχείᾳ ἀρτηρίᾳ καὶ λοιπὸν αὐτὴ τὸν στόμαχον θλίβουσα καὶ στενοχωροῦσα ποιεῖ εἰς αὐτὸν ἐσφηνωμένον ψωμὸν ἐκθλίβεσθαι κατὰ τὴν γαστέρα. καὶ οὕτος ἐλευθερούμενος ἀπὸ τοῦ βάρους b παύει τὸν λυγμόν.

48. Διὰ τί οἱ λύζοντες ὑπὸ ἄρτου ἀκούσαντές τι λυπηρόν, οὐ λύζουσιν; ὅτι τὴν ψυχὴν ἔχουσιν ἐστραμμένην καὶ νεύουσαν πρὸς τὸ λυπῆσαν αἴτιον, καὶ ἀμελοῦσαν τοῦ κινεῖν τὸν θώρακα. πάλιν οὖν τὸ πνεῦμα μὴ ἐξιὸν καὶ συναγόμενον τῷ πλήθει τὸν λυγμὸν λύει, ὡς ἐμάθομεν.

49. Διὰ τί ἐπὶ τῶν εἰκόνων πλησίον μὲν ἑστηκότες ἰσόπεδα τὰ χρώματα βλέπομεν, πόρρωθεν δὲ τὰ μὲν κοῖλα τὰ δὲ κυρτά; λέγω ὅτι ἡ ὀπτικὴ δύναμις ἐπὶ πολὺ διάστημα ἐκτεινομένη καὶ ἐκλυομένη οὐ δύναται ἀκριβῶς ὁρᾶν τὰ πάθη τῶν χρωμάτων, τὰ λευκὰ ὁρῶσα κυρτά, τὰ δὲ μελάντερα κοῖλα. τὸ μὲν γὰρ λευκὸν πλησιάζον τῷ λαμπρῷ ἐπὶ τὰ ἔξω λάμπει, τὸ δὲ μέλαν ὡς σκοτεινὸν ἐπὶ τὰ ἐντός. τῶν δὲ τεχνῶν αἱ μὲν μετασχηματίζουσι τὴν ὕλην, ὡς ὅταν ὁ ἀνδριαντοποιὸς τὸν χαλκὸν ἵππον ἢ βοῦν ἤ τι τοιοῦτον ζῷον χωνεύσας ἢ ἐλάσας, πλάσῃ ἄνθρωπον ἢ ἕτερόν τι σκεῦος, ἀπὸ εἴδους εἰς εἶδος μεταβαλὼν τὴν ὕλην τοῦ χαλκοῦ· αἱ δὲ προσθέσει, ὡς κηροῦ πλάστης ἢ πηλοποιός· αἱ δὲ ἀφαιρέσει, καθώς τις γλύφων ποιεῖ τι ζῷον· αἱ δὲ κατὰ σύνθεσιν καὶ παράθεσιν καὶ κόλλησιν, ὡς οἰκοδομική, ναυπηγική, ὑφαντική, τεκτονική. τὰ δὲ ἀλλοιώσει κράσεως γίνεται καὶ διὰ βάθους· ὡς ἡ φύσις ἐκ σπέρματος ζῷα [γεννᾷ]. τὰ δὲ ἐξ ἀλλοιώσεως καὶ κράσεως καὶ προσθέσεως σώματος, ὡς ἡ φύσις τὰ μόρια αὔξει τρέφουσα· τὰ δὲ μίξει χρωμάτων καὶ προσθέσει σωμάτων, ὡς [τὰ] ζωγραφικά.

50. *Διὰ τί, εἰ τὸ ψυχρὸν ὕδωρ τοῖς νεύροις πολέμιον, τὸ θερμὸν μὴ φίλον, ἀλλὰ καὶ αὐτὸ πολέμιον; εἰ γὰρ τόδε τι βλαβερόν, τὸ ἐναντίον αὐτῷ ὠφέλιμον· τὰ γὰρ ἐναντία ἐπὶ τὸ αὐτὸ οὐ δύνανται ἐνεργεῖν ὁμοίως κατὰ πρῶτον λόγον καὶ καθ' αὐτό. φημὶ ὅτι οὐχ ᾗ θερμὸν πολέμιον ἁπλῶς, ἀλλ' ᾗ θερμὸν καὶ ὑγρόν. ἐπὶ δὲ τῶν νευροτρώτων τὰ νεῦρα διὰ τὴν πολλὴν αἴσθησιν πόνου καὶ στύψεως δέεται· ξηρὰ γὰρ φύσει. ἡ δὲ ὑγρότης ὡς ἐναντία μαλακύνει καὶ χαυνοῖ αὐτὰ καὶ σήπει. ὅτι δὲ οὐ κυρίως τὸ θερμὸν βλαβερόν, δῆλον· τὸ γὰρ θερμὸν ἔλαιον καταντλούμενον ὠφέλιμον τῷ μετέχειν καὶ στύφειν.*

9 51. *Διὰ τί ἀεὶ αἱ ὀπῶραι βλαβεραὶ τῷ εἶναι αὐτὰς ψυχρὰς καὶ ὑγράς, μὴ τὸ ὕδωρ τῆς αὐτῆς ὂν κράσεως; λέγω ὅτι τὸ ὕδωρ λεπτομερέστερον ὂν τῶν ὀπωρῶν καὶ ταχέως ἀναδεδόμενον οὐχ ὁμοίως ἀδικεῖ. ἄλλως τε καὶ τονοῖ μετρίως τὰ μόρια.*

52. *Διὰ τί τὰ δύσπεπτα καὶ παχύχυμα πολλοὶ ῥᾷον πέττουσιν, ὡς πετραίους ἰχθύας; οἱ μέν φασι δι' ἔθος, οἱ δὲ διά τινα ἕξιν φυσικὴν ἄρρητον καὶ ἀναιτιολόγητον. ἄλλοι δέ φασι δι' ἄμετρον θερμότητα κοιλίας, τὰ μὲν εὔπεπτα ὑπερπεττόμενα ὡς εὐμετάβλητα, ὑπὸ τῆς σφοδρᾶς πυρώσεως φρύττεσθαι καὶ φθείρεσθαι, τὰ δὲ δύσπεπτα καὶ δυσμετάβλητα μὴ ἄγαν μεταβαλλόμενα πέττεσθαι μόνον. οὕτω γὰρ καὶ τὰ ἄχυρα ὡς εὐπαθῆ ὑπὸ πλείονος πυρὸς ἐκτεφροῦται, δρυϊνα δὲ ξύλα τοῦτο οὐχ ὑπομένει καιόμενα.*

53. *Διὰ τί τὸ κρίθινον ἄλευρον ψυχρὸν ὂν διαφορεῖ τὰς φλεγμονάς, εἴ γε τὸ ψυχρὸν πυκνώτερον καὶ δυσδιαφόρητόν ἐστι; φημὶ ὅτι οὐ τῷ ψύχειν διαφορεῖ, ἀλλὰ τῷ ῥύπτειν. μετέχει γὰρ ῥυπτικῆς δυνάμεως καὶ τμητικῆς τῶν χυμῶν· καὶ ἄλλα δὲ πολλὰ εἴδη ἐστίν, ἅ τινα τὸ ἐναντίον αὐτῶν δρᾷ οὐ κατὰ πρῶτον λόγον καὶ καθ' ἑαυτὸ καὶ κυρίως, ἀλλὰ κατὰ δεύτερον καὶ κατὰ συμβεβηκός· οἷον τὸ σέλινον θερμὸν ὂν μειοῖ πυρετόν, οὐ τῷ θερμὸν εἶναι (τὸ γὰρ ὅμοιον αὐξητικὸν τῶν ὁμοίων), ἀλλὰ τῷ ῥύπτειν τοὺς νοσοποιοὺς χυμοὺς ἐκ τῶν φλεβῶν καὶ εἶναι διουρητικόν. ὁμοίως ἶρις καὶ ὕσσωπος συμβάλλεται πλευρίτιδι θερμὰ τυγχάνοντα τῷ τέμνειν τοὺς ἐργαζομένους χυμοὺς τὴν*

φλεγμονὴν τοῦ ὑπεζωκότος τὰς πλευρὰς εἶναι μόνον. καὶ τὸ ψυχρὸν ὕδωρ παραχυθὲν διεφόρησε τὸν ἀπὸ τῶν γλίσχρων καὶ ψυχρῶν χυμῶν τέτανον οὐ κυρίως, ἀλλὰ κατὰ συμβεβηκὸς διὰ μέσου τινός, λέγω δὲ τῆς ἐναποκλεισθείσης θερμότητος. ἐὰν μὲν οὖν ἀφ' ἑαυτοῦ καὶ ἀμέσως ποιῇ, κυρίως λέγεται καὶ κατὰ πρῶτον λόγον ποιεῖν, ἐὰν δὲ διὰ μέσου τινὸς ἐνεργῇ καὶ μὴ ἀφ' ἑαυτοῦ κατὰ συμβεβηκὸς ἐνεργεῖν λέγεται καὶ κατὰ δεύτερον λόγον. b

54. *Διὰ τί πρὸ μὲν τοῦ εἰσόδου τοῦ βαλανείου θερμὸν οὐροῦμεν, εἰς δὲ τὸ βαλανεῖον χρονίσαντες, ψυχρόν;* φημί, ὅτι περ κατὰ σύγκρισιν ἄλλου τοῦτο γίνεται· τὸ μὲν γὰρ οὖρον ἀληθῶς χλιαρᾶς ὑπάρχει κράσεως, ἐξαιρουμένου καὶ μετρίως θερμῆς. ἔξω μὲν οὖν, ἐπειδὴ ψυχρὸν ἡμῶν ἐστι τὸ σῶμα τὸ ἐξαιρούμενον ὡς πρὸς σύγκρισιν τοῦ σώματος θερμόν ἐστιν. ἐν δὲ τῷ λουτρῷ ἐπειδὴ τὸ σῶμα θερμαίνεται πλεῖον τοῦ οὔρου, ψυχρὸν τὸ οὖρον φαίνεται, καίτοι ποσῶς θερμὸν ὄν. ὅτι δὲ ἀληθὲς τὸ λεγόμενον, εἰσιὼν εἰς λουτρόν, πρὶν θερμανθῆναι, ἐὰν εἰς θερμὴν δεξαμενὴν κατέλθῃ τις, τὸ θερμὸν ὕδωρ δόξειεν αὐτῷ πάνυ ζέον· ἐὰν δὲ προσθερμανθεὶς εἰσέλθῃ οὐχ ὁμοίως αὐτῷ φανήσεται ζέον.

55. *Διὰ τί ἔν τισι τόποις παραθαλαττίοις σκάπτοντες εὑρίσκομεν ὕδωρ γλυκύ;* φαμέν, [ὅτι] ἐν τῇ θαλάττῃ τὸ μὲν λεπτομερέστερον ὕδωρ γλυκὺ τυγχάνει, τὸ δὲ παχυμερέστερον ἁλμυρόν. τὸ λεπτομερέστερον οὖν καὶ γλυκὺ διὰ τῶν πόρων τῆς γῆς διηθούμενον εἰς αὐτὴν κρύπτεται, ὅπερ καὶ ὀρύττοντες εὑρίσκομεν. τοῦτο καὶ ἐν χειμῶνι μετεωριζόμενον εἰς ἀέρα ὕδωρ γλυκὺ καὶ ὑέτιον γίνεται, τὸ δὲ πανὺ ξηραινόμενον καὶ ἀπολιθούμενον ἅλες. ἐπὶ δὲ τῶν ἀραιοπόρων αἰγιαλῶν τὸ εὑρισκόμενον ὕδωρ ἁλμυρόν ἐστι. διηθεῖται γὰρ τὸ παχύτερον τῆς θαλάσσης ὕδωρ.

56. *Διὰ τί τὸ φρεατιαῖον ὕδωρ ἐν χειμῶνι θερμόν ἐστιν, ἐν δὲ τῷ θέρει ψυχρόν;* ἐροῦμεν, ὅτι ἀεὶ τὸ ἐναντίον ὡς πολέμιον φεύγει τὸ ἐναντίον. ἐπειδὴ τοίνυν τὸ θερμὸν τῷ ψυχρῷ ἐναντίον καὶ φθαρτικόν, δῆλον ὡς ἐν τῷ θέρει θερμότητος περιεχούσης τὸν ἀέρα τὸ ψυχρὸν φεύγει εἰς τὸ βάθος τῆς γῆς καὶ διὰ τοῦτο ψύχει τὸ ὕδωρ·

ἐν δὲ τῷ χειμῶνι τοῦ ψυχροῦ ἐπικρατοῦντος ἐν τῷ ἀέρι πάλιν τὸ θερμὸν ἐν τῷ βάθει φεῦγον θερμαίνει τὸ ὕδωρ· τὰ δ' ἐναντία κατὰ τὸν αὐτὸν τρόπον καὶ χρόνον οὐκ ἐνομοθέτησεν ἡ φύσις ἅμα μένειν.

57. *Διὰ τί ἐν τῇ Αἰγύπτῳ θερμοτάτῃ οὔσῃ τίκτεται ψυχρὸς οἶνος;* διὰ τὸν αὐτὸν λόγον· πάλιν γὰρ περὶ τὰς
10 ῥίζας φεύγει τῶν ἀμπέλων καὶ ψύχει αὐτάς, ὡς εὐπαθεῖς μᾶλλον τῶν ἄλλων φυτῶν.

58. *Διὰ τί τὸ θερμαινόμενον ὕδωρ καὶ εἰς φρέαρ χαλώμενον ψυχρότατον ὕδωρ ποιεῖ;* ὅτι τὸ ἐν τῷ φρέατι ψυχρὸν ἀντιμαχόμενον τῷ θερμῷ ὕδατι καὶ τῷ πλήθει τῆς ψυχρότητος ἐπικρατοῦν αὐτοῦ διώκει τὸ θερμὸν ἀθρόως, καὶ μετὰ πολλῆς ψυχρότητος διέρχεται διὰ τοῦ θερμαίνοντος ὕδατος καὶ οὕτως ἄγαν αὐτὸ ψύχει.

59. *Διὰ τί τὸ ζωΰφιον ἐν τῷ ὀφθαλμῷ προσπεσὸν ἔξεισιν, ἐὰν τὸν ἕτερον τῶν ὀφθαλμῶν μύσωμεν;* ἐροῦμεν, ὡς τὸ πνεῦμα τὸ ὀπτικὸν οὐκέτι ἐξιὸν διὰ τοῦ μύοντος, ὡς ἐμάθομεν, ἀλλὰ συναγόμενον τῷ πλήθει ἐπὶ τὸν ἠνεωγμένον ἐρχόμενον πληροῖ αὐτὸν καὶ διογκοῖ καὶ προπετέστερον ἐπὶ τὰ ἔξω ποιεῖ. καὶ οὕτως διώκεται καὶ ἐξωθεῖται τὸ ἐμπεσόν, ὡς ἀσθενές. ἴσως δὲ καὶ αὐτὸ τὸ ἐρχόμενον πνεῦμα τῇ ἀθροότητι διὰ τῶν πόρων τοῦ ὀφθαλμοῦ ἐξωθεῖ τὸ ζωΰφιον.

60. *Διὰ τί οἱ ῥαπιζόμενοι πῦρ ὁρῶσιν;* ὅτι τὸ πνεῦμα τὸ ὀπτικὸν ὑπὸ τῆς πληγῆς λεπτυνόμενον ἄγαν ἐκπυροῦται καὶ ἐξιὸν ἐπὶ τὸν ἀέρα τοιοῦτον φαίνεται οἷον καὶ γίγνεται. οὕτω γὰρ καὶ ὑπὸ δύο λίθων ἢ σιδήρων παρατριβομένων ἄγαν ὁ ἐναπολαμβανόμενος ἀὴρ πληττόμενος καὶ λεπτυνόμενος σφόδρα πῦρ γίνεται. ὁμοίως δὲ καὶ ἐπὶ νεφελῶν.

61. *Διὰ τί οὐ πάντες οἱ λίθοι παρατριβόμενοι πῦρ ἐκπέμπουσι;* διὰ τὸ εἶναι αὐτοὺς χαύνους καὶ κούφους καὶ ἀραιοπόρους, οὐχ ὁμοίως παρατριβόμενος ὁ ἀὴρ λεπτύνεται, μήτε σφοδρῶς πληττόμενος διὰ τὴν κουφότητα φεύγων τε καὶ εἴκων ἐν τοῖς πόροις, ὁμοτίμως πᾶς οὐ πλήττεται καὶ ἐκπυροῦται. τὸ αὐτὸ καὶ ἐπὶ ξύλων παρατριβομένων. τὸ δὲ ἀπὸ ἡλίου καὶ ὕδατος πῦρ τῷ ἀνακλωμένας

*τὰς ἀκτῖνας τοῦ ἡλίου πρὸς τὴν ὕαλον, καθάπερ καὶ ἐπὶ τῶν κατόπτρων πλέον ἐκπυροῦσθαι καὶ πάλιν διαπέμπεσθαι ἐπὶ τὸ ὕπτιον.*

62. *Διὰ τί μᾶλλον κλίμακα κάτιμεν ἢ ἄνιμεν; ὅτι ἔχομεν ἐν τῷ κατέρχεσθαι τὸ βάρος τοῦ σώματος συμβαλλόμενον τῇ κάτω φορᾷ· ἐν δὲ τῷ ἀνιέναι κάμνει ἡ δύναμις ἀνέχουσα πρὸς τὸ ἄνω τὸ βάρος τοῦ σώματος. οὕτω* b
*γὰρ καὶ λίθος ῥᾶον ἐπὶ τὸ κάτω φέρεται ἤπερ ἐπὶ τὸ ἄνω. τὸ γὰρ βαρὺ κατώφορον.*

63. *Διὰ τί τὰ βρέφη γεννηθέντα παραυτίκα κλαίει; διότι τὴν αἴσθησιν καὶ τὴν φύσιν ξενιζομένην ἔχει. ἀπὸ γὰρ θερμῶν σωμάτων καὶ ἁπαλῶν τῆς μήτρας εἰς ἄγαν ψυχρὸν ἔξεισιν. ἴσως δὲ καὶ ὑπὸ τοῦ φωτὸς καταπλήττεται. οὐ γάρ, ὥς τινές φασι, ψυχὴ τὸν οὐράνιον χῶρον ἀποβαλοῦσα σῶμα γήϊνον οἰκεῖ καὶ διὰ τοῦτο κλαίειν ἀναγκάζει τὰ βρέφη.*

64. *Διὰ τί μέλισσαι καὶ μύρμηκες καὶ μυῖαι καὶ καθόλου πάντα τὰ ἔντομα ζῷα ὑπὸ ἐλαίου ἀπόλλυνται; διότι τὰ ἀναπνευστικὰ στενὰ τούτων καὶ οὕτως ἀπόλλυνται. πάσχουσι δὲ τὸ αὐτὸ καὶ οἱ ὄφεις ὑπὸ τῆς ὀδμῆς τῶν δυσωδῶν καὶ βαρυόδμων. τὸ γὰρ στενοπόρον τῶν ἀναπνευστικῶν ἐμφράττεται ὑπὸ τῆς παχύτητος τῶ θυμιωμένων.*

65. *Διὰ τί φυσῶντες τὰ μὲν θερμὰ ψύχομεν, τὰ δὲ ψυχρὰ θερμαίνομεν; τῷ τὴν ἀναπνοὴν θερμὴν εἶναι καὶ τὸ ἐξιὸν πνεῦμα διαφορεῖν τὴν ἐν αὐτοῖς ποιότητα· τὰ δὲ θερμὰ ψύχομεν τῷ κινεῖν καὶ διαφορεῖν τὴν ἐν αὐτοῖς ποιότητα θερμὴν οὖσαν.*

66. *Διὰ τί τὰ ὑπὸ τὴν σελήνην κρέα νυκτερεύσαντα σήπεται; ὅτι τότε ὁ ἀὴρ θερμὸς καὶ ὑγρὸς γίνεται ὑπ' αὐτῆς· ἔστι δὲ ἡ κρᾶσις αὕτη σηποποιός, τὰ δὲ θερμὰ ψυχόμενα τῷ κινεῖν καὶ διαφορεῖν τὴν ἐν αὐτοῖς ποιότητα θερμαίνουσαν. εἰ μὲν γὰρ εἴη σύμμετρος ἡ θερμότης καὶ ὑγρότης, πέψις γίνεται· εἰ δὲ ἡ ὑγρότης ὀλίγῳ πλέον ὑπερβάλλοι τὴν θερμότητα, σῆψις γίνεται· εἰ δὲ ἀμέτρως ἐπικρατήσειε, σβέσις· εἰ δὲ ἡ θερμότης ἄγαν ἐπικρατήσειεν αὐτῆς, καῦσις. ἴσθι δὲ καὶ τὴν σελήνην τὰς τέσσαρας ἀναδεχομένην κράσεις. ἐν μὲν γὰρ τῷ διχομήνῳ σχήματι ὑγρὰ*

*καὶ θερμή πως ἐστιν· ἐν δὲ τῷ πανσελήνῳ θερμὴ καὶ ξηρά πως· ἐν δὲ τῇ ἀποκρούσει ξηρὰ καὶ ψυχρά· ὅτε δὲ ἀφώτιστος, ψυχρὰ καὶ ὑγρά. ἀμοιρεῖ γὰρ τῶν ἡλιακῶν ἀκτίνων τότε θερμῶν οὐσῶν.*

67. *Διὰ τί τὸ πέπερι καὶ σίνηπι ἄκοπα μὲν καταπινόμενα τὴν κοιλίαν οὐ θερμαίνουσι, κοπέντα δὲ θερμαί-*
11 *νουσιν; ὅτι ὅσα δυνάμει καὶ οὐκ ἐνεργείᾳ ἔχει τὰς ἑαυτῶν ποιότητας, δέονταί τινος ἔξω βοηθείας πρὸς τὸ δύναμιν εἰς ἐνέργειαν φανερῶσαι. γινόμενα τοίνυν ὑπὸ τῆς κοπῆς λεπτομερῆ καὶ εἰσδύνοντα τοὺς πόρους τοῦ σώματος εἰς βάθος καὶ ὑπὸ τῆς ἐμφύτου θερμότητος κινούμενα, δρῶσιν οὕτως· ὁ αὐτὸς δὲ λόγος καὶ ἐπὶ τῶν λοιπῶν ποιοτήτων. τῶν δὲ κατὰ ποιότητα δρώντων τὰ μὲν ἐνεργείᾳ ἔχει τὴν ἑαυτῶν ποιότητα παροῦσαν ὡς ὕδωρ πότιμον, πτισσάνη, γάλα· ὑγρὰ γάρ ἐστι καὶ ψυχρά, μὴ δεόμενά τινος ἔξωθεν ἐπικουρίας πρὸς τὸ ψῦξαι καὶ ὑγρᾶναι, ἀλλ' αὐτόθεν καὶ κυρίως δρῶντα. ὁμοίως δὲ καὶ ἅλες καὶ γῆ καὶ ὅμοια· ξηρᾶς γὰρ ὑπάρχουσι φύσεως καὶ τῇ δυνάμει καὶ τῷ φαινομένῳ καὶ τῇ ἐνεργείᾳ. θάλασσα μέντοι καὶ ἅλμη καὶ τὰ αὐτοφυῆ τῶν ὑδάτων ὑγρὰ μὲν τῇ φαντασίᾳ καὶ τῷ φαινομένῳ, ξηρὰ δὲ τῇ δυνάμει καὶ τῇ ἐνεργείᾳ. λινόσπερμον δὲ καὶ ἄρτος ξηρὰ μὲν τῇ φαντασίᾳ καὶ τῷ φαινομένῳ, ὑγρὰ δὲ τῇ δυνάμει καὶ τῇ ἀληθείᾳ.*

68. *Διὰ τί ἔνιοι τὴν μὲν ἡμέραν ὁρῶσι, τὴν δὲ νύκτα οὐχ ὁρῶσι; διὰ τὸ ἔχειν τὸ ὀπτικὸν πνεῦμα παχύτερον καὶ μὴ δύνασθαι διαβαίνειν τὸν ἀέρα ἐπὶ τὸ ὁρατόν· ἐν νυκτὶ δὲ παχὺ γίνεται διὰ τὸ καταψύχεσθαι τῇ ἀπουσίᾳ τοῦ ἡλίου· οἱ δέ φασιν, ὅτι ἐν μὲν ἡμέρᾳ ὑπὸ τοῦ ἀέρος λεπτοῦ καὶ θερμοῦ ὄντος λεπτύνεται, ἐν δὲ νυκτὶ παχύνεται· ἐπὶ μέντοι αἰλούρων καὶ ὑαίνων καὶ νυκτερίδων τὸ ἔμπαλιν· ἡμέρας οὐχ ὁρῶντα σχεδὸν νύκτωρ ἀκριβῶς ὁρῶσιν· ἔχουσι γὰρ τὸ ὀπτικὸν πνεῦμα λεπτότατον καὶ διαυγέστατον. καὶ ἐν μὲν νυκτὶ μετρίως παχυνόμενον ἐπιτήδειον γίνεται πρὸς ἀντίληψιν τῶν ὁρατῶν, ἐν δὲ τῇ ἡμέρᾳ καὶ τῷ λαμπρῷ φωτὶ ἄγαν λεπτυνόμενον διαφορεῖται καὶ σκεδάννυται· ὅθεν καὶ λέοντες τοιοῦτοί πως ὄντες διὰ τοῦ ἡλίου διαβαίνειν οὐ δύνανται· καὶ πῦρ μεθ' ἡμέραν ὁρῶν-*

τες φεύγουσιν· ἔστι δὲ ὁρᾶν αὐτῶν καὶ τὴν κόρην ἄγαν καταλαμπομένην· ἔχουσι δὲ καὶ τὰ ὑγρὰ τῶν ὀφθαλμῶν διαυγέστατα. b

69. *Διὰ τί ἐν νυκτὶ καθεύδοντες καὶ ἀθρόως ἀνοίγοντες τοὺς ὀφθαλμοὺς φῶς ὁρῶμεν; ὅτι τὸ ὀπτικὸν πνεῦμα συναγόμενον καὶ πολὺ γινόμενον ἐν τῷ καθεύδειν ἀθρόως καὶ πολὺ ἐξιὸν κατὰ τὸ σκότος καὶ λάμπον αὐτὸ ὁρᾷ φωτοειδές.*

70. *Διὰ τί οἱ αἰδούμενοι τοὺς ὀφθαλμοὺς συμπεφύκασιν· οὕτω γὰρ καὶ τὰ πάθη τῆς ψυχῆς δι' ὀφθαλμῶν ὁρῶμεν, λυπουμένης, ὀργιζομένης, αἰδουμένης. ἐπειδὴ τοίνυν οὐκ ἀντέχει ἡ ψυχὴ πρὸς τὸ τιμῆς ἄξιον ἀντιβλέπειν συνειδήσει τινὶ ἐπὶ χρόνον πολύν, ἀναγκάζει τοὺς μῦς τῶν ὀφθαλμῶν ἕλκειν αὐτοὺς ἐπὶ τὸ κάτω δίκην καλύμματι τοῦτο πράττουσα.*

71. *Διὰ τί ἡ ἀκοὴ παντὸς ἀνέχεται ὑγροῦ χωρὶς ὕδατος; ὅτι ψυχρὸν ὂν τῷ ἀκουστικῷ νεύρῳ προςομιλεῖ παραχρῆμα. τὸ γὰρ ψυχρὸν νεύροις πολέμιον.*

72. *Διὰ τί ἀνέμου σφοδροῦ μέλλοντος κινεῖσθαι ὡς ἀστέρος διατρέχοντος προδηλοῦσιν αὐτὸν ἢ ὡς ἀστραπαὶ καὶ μάλιστα καθαροῦ ὄντος τοῦ ἀέρος. φημὶ ὅτι ἤρξατο μὲν κινεῖσθαι καὶ ἡμῖν μὲν ὡς παχυμερέσι τοῖς σώμασι καὶ δυσαισθήτοις οὔπω κατάδηλόν ἐστιν. τὸν μέντοι ἀνώτερον ἀέρα ὡς λεπτομερῆ καὶ αἰθεροειδῆ κινῶν ἐκπυροῖ αὐτὸν καὶ μέρη αὐτοῦ σπινθηροειδῆ ὁρῶμεν. καὶ οὕτω λοιπὸν τῷ χρόνῳ σφοδρότερος γιγνόμενος κινεῖ καὶ τὸν περίγειον καὶ τὸν παχύτερον ἀέρα. καὶ οὕτως αἰσθόμεθα.*

73. *Διὰ τί διὰ στενῶν τόπων ἄνεμος διαβαίνων ἰσχυρότερός ἐστι μᾶλλον ἤπερ δι' εὐρυτέρων; ὅτι συναγόμενος εἰς ἕνα τόπον τονοῦται μείζων ἑαυτοῦ γιγνόμενος καὶ μεγεθύνεται καὶ σφοδρύνει. ἐπὶ δὲ τῶν εὐρυτέρων χωρίων ἐξαπλούμενος καὶ σκεδαννύμενος, ἄτονος καὶ ἀσθενὴς γίνεται. παραπλησίως δὲ καὶ τὸ θερμὸν καὶ αἱ ποιότητες καὶ τὰ ὕδατα.*

74. *Διὰ τί πολλὰ τὰ πόρρωθεν καὶ μεγάλα οὐχ ὁρῶντες τὰ πλησίον καὶ μικρὰ ὁρῶμεν, οὓς καὶ μύωπας καλοῦμεν, παρὰ τὸ μυώπης ὁρᾶν. ὅτι τούτοις τὸ ὀπτικὸν πνεῦμα λεπτόν ἐστι καὶ καθαρὸν καὶ πόρρωθεν μὲν ἀπιὸν*

διαφορεῖται καὶ οὐκ ἀσθενεῖ κατοπτεύειν τὰ ὁρατά, μόλις δὲ τὰ πλησίον ὁρᾷ. καὶ διὰ τοῦτο λεπτόν ἐστι καὶ καθαρόν. οἵ τινες καὶ τὰ μικρότατα πόρρωθεν βλέπουσιν, ὡς καί τινες γέροντες οὗτοι κατὰ τὸ ἐναντίον, διὰ τὸ ἔχειν τὸ πνεῦμα τὸ ὀπτικὸν παχὺ καὶ πολύ. καὶ δέεσθαι κινεῖσθαι μῆκος ὁδοῦ πρὸς τὸ αὐτὸ ἀπολεπτυνθῆναι καὶ ἐπιτήδειον πρὸς ἀντίληψιν ὁρατῶν γενέσθαι· ἐκ τούτου λυτέον καὶ τὰς ὑπολοίπους δύο ἀντιθέσεις.

75. *Διὰ τί* ὑπὲρ πάντα τὰ ζῶα κύνες μόνοι δεσμοῦνται κατὰ τὴν ὀχείαν; ὅτι στενοπόρος ἐστὶν ὁ αὐχὴν τῆς μήτρας, καὶ τὸ αἰδοῖον ἐν τῇ χρήσει φυσᾶται καὶ οὐκ ἔξεισιν εὐθύς. καὶ ὅτι τὸ σπέρμα κολῶδες ὑπάρχει, ἀμφότερα δὲ αὐτοῖς διὰ πολλὴν ξηρότητα γίνεται· τὸ γὰρ ξηρὸν οἶδε πυκνοῦν καὶ ἀποστενοῦν τὰ μόρια καὶ πηγνύειν τὰ ὑγρά.

76. *Διὰ τί* μόνοι κύνες ἐν τῷ θέρει λυττῶσιν. ὅτι διὰ τὴν πρόληψιν τῆς ξηρᾶς κράσεως· φύσει γάρ εἰσι ξηροί, καὶ πλέον ἐν τοῖς καύμασι. θερμαινόμενα οὖν καὶ καταξηραινόμενα ἐκπυροῦνται τὰ ἐν αὐτοῖς ὑγρὰ καὶ ἡ κρᾶσις. καὶ οὕτως μαίνονται καθάπερ φρενιτιῶντες. ὅθεν καὶ τὸ σιαλὸν αὐτοῖς ἰῶδες γίνεται καὶ ξηρότατον. ὅτι δὲ ἐκπυροῦται δῆλον ἐκ τοῦ ἀσθμαίνειν πυκνῶς, καὶ πυρώδη τὰ ὄμματα ἔχειν καὶ ἠνεωγμένον τὸ στόμα πρὸς ἐμψυξιν ἀέρος· καὶ ἡ οὐρὰ στραγγαλοῦται ἀπὸ τῆς ξηρότητος καὶ ἰσχνοῦται. λυττῶσι δέ οἱ ἐν αὐτοῖς ξηρότατοι, καὶ οὐ πάντες. τινὲς δέ φασι καὶ τὸν κύνα τὸ ἄστρον συμβάλλεσθαι κατά τινα ἀπόρροιαν τούτοις πρὸς τὴν λύσσαν.

77. *Διὰ τί* οἱ ἐξαίφνης καὶ ἀκουσίως τεμνόμενοι, ἧττον ὀδυνῶνται τῶν κατὰ προαίρεσιν τεμνομένων; ὅτι οἱ μὲν ἀκουσίως ἔχουσι τὴν ψυχὴν εἴς τι πρᾶγμα τετραμμένην καὶ ἀνομοίως ἀντιλαμβανομένην τῶν αἰσθήσεων, οἱ δὲ κατὰ προαίρεσιν εἰδότες ὃ μέλλουσι πάσχειν, τρέπουσιν ἀεὶ τὴν ψυχὴν παρὰ τὸ τεμνόμενον σῶμα. καὶ ἀκριβῶς ἀντιλαμβανόμενοι τῆς αἰσθήσεως, μᾶλλον ὀδυνῶνται ἐν τῇ τομῇ. [ἡ λύσις τοῦ ζητήματος ἀπὸ συμπαθείας τῆς κατὰ τὸ μᾶλλον.]

78. *Διὰ τί* οἱ τὰ βάρη βαστάζοντες μετὰ ᾠδῆς περι-
b πατοῦσιν, ὁμοίως δὲ καὶ οἱ ἕλκοντες; ὅτι τῷ μέλει ἡ ψυχὴ

*λογικὴ τερπομένη καὶ ἐπ' ἔλαττον ἀντιλαμβανομένη τῆς αἰσθήσεως οὐχ ὁμοῦ αἰσθάνεται τοῦ βάρους τούτῳ τῷ λόγῳ. λύσις· διὰ τί καὶ ἐπὶ τῶν πενθούντων αὐλοὶ καὶ τύμπανα; καὶ διὰ τί ἐπὶ τῶν λυπουμένων καὶ πενθούντων καὶ νοσούντων εἴθισται πλῆθος ἀνθρώπων συνιέναι καὶ διαφόρους προτείνειν λόγους; νεύουσα γὰρ ἡ ψυχὴ πρὸς τοῖς ῥήμασιν ἧττον ἐπαισθάνεται τῶν συμφορῶν, διὸ τοῖς ἀρχαίοις τέρψεις ἐπενοήθησαν σκηνικαὶ καὶ ποικίλαι, χάριν τῶν περιστάσεων.*

79. *Διὰ τί οἱ Αἰθίοπες πυρέξαντες ὡς ἐπὶ τὸ πλεῖστον ἀπόλλυνται, καὶ οἱ ὀφθαλμιῶντες ἑλκοῦνται; ὅτι σφόδρα τυγχάνουσι θερμότατοι καὶ ξηρότατοι· καὶ ὥσπερ ἀναστοιχείωσις αὐτοῖς γίνεται καὶ τὸ ὀλίγον ἐν αὐτοῖς ὑγρὸν ἐκδαπανώμενον καὶ φθειρόμενον, λύσιν τῶν λοιπῶν στοιχείων ἐργάζεται· φεύγει δὲ τὸ θερμὸν ἀπορίᾳ τροφῆς καὶ ἐπεγείρεται ψυχρότης ἀπουσίᾳ θερμότητος· καὶ τυραννεῖ ξηρότης ὑγρότητος ἀπωλείᾳ. καὶ διὰ τοῦτο τὰ νεκρὰ σώματα ξηρὰ καὶ ψυχρὰ πέφυκεν· ὅθεν καὶ ὁ θεῖος Ὅμηρος εἰδὼς τὰ μὲν δύο στοιχεῖα φεύγοντα ὡς λεπτομερῆ καὶ κουφότατα, τὰ δὲ δύο παραμένοντα εἶναι τοῖς νεκροῖς σώμασι, φησίν· ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε, ξηρότατοι καὶ ὑγρότατοι λέγων. ἑλκοῦνται δὲ καὶ κατὰ τὰς ὀφθαλμίας οἱ ὀφθαλμοὶ ὅτι ἀπὸ τῆς φλεγμονῆς τὸ αἷμα ἐκχολούμενον τῇ πολλῇ δριμύτητι διαβιβρώσκει τοὺς ὀφθαλμοὺς διὰ τοῦ ῥεύματος.*

80. *Διὰ τί ἐν τοῖς συμποσίοις τῷ ποτῷ ἐναντίως οἱ ἄνθρωποι κέχρηνται; ἀρξάμενοι μὲν γὰρ ἐν μικροῖς πίνουσι, πληρωθέντες δὲ ἐν μεγάλοις ποτηρίοις· τοῦτο νομίζεται μὲν εἶναι εὐκαταγέλαστον, ἔχεται δέ τινος αἰτίας εὐλόγου· διὰ γὰρ τὴν εὐωχίαν πρὸς τὸ πίνειν πυκνότερον καὶ συνεχῶς ἄρχονται μὲν ἀπὸ μικροτέρων φιάλων, λήγουσιν δὲ ἐν μείζοσι. αἱ γὰρ μικραὶ αὐτάρκη κόρον ὡς ἐν δαψιλῷ ποτῷ πιεῖν, οὐχ οἷαί τέ εἰσιν. ἐὰν μέντοι ἀπὸ μειζόνων ἄρχωνται, θᾶττον πληρούμενοι πυκνῶς τοῦτο πράττειν ὡς ἐν τρυφαῖς οὐ δύνανται. ἔτι γε μὴν καὶ τῇ ἀθροότητι, καὶ τῷ πλήθει ξενιζομένη ἡ φύσις, εὐθὺς ἀνιωμένη τὸ πλῆθος ἀποστρέ-*

13 φεται· ἐν δὲ τοῖς μικροῖς, κατ' ὀλίγον ἐθιζομένη καὶ πλῆθος ἐνεγκεῖν δυνήσεται τῷ χρόνῳ.

81. *Διὰ τί οἱ ὑδρωπιῶντες ὕδατος πεπληρωμένοι διψῶσιν ἀεί;* ὅτι καὶ ἁλμυρὸν αὐτοῖς γίνεται τὸ ὑγρόν, μὴ διοικούμενον ἀλλὰ σηπόμενον, καὶ καταξηραίνει τὸ στόμα τῆς γαστρός. ἄλλως τε καὶ πυρετία λεπτὰ κέκτηνται· πρὸς δὲ τούτοις ὅσον ἡ γαστὴρ διογκοῦται, τὸ λοιπὸν σῶμα μὴ κατὰ λόγον τρεφόμενον καταξηραίνεται, ὅθεν καὶ ἰσχνοῦνται· τὸ γὰρ πλεῖστον τῆς τροφῆς ἐξυδαρούμενον, χορηγεῖται πρὸς γένεσιν τοῦ πάθους.

82. *Διὰ τί ἐν τοῖς συμποσίοις, ἐν μὲν τῇ ἀρχῇ τῆς τροφῆς καὶ πρὸ πληρώσεως στενούμεθα ἀνακείμενοι, μετὰ δὲ πλήρωσιν καὶ πρὸς τῇ τελευτῇ τοῦ ἀρίστου, ἀραιούμεθα μηκέτι θλιβόμενοι;* ὅτι παρὰ μὲν τὴν ἀρχὴν ὄρεξιν τῶν σιτίων ἔχοντες πλείστην, ἐπὶ τὰ ἐκτὸς πάντων τὴν στρωμνὴν συντρέχουσιν ἀνακείμενοι, καὶ ἀθρόως ἅμα καὶ οὕτως θλίβονται. μετὰ δὲ τὸν κόρον τῆς τροφῆς, ὃς μὲν ἐπὶ τὸ κάτω νεύει μᾶλλον, ὃς δὲ ἐπὶ τὰ πλάγια, καὶ ὃς μὲν ποσῶς ἀνακάθηται, ἄλλου πλέον τοῦ δέοντος ἐπὶ τὰ ἐκτὸς νεύοντος· καὶ οὕτως μετὰ πλήρωσιν τῆς τροφῆς ἀναιροῦνται. ἄλλως γε μήν, καὶ τῷ πάντας ἐξ ἀρχῆς ἐν τῷ ἐσθίειν ἐπὶ τὸν θώρακα καὶ τὰ πλάτη τοῦ σώματος ἀνακεῖσθαι, στενοχωρεῖσθαι, συμβαίνει.

83. *Διὰ τί τριῶν χυμῶν ἁπλῶν καὶ μονοειδῶν ὄντων οὐκέτι καὶ τρία νοσήματα μονοειδῆ καὶ ἁπλᾶ συμβαίνει, ἀλλὰ πλείονα. διπλᾶ γὰρ ἐφ' ἑκάστου συνεχῆ καὶ διαλείποντα;* ὅτι διὰ τὸ μὴ μόνον ἀπὸ τῶν χυμῶν γίνεσθαι διαφορὰς νόσων, ἀλλὰ καὶ ἀπὸ τῶν τόπων· ὁ μὲν γὰρ θερμὸς καὶ λεπτὸς χυμὸς ὀξὺν καὶ ὀλιγοχρόνιον καὶ διακαῆ ποιεῖ πυρετόν. ὁ δὲ ψυχρὸς καὶ παχὺς βληχρὸν καὶ πολυχρόνιον· οὕτω γὰρ καὶ τῶν ξύλων τὰ μὲν θερμὰ καὶ ξηρότατα, καθάπερ δάφναι, δᾷδες, ἔλαιον, μεγίστην ἐγείρουσι φλόγα, καὶ τάχιον ἀποκαίονται, τὰ δὲ χλωρὰ καὶ ὑγρὰ ταπεινὸν καὶ καπνῶδες πῦρ ἐξάπτουσι καὶ οὐ βράδιον ἀποκαίονται. πάλιν εἰ μὲν ὁ τόπος πολύς τε καὶ πλατὺς εἴη τάχιστα καὶ μεγίστως ἐξάπτει τὸν χυμόν, τῷ ἅμα εἶναι σεσωρευμένον· καὶ ὑφ' ἓν ὅλον ἐξάπτεσθαι σηπόμενον· εἰ δὲ
b

ὀλίγος εἴη καὶ στενός, μήτε χωροίη τὸν χυμὸν ὅλως, ἀλλὰ κατὰ μέρος τῷ μὴ ὑφ᾽ ἓν ὅλον σήπεσθαι ποιεῖ πυρετὸν ἀμυδρὸν καὶ ἐν πολλῷ χρόνῳ καιόμενον. μίξας τοίνυν χυμοῦ φύσιν καὶ τόπον εὑρήσεις πᾶσαν διαίρεσιν, τῶν ἐπὶ χυμοῖς σαπεῖσι πυρετῶν. εἰ μὲν γὰρ ἐν τοῖς μεγάλοις ἀγγείοις, φλεψὶ λέγω, καὶ ἀρτηρίαις ἡ ξανθὴ σαπείη χολή, θερμὴ τυγχάνουσα, διακαέστατον καὶ ὀξὺν καὶ ὀλιγοχρόνιον ἐξάπτει πυρετὸν ὡς καῦσιν· εἰ δὲ ταῖς μικραῖς φλεψὶ καὶ ἀρτηρίαις ταῖς περὶ τὸ δέρμα σαπείη φλέγμα ψυχρόν, βληχρὸν καὶ πολυχρόνιον ποιεῖ πυρετόν, ὡς ἀφημερινόν. λοιπὸν ἔχων τὰ ἄκρα ἐναλλάττεται ταῦτα· ἐὰν δὲ ξανθὴ χολὴ σαπῇ ἐν τοῖς μικροῖς ἀγγείοις, ποιεῖ πυρετὸν ἔλαττον ὀλιγοχρόνιον καὶ ποσῶς μακρότερον τοῦ καύσου ὡς τριταῖον, ἢ ὀξὺν ἁπλῶς. εἰ δὲ φλέγμα σαπείη ἐν τοῖς μεγάλοις ἀγγείοις ποιεῖ ποσῶς ὀλιγοχρονιώτερον τοῦ ἀφημερινοῦ. ὁμοίως καὶ ἡ μέλαινα, σαπεῖσα μὲν ἐν ταῖς μεγάλαις φλεψί, διὰ τὸ ἐν ἑνὶ χρόνῳ πᾶσαν ὑπεκκαίεσθαι ποσῶς, ὀλιγοχρόνιον ποιεῖ πυρετὸν διὰ τετάρτης· εἰ δὲ ἐν ταῖς μικραῖς, πολυχρονιώτερον τεταρταῖον. συνέδραμε γὰρ χυμὸς ψυχρὸς καὶ παχὺς καὶ δυσαλλοίωτος καὶ τόπος στενὸς μὴ συγχωρῶν ἅμα τὴν χολὴν πᾶσαν ἐκκαίεσθαι καὶ ἀναλίσκεσθαι.

84. *Διὰ τί*, εἰ καὶ τὸ φλέγμα ψυχρόν ἐστι καὶ παχὺ καὶ γλίσχρον, ὁμοίως δὲ καὶ ἡ μέλαινα χολὴ ψυχρὰ καὶ παχεῖα· καὶ ἐλάττων πολὺ τοῦ φλέγματος. ὁ τεταρταῖος πολυχρονιώτερος τοῦ ἀφημερινοῦ; ὅτι τὸ φλέγμα καὶ ψυχρὸν καὶ παχύ, ἀλλ᾽ ὑγρόν· τὸ δὲ ὑγρὸν εὐαλλοίωτον καὶ εὐμετάβλητον· ἡ μέντοι μέλαινα ξηρὰ καὶ ψυχρά· τὸ δὲ ψυχρὸν δυσαλλοίωτον καὶ δυσμετάβλητον. σοφίζονται οὖν τῇ ὁμοιότητι τῆς ψυχρότητος καὶ τῷ πλεονάζοντι τῆς χολῆς κρύπτοντες τὴν ἐναντίαν καὶ τὴν λοιπὴν ποιότητα· ἄλλο τε τὸ φλέγμα προσῳκείωται τῇ φύσει μᾶλλον τῆς μελαίνης· ὅθεν καὶ ἐπὶ τῶν ὑγιαινόντων ἐν λιμοκτονίᾳ κέχρηται αὐτῷ ἡ φύσις πρὸς τροφήν. ἐπὶ τοίνυν τοῦ ἀφημερινοῦ, ὅσον εὑρίσκει χρήσιμον φλέγμα, τοῦτο δαπανᾷ πρὸς τροφήν, τὸ δὲ ἄχρηστον σηπόμενον ἐξάπτει τὸν πυρετόν. **14**

85. *Διὰ τί* τεσσάρων χυμῶν ὄντων καί ποτε σηπο-

μένων, τρεῖς γίνονται πυρετοὶ καὶ οὐ τέσσαρες; ὅτι τὸ αἷμα κατὰ φύσιν ἐστὶ καὶ τροφὴ τοῦ σώματος· καὶ πλεονάζον μὲν ποιεῖ μόνον πληθώραν, σαπὲν δὲ οὐκέτι μένει αἷμα. μεταβάλλεται γὰρ θερμαινόμενον εἰς ξανθὴν χολήν· οἱ μέντοι λοιποὶ χυμοὶ πλεονάζοντες μὲν ποιοῦσι νοσήματα, περὶ τὸ δέρμα μάλιστα, ὡς ἕρπητας, καὶ καρκίνους, ἀλφούς, λεύκας· σαπέντες δὲ πυρετούς.

86. Διὰ τί ἐξ ἐναντίας δύο τοίχων, θυρίδων οὐσῶν ἐν ἑκατέρᾳ, συμβαίνει τῆς μιᾶς κεκλεισμένης μηκέτι διὰ τῆς ἑτέρας εἰσιέναι λοιποὺς σφοδρὸν καὶ πολὺν ἄνεμον; ἤπερ ὑπαρχούσης αὐτῆς ἠνεωγμένης διὰ τὸ τὸν κινούμενον ἀέρα, ἤτοι τὸν ἄνεμον, σῶμα τυγχάνειν; ἐπὰν οὖν ἡ μία κλεισθῇ, διὰ τῆς ἑτέρας ὁ εἰσελθὼν ἀὴρ πληροῖ τὸν τόπον τῆς οἰκίας· καὶ σῶμα ὤν, οὐκ ἐᾷ λοιπὸν ἑτέρῳ ἀέρι σώματι ὄντι ἐπεισιέναι. ἐπὰν δὲ ἡ θυρὶς ἀνεωχθῇ, ὁ προλαβὼν ἔχων δι' αὐτῆς φυγεῖν, χώραν δίδωσιν ἐπεισιέναι ἑτέρῳ καὶ πάσης ὁμοίως διὰ τῆς ἀντικειμένης θυρίδος. καὶ οὗτος ἐξιὼν ἄλλον εἰσιέναι συγχωρεῖ διὰ τῆς ἑτέρας· καὶ τοῦτο γίνεται κατὰ τὸ συνεχές· ἐπὰν δὲ κλεισθῇ, ἡ ἐξ ἐναντίας, οὐκέτι τοῦτο γίνεται.

87. Διὰ τί τῶν ἐρώντων τὰ ἄκρα ποτὲ μὲν ψυχρά, ποτὲ δὲ θερμὰ γίνεται· ὅτι ὅτε κέκτηνται λύπην πρὸς τὴν ἐρωμένην, καὶ ἀπελπίζουσι τοῦ τυγχάνειν αὐτῆς, τὸ ἔμφυτον θερμὸν εἰς βάθος συννεύει καὶ μετὰ τῆς φύσεως· καὶ διὰ τοῦτο τὰ ἄκρα καταψύχεται· καὶ ὠχριῶσι δὲ διὰ τοῦτο καὶ σκυθρωποὶ γίνονται· ὅτε δὲ τὸ ἐναντίον, ἢ ἐλπίδα χρηστὴν κέκτηνται παρ' αὐτῆς, εἴτε θυμοῦνται σφόδρα, τότε τὸ ἔμφυτον θερμὸν νεύει πρὸς τὸ δέρμα σὺν τῇ φύσει, καὶ γίνονται θερμότεροι καὶ ἐρυθρότεροι· καὶ διὰ ταύτην τὴν αἰτίαν οἱ ζωγράφοι σωματοποιοῦσι τὸν ἔρωτα, ποτὲ μὲν κατηφῆ καὶ ἡσυχάζοντα, ποτὲ δὲ πετόμενον καὶ μειδιῶντα, παῖδα δὲ εὐτραφῆ· διότι ὁ πόθος σφοδρὸς μέν ἐστιν, οὐ πολυχρόνιος δέ, καὶ δι' ὅλου παραμένων· ἡ μὲν γὰρ διάθεσις διὰ παντὸς ὡς ἐπὶ γνησίων
b φίλων, ἢ πρὸς παῖδα, ἢ γυναικὸς πρὸς ἄνδρα· ὁ δὲ ἔρως οὐ διὰ παντός· ὡς ἐπὶ τὸ πλεῖστον γὰρ ἐπὶ ξένοις γίνεται· καὶ ἡ μὲν διάθεσις σύμμετρος καὶ οὐ κατάστατος, ὁ δὲ

*ἔρως σφοδρὸς καὶ μανιώδης. λαμπάδα δὲ κατέχοντα καὶ πτερωτόν, διότι τῶν φιλούντων αἱ ψυχαὶ μετεωρίζονται. καὶ εὐμετάβλητοί εἰσι πτερούμενοι· ἐκκαίεται δὲ αὐτοῖς καὶ τὸ τῆς καρδίας ἔμφυτον θερμὸν ἐκ τῆς ἀπαύστου καὶ σφοδρᾶς φροντίδος τῆς πρὸς τὸ ποθούμενον. καὶ τῇ μὲν δεξιᾷ κρατοῦντα βέλος, ἐν δὲ τῇ ἀριστερᾷ φαρέτρας. ὅτι κατὰ μὲν τὰς ἀρχὰς ἐκ μιᾶς ἀκτῖνος τῶν ὄψεων ὁ ἔρως ἀποτελεῖται· ἅμα γὰρ εἶδε καὶ ἐπόθησεν· ὕστερον δὲ μετὰ τὸ ποθεῖν, συνεχεῖς ἀκτῖνας ἀποπέμπει πρὸς τὸ ποθούμενον ὁ ἐρῶν· αὕτη δ' ἔοικεν τῷ βέλει τῷ ἀκοντίζεσθαι πρὸς σώματι· ἐν δὲ φαρέτρᾳ τὰ βέλη· διότι κεκρυμμένως τὰς ἀκτῖνας πέμπουσιν οἱ ἐρῶντες· τὸ δὲ ἔθος, ὥσπερ ἄνεμος τὸ πῦρ ἐξάπτει, οὕτω καὶ αὐτὸ τὸν ἐρῶντα· οὐ γὰρ κυρίως ἐξ αὐτοῦ ὁ πόθος. εἰ γὰρ ἦν, τοῦτο δῆλον ὡς ἐχρῆν ἀεὶ τὸν ἐθίζοντα καὶ ἐρᾶν. τὸ δὲ φίλτρον καὶ αἰφνίδιον· γυμνὸν δὲ διότι γίνεται πόθος ἀμέσως καὶ φανερῶς· οὐ γὰρ δι' ἑτέρου τινὸς ἐρᾷ τις οὐδὲ κεκρυμμένως, οὐθ' ἥνπερ ἀγνοεῖ. διὸ καὶ οἱ ἀνδριαντοποιοὶ πρὸς τιμὴν ἐνίοτε γυμνοὺς πλάττουσι θεούς τε καὶ βασιλεῖς, δεῖξαι βουλόμενοι τούτων τὸ φανερὸν τῆς δυνάμεως καὶ γνώμης ἐκτὸς ὂν πάσης κακίας κεκρυμμένης. οὐχ εἷς δὲ ὁ ἔρως ἀλλὰ πλείονες. ἢ ὅτι διάφοροι τῶν πραγμάτων ἔρωτες· ἄλλως γὰρ καὶ ἄλλως ποθεῖ· καθὼς καὶ ὁ θεῖος Πλάτων φησὶ τὸν ἔρωτα πολυκέφαλον θηρίον. ἢ ὅτι πολλοῖς ἔρωσιν ὁ αὐτὸς πολλάκις ὑποπίπτει. μητέρα δ' ἔχουσιν Ἀφροδίτην· τοῦτ' ἔστι τὴν Ἐπιθυμίαν· ἄνω γὰρ πλάττουσι τὴν Ἀφροδίτην εἰς Ἐπιθυμίαν. ἱστοροῦσι δὲ τὸν Ἔρωτα ποθεῖν τὴν Ἐριννύν· διότι πολλοὶ παρανόμως ἠράσθησαν· καὶ δυσσεβῶν ἐράσθησαν ἐπιθυμιῶν, ὥςπερ μοι δέδεικται κατὰ τὸ δεύτερον βιβλίον τῶν ἀλληγοριῶν τῶν εἰς θεοὺς ἀναπλαττομένων πιθανῶν ἱστοριῶν·*

88. *Διὰ τί λοιμικῆς καταστάσεως οἱ μὲν ἀπόλλυνται οἱ δ' οὔ; ὅτι παρὰ τὴν ἰδιότητα τῆς κράσεως; εἰ μὲν γὰρ εἴη τις ἔχων τὸ σῶμα μεστὸν κακόχυμον, δῆλον ὡς ὁ εἰσπνεόμενος σηπεδονώδης ἀὴρ συνδιαφθείρει καὶ ὅπερ ἔχουσιν ὀλίγον χρηστόν· καὶ οὕτως πᾶς χυμὸς αὐτοῖς συνδιαφθαρείς, ἀνίατα τίκτει πάθη καὶ πλείονα· καὶ οὕτως*

θνήσκουσιν. εἰ δὲ εἴη ἀπέριττον καὶ εὔχυμον, οὐδὲν ἢ βραχύ τι βλάπτει τούτους ὁ λοιμώδης ἀήρ. ὅτι δὲ ἡ ἐπιτηδειότης ἐφέλκεται τὸ δρῶν αἴτιον ἐνεργεῖν, δηλοῦσιν αἱ ἐκτὸς ὗλαι. δρῦές εἰσι δυσπαθεῖς καὶ πρὸς ἔξαψιν οὐχ ἕτοιμοι μᾶλλον. πολλῷ δὲ πλέον κάλαμοι εὐπαθέστεροι καὶ πρὸς ἔξαψιν ἕτοιμοι μᾶλλον· πολλῷ δὲ πλέον στυπεῖον· ἀλλ᾽ ἐάν τις διάβροχον ὕδατος παρασκευάσῃ τὸ στυπεῖον, καὶ χλωροὺς λάβῃ καλάμους, τὴν δὲ δρῦν ἄγαν ξηρὰν εἰ καὶ θείῳ, καταπάσσοι τὸ ἀνεπιτήδειον, ἑτοιμότατα ἐργάζεται πρὸς ἔκκαυσιν πυρὶ προσενέγκας, τὸ δὲ στυπεῖον οὐδὲ ὅλως καήσεται· τούτῳ τῷ παραδείγματι χρώμενος, λύσεις τὸ ζητούμενον, τίνος ἕνεκα κόπος πυρετὸν ἐφήμερον ἢ τὸν ἐπὶ σήψει ποιήσει τὸν ἑκτικὸν πυρετὸν εἰργάσατο. φαμὲν γὰρ διὰ τὴν πρόληψιν τῆς ἐπιτηδειότητος· εἶχε γὰρ τὸ φυσικὸν πνεῦμα καὶ τοὺς χυμοὺς ἀπερίττους, τὰ δὲ στέρνα ξηρότατα. καὶ τὸ αἴτιον ἔδραμεν εἰς ἐκεῖνα· καὶ διὰ τί ἔκκαυσις ἡλίου τῷ μὲν ὕπνον ποιεῖ τῷ δὲ οὔ; ὅτι τῷ μὲν ἦν φλέγμα πλεῖστον καὶ τοῦτο χυθὲν ὕγραινε τὸν ἐγκέφαλον καὶ ὕπνον ὑπήνεγκε· τῷ δὲ ξηρὰ ἡ κεφαλὴ τυγχάνουσα πλέον ξηρανθεῖσα ἀγρυπνίαν ἤνεγκε.

89. *Διὰ τί ὁ ἥλιος ἄνθρωπον μὲν μελαίνει, λίνα δὲ λευκαίνει, καὶ κηρὸν μὲν μαλακύνει, πηλὸν δὲ σκληρύνει.* πάλιν δὲ διὰ τὴν ἐπιτηδειότητα τῆς πασχούσης ὕλης· οἱ γὰρ χυμὸν χωρὶς τοῦ φλέγματος ὑπερθερμαινόμενοι περὶ τὸ δέρμα διαφαίνονται μέλανες· τὸ δὲ λίνον ὑπὸ νίτρου ἢ ἅλμης ῥυπτούμενον καὶ ὑπὸ τοῦ ἡλίου ἐκδαπανωμένου
b τοῦ ῥύπου τοῦ λίνου, λευκαίνεται· πάλιν ἕλκων ὁ ἥλιος ἐκ τοῦ κηροῦ τὴν ἐν τῷ βάθει ὑγρότητα μαλακύνει τοῦτον· τὴν δὲ πολλὴν καὶ ἐπιπόλαιον ὑγρότητα ἐκβοσκόμενος τοῦ πηλοῦ, σκληρύνει αὐτὸν ξηραίνων. εἰ τοίνυν περὶ τὸ πάσχον καὶ τὸ ἐνεργοῦν ποιεῖν ἀδύνατον καὶ ἡμετέραν ψυχὴν μὲν εὐσεβείαις ὁπλίσαντας, εὐταξίᾳ δὲ τροφῆς τὸ σῶμα κοσμήσαντας ἀκτήμονι δὲ βίῳ καὶ τοῖς πρὸς τὸ ζῆν μόνον ἀρκούμενοι ἑαυτοὺς καθιερεύσαντες ἐκφυγεῖν τὴν ἐκ τοῦ βίου συμβαίνουσαν ὅσον ἐνδέχεται παράστασιν, καὶ μὴ παρέχειν ἐπιτηδειότητα τῷ δρῶντι φαύλῳ πρὸς τὸ πάσχον ἐνεργεῖν τι, εἴπερ τίς ἐστι δαίμων ἢ ἀστὴρ ἤ τι τοιοῦτον ἐκτὸς αἴτιον.

90. *Διὰ τί οἱ ἰκτερικοὶ καὶ δυσδιαχώρητοί εἰσι, καὶ λευκὸν ἄγαν ἔχουσι τὸ σκύβαλον;* ὅτι ἡ ξανθὴ χολὴ εἰς ὅλον αὐτῶν ἀνεδόθη τὸ σῶμα· καθὼς οἱ ὀφθαλμοὶ δηλοῦσι καὶ ἡ τοῦ δέρματος χροιὰ καὶ οὐκέτι συρρεῖ πρὸς τὰ ἔντερα τῷ ἐξ ἀρχῆς νόμῳ τῆς φύσεως. καὶ χρώννυσι τὸ σκύβαλον, οὔτε τῇ δριμύτητι ἐρεθίζει τὴν ἀποκριτικὴν δύναμιν τῶν ἐντέρων, πρὸς κένωσιν τῆς κόπρου· καὶ διὰ τοῦτο ἡ ἰατρικὴ καθάπερ καὶ ἄλλαι τέχναι τὴν φύσιν μιμουμένη τοῦ σώματος ἐν περιστάσει νοσοποιῷ καθεστῶτος, σύμμαχος ἀρρωστούσης γίνεται τῆς δυνάμεως. ἐπεὶ γὰρ τὸ σκύβαλον ἐκκρίνεται, τῆς χολῆς ἐρεθιζούσης καὶ ῥυπτούσης, τῶν τε ἐντέρων καὶ τῶν μυῶν ἐπεγειρομένων πρὸς ὦθησιν αὐτῶν, τῆς τε κόπρου μαλακῆς τε καὶ εὐολίσθου τυγχανούσης, ἐκ τῶν παρακειμένων τοῖς ἐντέροις γλίσχρων χυμῶν εἰκότως καὶ ὁ κλυστὴρ ἔχει μὲν ἀντὶ χολῆς τὸ μέλι ῥυπτικόν· τὸ δὲ νίτρον καὶ ῥυπτικὸν καὶ τῇ δήξει διεγεῖρον τὰ ἔντερα καὶ τοὺς μῦς πρὸς ἐξώθησιν· τὸ δὲ ὑδρέλαιον πρὸς ὑγρανσιν καὶ μαλάκανσιν τῆς κόπρου, φρυχθείσης ὑπὸ τοῦ πυρετοῦ· γίνωσκε γὰρ ὡς τότε μὲν ἡ φύσις ἐνεργεῖ μόνη χωρὶς ἰατροῦ. καθάπερ ἐπὶ τῶν κρίσεων τῶν νόσων καὶ τῶν πέψεων· τότε γὰρ θερμός ἐστιν, καὶ ὥσπερ βραβευτής· καὶ κριτὴς ἀντιγωνιστῶν δύο, νόσου καὶ φύσεως, ποτὲ δὲ ἰατρὸς μόνος, ὡς ἐπὶ τῶν ἐξαρθρήσεων καὶ τῆς τῶν ἄρθρων ἐμβολῆς, ποτὲ δὲ ἰατρὸς ἅμα καὶ φύσις ὡς ἐπὶ τῶν 16 ῥυπαρῶν καὶ κοιλίας ἑλκῶν· ὁ μὲν γὰρ ἰατρὸς καθαίρει τὸν ῥύπον τοῖς ῥυπτικοῖς, καὶ δίδωσιν ἀναπέτειαν τοῖς πόροις, ζέσας ὡς ἂν εἴποι τις τὸ ἐπιπωματίζον καὶ ἐμφράττον αὐτούς, ὅπως τὸ αἷμα καθαρὸν παρασκευάσῃ. ἡ δὲ φύσις διὰ τῶν πόρων τοῦ ἕλκους ἀναδίδωσιν αἷμα καθαρὸν ὑπὸ τῶν τροφῶν, μεταβάλλουσα πρὸς σαρκὸς γένεσιν. ὅπερ πάλιν ὑπὸ τῶν ξηραινόντων φαρμάκων πηγνύμενον γίνεται σὰρξ ἐπιτήδειος.

91. *Διὰ τί πολλοὶ ληφθέντες συνόχῳ μετὰ κρίσιν μελάντατον ἔχουσιν δέρμα ἐπὶ χρόνον ἱκανόν;* ὅτι ὁ σύνοχος ἀπὸ ξανθῆς ἐγίνετο χολῆς, αὕτη δὲ ἐν τῇ ἀκμῇ τῆς νόσου ὑπεκκαεῖσα μετέβαλεν ἐπὶ τὸ μέλος καὶ οὕτως ἐν τῇ κρίσει παρὰ φύσιν διωχθεῖσα παρὰ τὸ δέρμα ἔβαψεν

αὐτό, καθάπερ ἐπὶ τῶν λεύκων τὸ δέρμα λευκὸν ὑπάρχει. διότι δὲ τὸ παχὺ τοῦ χυμοῦ καὶ δυςλυτόν ἐστι τὸ τοιοῦτον χρῶμα.

92. Διὰ τί ἡ μέλαινα χολὴ παραγινομένη μαζῷ ἢ σκέλει ἀνάβρωσιν ἐργάζεται, ἐπὶ δὲ τῶν μελαγχολικῶν ἐν ἐγκεφάλῳ συρρέουσα ταύτην οὐ ποιεῖ; ὅτι ἐν μαστῷ μὲν φλέβες πολλαὶ καὶ μεγάλαι διὰ τὴν τοῦ γάλακτος γένεσιν καὶ διὰ τοῦτο τὸ πλῆθος συρρεῖται χολῆς· ὁμοίως δὲ καὶ ἐν τῷ σκέλει διὰ τὴν κατωφερῆ ῥοπὴν ἐπισύρεται χολὴ πλείων. ἐν μέντοι τῷ ἐγκεφάλῳ διὰ τὴν ἀνωφέρειαν καὶ διὰ τὸ λεπτὰς ἔχειν φλέβας ἄνεισι βραχὺ χολή, πρὸς τὸ νύττειν αὐτὸν καὶ μὴ διαβιβρώσκειν. καὶ ψυχρὸς δὲ καὶ ὑγρὸς ὢν ἀντιμάχεται τῇ κράσει τῆς μελαίνης ποσῶς καὶ καταπραΰνει ταύτην. ἡ μὲν οὖν κυρίως μέλαινα χολὴ ποιεῖ τὸν ἀναβρωτικὸν ἐν τῷ μαζῷ καρκῖνον, ἐν δὲ σκέλει χειρώνειον ἕλκος καὶ νομῶδες, ἐν δὲ ἐγκεφάλῳ τὴν θηριώδη μελαγχολίαν. ἡ δ᾽ οὐ κύριος ἀλλ᾽ ὁ λεγόμενος μελαγχολικὸς χυμὸς καὶ τρυγώδης, ῥεῦμα μόνον καὶ ὄγκον καρκινώδη χωρὶς ἀναβρώσεσι καὶ μελαγχολίαις ἥμερον.

93. Διὰ τί ἐπὶ τῶν δυσεντερικῶν πάπυρον σφαιρώσαντες ἐμβάλλουσιν εἰς τὸ δακτύλιον καὶ ὠφελοῦσιν; ὅτι τῶν μυῶν συμπεσόντων τῆς ἕδρας, ὑγραινομένη ἡ πάπυρος τῇ διαστομώσει τοὺς μῦς ἐπεγείρει. τὸ αὐτὸ δὲ ποιεῖ καὶ ἐπὶ ὑποφορῶν συμπεσουσῶν ἐπὶ τῶν ἑλκομένων. τῶν b οὖν μυῶν διαστελλομένων, ἡ κόπρος καὶ τὰ λυποῦντα ἐκκρίνεται.

94. Διὰ τί τὰ λεγόμενα καυκάλια ἐν τῷ πληροῦσθαι ὕδατος ψόφον τινὰ ἀποτελεῖ, ὅθεν καὶ ἡ φύσις, καὶ τὸ ποιὸν τοῦ ψόφου εἰς ὄνομα αὐτοῖς μετήνεγκεν, ὡς καὶ τὸ φλοῖσβος καὶ βορβορυγμὸς καὶ τὰ λοιπά; ὅτι τὸ ἀγγεῖον ἐν τῷ μὴ ἔχειν ὕδωρ ἀέρος πεπλήρωται, σώματος λεπτοτέρου τυγχάνοντος· ἐν οὖν τῷ καθεῖσθαι ἀθρόως εἰς αὐτὸ τὸ ὕδωρ τῇ βαρύτητι διώκει τὸν ἀέρα ἔξω ὡς λεπτομερῆ. ἅμα γὰρ μένειν ἐν τῷ καυκαλίῳ μέχρι πληρώσεως οὐ δύναται διὰ τὸ τοῖς φιλοσόφοις ἀποδεῖχθαι, μὴ δύνασθαι δύο σώματα τὸν αὐτὸν τόπον κατέχειν κατὰ τὸν αὐτὸν χρόνον. τοῦ οὖν ἀέρος ἐπὶ τὸ ἄνω διωκομένου, ἀθρόως διασθενεῖ τόπῳ ψόφον

ἀναγκαίως συμβαίνειν· οὐχ ἕνα δὲ ἀλλὰ πλείους, διὰ τὸ μάχην ὥσπερ τυγχάνειν ἀμφοτέρων· τὸ μὲν γὰρ ὕδωρ ἐπὶ τὸ κάτω βιάζεται τὸν ἀέρα, ὁ δὲ ἀὴρ ἐπὶ τὸ ἄνω τὸ ὕδωρ. καὶ τούτου κατὰ διαδοχὴν γινομένου συμβαίνει καὶ τὸν ψόφον πυκνῶς γίνεσθαι.

95. *Διὰ τί* ἐπὶ τῶν λεγομένων ἁρπαγίων ἀγγείων ὁ δάκτυλος ἐν τῷ στόματι ἐντιθέμενος αὐτοῦ, τὸ ὕδωρ οὐκ ἐᾷ ῥεῖν διὰ τοῦ πυθμένος· ἐπαιρόμενος δὲ συγχωρεῖ φέρεσθαι; ὅτι ἐν τῷ ἐπαίρεσθαι τὸν δάκτυλον ἐκ τοῦ σώματος, ὁ ἀὴρ εἰσιὼν ὠθεῖ τὸ ὕδωρ ἐπὶ τὸ κάτω, φύσιν ἔχων τοιαύτην· καὶ οὕτως ἔξεισι διὰ τῶν ὀπῶν τοῦ πυθμένος· καὶ διὰ τοῦτο ὡς ἐπὶ τὸ πλεῖστον πάντα τὰ μηχανικὰ κατασκευάσματα δι' ὕδατος καὶ ἀέρος ἔχουσι τὴν γένεσιν· ὡρονόμια λέγω καὶ κλεψύδρας, καὶ ἤχους ἐξ ἀγαλμάτων καὶ τὰ ὅμοια.

96. *Διὰ τί* καὶ οἶνος καὶ ὕδωρ ἐπὶ τῶν πυρεττόντων παρὰ καιρὸν διδόμενος φρενίτην κατασκευάζει, τουτέστι τὰ ἐναντία; ψυχρὸν μὲν γὰρ τὸ ὕδωρ· θερμὸς δὲ ὁ οἶνος. ὅτι ὁ μὲν οἶνος ἀνωφόρος γινόμενος ἐκκαίει σὺν τῷ πυρετῷ τὸν ἐγκέφαλον καὶ ἄγαν ἐκκαταρασσόμενον τὸ πρῶτον ὄργανον τῆς ψυχῆς (ὅπερ ἐστὶ τὸ αἰθεροειδὲς πνεῦμα) ἀναγκάζει τὸ φρονοῦν οὕτως ἐνεργεῖν. δῆλον δὲ τοῦτο ἐκ τοῦ καὶ πολλοὺς ὑγιαίνοντας χρησαμένους ἀκράτῳ πλεί- 17
στῳ καὶ συνεχῶς εἰς ἔκστασιν τραπῆναι· τὸ δὲ ὕδωρ τῷ πυκνοῦν τοὺς πόρους τοῦ σώματος, τοὺς διαφοροῦντας τὰ ὑπὸ τῶν σαπέντων χυμῶν πνεύματα καὶ παχύνει αὐτούς· καὶ πλείονα διὰ τοῦτο σῆψιν καὶ πυρετὸν γίνεσθαι. πολλάκις δὲ καὶ τὸ ὕδωρ νικώμενον ὑπὸ τῆς ἀμετρίας τοῦ πυρετοῦ, τροφὴ τούτῳ γίνεται ὡς ἔστιν ἰδεῖν καὶ τοὺς ἐν ταῖς καμίνοις βαλλομένους τὸ πῦρ ἐξάπτειν, ἐπιρραίνοντας τῷ πυρὶ βραχὺ τοῦ ὕδατος.

97. *Διὰ τί* αἱ γυναῖκες ὀξύφωνοι καὶ οἱ εὐνοῦχοι κατὰ παῖδα; ὅτι διὰ τὴν πολλὴν ὑγρότητα εἰς εὖρος αὐτῆς ἡ ἀρτηρία οὐκ ἐπεκτείνεται. τῆς γὰρ θερμότητος ἔργον τὸ διαστέλλειν εἰς πλάτος τοὺς πόνους. ὥσπερ οὖν ὁ στενόπορος αὐλὸς ὀξύηχος, οὕτως καὶ ἡ τραχεῖα ἀρτηρία. φασὶ δέ τινες τὰς γυναῖκας ὀξυφώνους διὰ τὸ συμβάλλεσθαι

*ἐν τοκετῷ κράζειν πρὸς εὐχερῆ ἀποτέξεσθαι. ὅπερ ἐστὶ ψεῦδος.*

98. *Διὰ τί τὰ βρέφη ἐν τῷ θέρει σειριᾷ, ὅπερ ὁ πολὺς δῆμός φησι καῦμα ἔχειν αὐτά; πυρέττει γὰρ πυρετὸν λεπτὸν κατὰ βάθος καὶ κοιλοφθαλμιᾷ καὶ ἀγρυπνεῖ καὶ ἀσθενεῖ. ἔνια δὲ καὶ διαρροΐζεται, ὅτι τὰ βρέφη τυγχάνουσιν εὐπαθέστατα καὶ φλεγματικώτερα τὴν κεφαλήν· ἐν γοῦν τοῖς καύμασι τὸ φλέγμα ὑπερθερμαινόμενον καὶ σηπόμενον ἐξάπτει πυρετὸν καὶ ἐκπυροῖ τὰς μήνιγγας τοῦ ἐγκεφάλου, καὶ διὰ τοῦτο ἀγρυπνεῖ. καὶ ἡ πύρωσις δὲ διὰ τῶν ἀρτηριῶν κατιοῦσα πρὸς καρδίαν καὶ ἐκπυροῦσα τὸ ζωτικὸν πνεῦμα πυρετὸν ἐξάπτει, τὸν χωρὶς σήψεως. καὶ ἐκχολούμενα δὲ ὑπὸ τοῦ πυρετοῦ διαρροΐζεται λόγῳ φθορᾶς, τῆς χολῆς δακνούσης τὴν κοιλίαν καὶ τὰ ἔντερα. ὅτι δὲ τὸ αἴτιον καὶ ἡ ῥίζα τοῦ πάθους ἐν ἐγκεφάλῳ, δῆλον ἐκ τοῦ τῇ κεφαλῇ προςφέρειν τὰ ἐμψύχοντα καὶ ὠφέλοντα τῆς πυρώσεως κατασβεννυμένης. πάσχουσι δὲ αὐτὸ καὶ τέλειοι ὁμοίως, οἷς ἐν κεφαλῇ φλέγμα ἢ ξανθὴ χολὴ βράγχει σωρευθῇ ἢ καὶ σαπείη· καὶ διὰ τῆς εἰσπνοῆς δὲ καὶ τοῦ πυρώδους ἀέρος τὰ πνευματικὰ ἐκπυροῦται.*

99. *Διὰ τί τὰ στρογγύλα τῶν ἑλκῶν δυσίατα; ὅτι κατὰ παρουσίαν χολῆς δριμείας καὶ διαβρωτικὰ συνίσταται· τῷ*
b *τοίνυν κατὰ σταγόνα συρρεῖν καὶ ἀναβιβρώσκειν, στρογγύλον τὸ ἕλκος ποιεῖ. καὶ διὰ τοῦτο τὰ καυστὰ καὶ ἄγαν ξηραντικὸν προσφέρουσι φάρμακον. οὕτω μὲν οἱ ἰατροί· οἱ δὲ φυσικοὶ καὶ οἱ φιλόσοφοί φασι τῷ μὴ εἶναι ἀρχὴν ὅθεν ἡ οὐλὴ ἄρξηται· ἐν γὰρ κύκλῳ οὔτε ἀρχὴν οὔτε τέλος ἐστὶ λαβεῖν. ὅθεν φασί, καὶ τὸ σχῆμα τοῦτο οἱ ἰατροὶ τῷ σιδήρῳ τέμνοντες ἀλλοιώτερον αὐτὸ ποιοῦσιν.*

100. *Διὰ τί ἐν τόπῳ τινὶ ἀπιόντες, ἀναγκαίως καταλαβόντες αὐτὸν διαβαίνομεν; ὅτι πολλάκις ἔχομεν τὴν ψυχὴν περί τι πρᾶγμα φροντίζουσαν κἀκεῖσε νεύουσαν καὶ ἐστραμμένην, καὶ μὴ ἐφεστηκυῖαν ἀκριβῶς ταῖς αἰσθήσεσι πρὸς γνῶσιν τῶν οἰκείων. ὥσπερ οὖν ὁρῶντες τὸν τόπον οὐχ ὁρῶσι τῷ μὴ εἶναι τὴν κρίνουσαν τὰ αἰσθητά.*

101. *Διὰ τί τὸ μέλι τὸ πᾶσι γλυκύτατον τοῖς ἰκτερικοῖς πικρὸν φαίνεται γευομένοις; διότι χολὴν πικρὰν ἔχουσι*

πλεονάζουσαν ἐν παντὶ τῷ σώματι καὶ ἐν γλώσσῃ· τὸ οὖν μέλι ἐσθιόμενον τὸν ἡσυχάζοντα πικρὸν χυμὸν ἀνακινεῖ. καὶ ἡ γνῶσις λοιπὸν ἀντιλαμβανομένη τῆς πικρότητος τῆς χολῆς φαντασίαν ποιεῖ τοῦ νομίζεσθαι τὸ μέλι πικρὸν ὑπάρχειν.

102. *Διὰ τί ἐπὶ τῶν ἄγαν ὀργιζομένων οἱ ὀφθαλμοὶ πυρώδεις γίνονται;* διότι θυμός ἐστι ζέσις τοῦ περὶ τὴν καρδίαν αἵματος καὶ θερμοῦ πνεύματος· τοῦτο οὖν ὡς λεπτομερὲς ἀνώφορον γίνεται καὶ διὰ τῶν ὀφθαλμῶν διαφανεστάτων ὄντων φαίνεται· ἔχουσί γε μὴν καὶ ἀτμοὺς αἱματικοὺς ἀνιόντας, ὅθεν καὶ τὸ πρόσωπον ἐρυθρὸν φαίνεται· τοῦτο τοίνυν τὸ πάθος εἰδὼς καὶ Ὅμηρος γινόμενον ἔφη· ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην.

103. *Διὰ τί τὸ ὕδωρ ἐπιρραινόμενον τοῖς ὄφεσι ἐκδιώκει αὐτούς;* ὅτι φύσει ψυχροί εἰσι καὶ ξηροὶ καὶ νευρώδεις καὶ ὀλιγόαιμοι καὶ τὴν ἄμετρον ψύξιν φεύγουσιν. ὅτι δὲ τοιαύτης εἰσὶ κράσεως, δῆλον ἐκ τοῦ κατὰ τὸν χειμῶνα τοὺς φωλεοὺς ἐπιδιώκειν καὶ τὰ βάθη τῆς γῆς, ὡς θερμοτέρου ἡλίου τε δύνοντος ὡς ἐπὶ τὸ πλεῖστον φεύγειν, πάλιν ὡς ψυχρὸν τὸν αέρα. καὶ πάλιν ἐν τῷ θέρει τοῦ βάθους τῆς γῆς ψυχροῦ γινομένου, φεύγοντας ἐκεῖθεν μετιέναι τοὺς θερμοὺς τόπους.

104. *Διὰ τί τὸ ᾠὸν ὀπτόμενον ῥήγνυται οὐκέτι δὲ* 18
*καὶ ζεννύμενον;* ὅτι ὁμιλοῦν τῷ πυρὶ τὸ ἐν αὐτῷ ὑγρὸν ἀμέτρως θερμαινόμενον καὶ καιόμενον, πλείονα πνεύματα τίκτει. ταῦτα τῇ στενοχωρίᾳ τὴν ἔξοδον ζητοῦντα, ῥήξαντα τὸ ὄστρακον, χρῆται φυγῇ. τοῦτο δὲ ποιοῦσι καὶ ἐπὶ πίθων καὶ κεράμων, νέου τοῦ οἴνου τυγχάνοντος καὶ βράζοντος. ἔτι γε μὴν καὶ ἡ πολλὴ φλὸξ τοῦ ᾠοῦ τὸ ὄστρακον τῇ ὑπεροπτήσει ῥήγνυται, ὅπερ πάσχουσι καὶ οἱ κέραμοι ὑπεροπτώμενοι· διὸ καὶ φυσικῶς ὁ πολὺς ὄχλος ὕδατι τὸ ᾠὸν προβρέχει κατὰ τὴν ὄπτησιν· τὸ μέντοι θερμὸν ὕδωρ τῇ μαλακότητι κατ' ὀλίγον χέει τὰ ὑγρὰ καὶ διαφορεῖ τῇ ἀραιώσει.

105. *Διὰ τί ἐν τῇ κατὰ τὴν συναφὴν ἡδονῇ τοὺς ὀφθαλμοὺς ποσῶς μύουσιν οἱ ἄνθρωποι καὶ ἐν ἄλλαις δέ τισι τῶν αἰσθήσεων;* ὅτι ὑπὸ τοῦ πάθους νικώμενοι

*πλείονα ταύτης ἀντίληψιν ἐργάζονται, τῶν ὀφθαλμῶν καὶ μηκέτι μετεωριζομένων ἔξω, καὶ τὴν ψυχὴν μετὰ τῆς αἰσθήσεως ἑλκόντων πρὸς τὸν ἀέρα καὶ ἐλάττονος αἰσθήσεως τῶν σωματικῶν παθῶν παρασκευαζόντων αὐτὴν ἀντιλαμβάνεσθαι.*

106. *Διὰ τί ἔνια τῶν μονοειδῶν βοηθημάτων ἐναντίας δυνάμεις ἔχει, ὡς ἡ πεῖρα διδάσκει; μαστίχη γὰρ καὶ ῥύπτει καὶ διαφορεῖ καὶ τονοῖ, ὄξος δὲ θερμαίνει καὶ ψύχει. λέγω ὅτι τὸ εἶναι τὰ ἐν αὐτοῖς ἄτομα καὶ σμικρότατα σώματα κατὰ παράθεσιν καὶ μὴ κατὰ κρᾶσιν, ὡς ψάμμιον ὑγρότητι δεσμουμένην καὶ σῶμα ἓν ἀποτελοῦσαν τὸ φαινόμενον· τῇ δὲ ἀληθείᾳ πολλῶν σωμάτων τοῦ ψάμμιου σμικροτάτων ὄντων. εἰ τοίνυν ἀληθὲς τοῦτο πέφυκεν, οὐδὲν ἄτοπόν ἐστιν ἐν ἄλλοις καὶ ἄλλοις μέρεσι τῆς μαστίχης κρύπτεσθαι τὰς ἐναντίας δυνάμεις καὶ ποιότητας καὶ μὴ κεράννυσθαι πρὸς ἑαυτάς, τῆς φύσεως οὕτως ἐπ' αὐτῶν μόνων τῶν σωμάτων νόμον ὑποθεμένης.*

107. *Διὰ τί ἐπὶ τῷ προσπταίσματι τοῦ ἐν ποδὶ δακτύλου βουβὼν ἐπανίσταται; ὅτι ἡ φύσις ἀεὶ προνοουμένη τούτου τοῦ σώματος, εἴωθε προστρέχειν τοῖς ὀδυνομένοις μορίοις πρὸς ἐπικουρίαν αὐτῶν. ἐπεὶ δὲ ὀχήματι κέχρηται τῷ χρηστοτέρῳ τῶν χυμῶν, καὶ τρέφοντι καὶ συμφύτῳ*
b *φημὶ τῷ αἵματι, ἐπὰν ἀναγκαῖον πληροῦσθαι τὰς ἐν τῷ βουβῶνι μεγίστας φλέβας ἑνούσας· καὶ οὕτως καὶ τοὺς μεταξὺ τῶν ἀγγείων ἀδένας, στρογγυλοειδῶς σῶμα τυγχάνοντας ἡ οὖν ἄμετρος σφήνωσις, φλεγμονὴν καὶ ἔπαρσιν ἐργάζεται καὶ καλεῖται τοῦτο βουβών, τοῦ πάθους τὴν προσηγορίαν τῷ τόπῳ χαρισαμένου.*

108. *Διὰ τί τοῖς ὀρνέοις οὐρηδόχον κύστιν καὶ νεφροὺς ἡ φύσις οὐκ ἐδωρήσατο; ὅτι πολλῆς ὑγρότητος ἐδεῖτο πρὸς γένεσιν καὶ αὔξησιν τῶν πτερῶν· καὶ τὸ γυμνάζεσθαι δὲ κατὰ τὴν πτῆσιν ἐξαναλίσκει ταύτην. καὶ οὐκ οὐροῦσιν μὲν ὅλως· πίνοντα δὲ τὴν κόπρον ἔχει ἐξιοῦσαν σὺν ὑγρότητος ἀμετρίᾳ.*

109. *Διὰ τί τὰ μὲν παιδία ἐν τῇ οὐρηδόχῳ κύστει τοὺς λίθους τίκτει, οἱ δὲ γέροντες ἐν τοῖς νεφροῖς; διότι στενοπόρους ἔχει τοὺς νεφροὺς τὰ παιδία, καὶ γεώδης χυ-*

*μὸς καὶ παχὺς διὰ τῶν νεφρῶν ἐρχόμενος, τῇ βίᾳ τῆς στενοχωρίας ἐξωθεῖται ὑπὸ τῶν οὔρων, ἀπό τε τῶν νεφρῶν καὶ τῶν σωληνοειδῶν ἀγγείων, ἐπὶ τὴν οὐρηδόχον κύστιν. αὐτὴ δὲ εὐρύπορος οὖσα χώραν δίδωσι καὶ τῷ οὔρῳ πρὸς διάβασιν καὶ τῷ λιθοποιῷ χυμῷ πρὸς ὑφίζησιν καὶ πῆξιν ἰδίαν· ἐπὶ δὲ τῶν γερόντων ἀραιοπόροι τυγχάνοντες οἱ νεφροί, παρέχουσι χώραν καὶ τῷ οὔρῳ πρὸς ἔξοδον καὶ τῷ γεώδει χυμῷ πρὸς ὑφίζησιν τῆς πήξεως τοῦ λίθου. ἡ δὲ χρόα τοῦ λίθου δηλοῖ καὶ τὸν χυμὸν τὸν γεννήσαντα. ἡ λύσις ἀπὸ διαπλάσεως καὶ κατασκευῆς μορίων.*

110. *Διὰ τί εἰ ὁ λίθος ὑπὸ θερμότητος πήγνυται (θερμὰ γὰρ τὰ παιδία) ὁμοίως δὲ καὶ ἐπὶ γερόντων; οὐ γὰρ ἂν δῶμεν τοσαύτην ψῦξιν ὡς ἐπὶ κρυστάλλου καὶ χιόνος. νέκρωσις γὰρ ἂν τῶν νεφρῶν ἦν ἡ ἀκρότης τῆς ψύξεως· οὐ χρώμεθα οὖν τοῖς ἐναντίοις πρὸς λύσιν τῆς πήξεως, ἀλλὰ τοῖς ὁμοίοις· λέγω δὲ τοῖς θερμοῖς, ὡς πετροσελίνῳ, μαράθρῳ καὶ τοῖς ὁμοίοις. φημὶ ὅτι τῇ ἄγαν καύσει καὶ τῇ ὑπεροπτήσει θρύπτεσθαι συμβαίνει τὸν λίθον εἰς ψαμμία, καθάπερ κἀπὶ τῶν ὑπεροπτωμένων ὀστράκων τε καὶ κεράμων ψάμμος ἀποτελεῖται. καὶ λοιπὸν οὕτως εὐχερῶς ἀπουρεῖσθαι τοὺς μικροὺς λίθους μετὰ τῶν ψαμμίων· συμβαίνει δέ ποτε καὶ ψυχροῦ πόσει, τὸν λίθον εὐχερῶς ἐξουρηθῆναι τῶν νεφρῶν τονωθέντων καὶ τῇ ἄγαν ῥώσει* 19 *διὰ τῆς ἀποκριτικῆς δυνάμεως ἐξουρούντων αὐτάς· ἔτι γε μὴν καὶ τὴν ἄμετρον πύρωσιν τῶν νεφρῶν ὑπὸ τοῦ ψυχροῦ κατασβέννυσθαι τὴν πηκτικὴν τῶν λίθων αἰτίαν.*

111. *Διὰ τί τὰ ἐν νεφροῖς καὶ οὐρηδόχῳ κύστει ἕλκη δυσίατα; διότι τὸ οὖρον δριμὺ ὂν ἀναξηραίνει τὴν ἀπὸ τῶν βοηθημάτων πρόσκαιρον ἀπούλωσιν γινομένην· καὶ μᾶλλον τὰ ἐν κύστει ἀνίατα διὰ τοῦ καὶ παραμένειν αὐτόθι τὸ οὖρον, ἐν δὲ τοῖς νεφροῖς διαβαίνειν.*

112. *Διὰ τί ἐν τῇ ἐμβάσει θερμὸν ὕδωρ κινούμενον θερμότερον ἡμῖν φαίνεται, καὶ σχεδὸν τὸ σῶμα καῖον τὸ ἡμέτερον; ὅτι κατελθόντων ἡμῶν, τὸ μὲν προσομιλῆσαν θερμὸν ὕδωρ ποιῆσαν ἔπαθεν, τουτέστι θερμᾶναν τὸ ἡμέτερον σῶμα, ἔψυκταί πως ὑφ' ἡμῶν. πάντα γὰρ τὰ ἐν γενέσει καὶ φθορᾷ ποιοῦντα, καὶ πάσχει πάντως, ἐπειδὴ*

τοίνυν καταψυχθὲν πωσῶς οὐκέτι παραπλησίως θερμαίνει, δῆλον ὡς ἐθίσαντες αὐτό, οὐκέτι αἰσθανόμεθα αὐτὸ θερμὸν ὥσπερ καὶ ἐξ ἀρχῆς διὰ τὸ καθαιρεθῆναι τὴν ἄμετρον θερμότητα αὐτοῦ παρ' ἡμῶν. ἐὰν οὖν κινήσαντες τὸ θερμὸν ὕδωρ ἐκεῖνο μὲν τὸ προσομιλῆσαν τῷ δέρματι μετακινήσωμεν, ἕτερον δὲ θερμὸν ὕδωρ προσέλθῃ γνήσιον μηδέπω ποιῆσαν καὶ παθὸν ὑπὸ τοῦ δέρματος, φυλάττον αὐτοῦ τὴν ἀμετρίαν τῆς θερμότητος, εἰκότως ἡμῖν θερμὸν καὶ καῖον φαίνεται τοσοῦτον χρόνον, ἄχρις ἂν καὶ αὐτὸ δράσαν πάθῃ καὶ καθαιρήσῃ τῆς αὐτοῦ θερμότητος, καθάπερ καὶ τὸ πρότερον, καὶ τοῦτο δυνατὸν ποιεῖ. καὶ κατὰ διαδοχήν· ἐφ' ὅσον γὰρ κινούμενον τὸ θερμὸν ὕδωρ, ἐπὶ τοσοῦτον ἀεὶ τὸ προσιὸν ἡμῖν θερμὸν φαίνεται κατὰ ἀλήθειαν. καὶ διὰ τοῦτο ὁ πολὺς δῆμος φυσικῶς ὁρμώμενος, βουλόμενος τὸ σῶμα κατὰ τὴν ἔμβασιν πλέον θερμαίνεσθαι, κινεῖ τὸ θερμὸν συνεχῶς ἐφ' ὅσον βούλεται χρόνον.

**113.** *Τίνος ἕνεκεν, εἰ πᾶν κινούμενον θερμότερον ἑαυτοῦ γίνεται καὶ μάλιστα ἐν θερμῷ ἀέρι καὶ τόπῳ, ὁ ἀὴρ ἐν τῷ ῥιπίζεσθαι κινούμενος, ψυχρότερος ἡμῖν φαί-*
b *νεται κατὰ τὴν ἁφήν, καὶ μάλιστα κατὰ τὸ θέρος; ὅτε καὶ ὑπὸ τῆς τοῦ ἡλίου θερμότητος πλέον ἐκπυροῦται, τοῦτο δοκεῖ ὑπ' ἐναντίον εἶναι τῷ πρὸ αὐτοῦ.* τὸ γὰρ θερμὸν ὕδωρ θερμότερον ἡμῖν ἐφαίνετο σαλευόμενον, ἐνταῦθα δὲ ψυχρότερος ἡμῖν ὁ θερμὸς ἀὴρ φαίνεται κινούμενος καὶ ῥιπιζόμενος. φημὶ ὅτι ἀεὶ τό τινος πλεῖον κατὰ ποιότητα ἢ δύναμιν νικᾷ μὲν καὶ τρέπει τὸ ἔλαττον, ἀντιπάσχει δὲ μετρίως ὑπ' αὐτοῦ τὸ ἰσχυρότερον. τὸ οὖν θερμὸν ὕδωρ, ἄγαν ὂν θερμὸν ὡς πρὸς τὸ σῶμα τὸ ἡμέτερον, θερμαινόμενον ἀντιψύχεται καὶ οὐ τὴν αὐτὴν ἔτι φυλάσσει ποιότητα. ὁ μέντοι περιέχων ἡμᾶς ἀὴρ ἐν τῷ θέρει μετρίως θερμὸς ὑπάρχων ὡς πρὸς σύγκρισιν τοῦ θερμοῦ ὕδατος ὁμιλῶν τοῖς σώμασιν ὑφ' ἡμῶν ἐκπυρουμένων ὑπὸ τῆς θερμῆς καταστάσεως, θερμαίνεταί πωσῶς, καὶ οὕτως ἡμᾶς ἀντιθερμαίνει, ὅπερ δρῶσι καὶ τὰ λινᾶ ἱμάτια. ψυχρὰ γὰρ ὄντα πρῶτον ὑφ' ἡμῶν θερμαινόμενα, οὕτως ἀντιθερμαίνει ἡμᾶς. δῆλον τοίνυν ὡς ἐν τῇ ῥιπίσει μετα-

*κινούμενος ἐκ τοῦ σώματος ὁ ὑφ' ἡμῶν θερμανθεὶς ἀὴρ καὶ ἕτερος προσιὼν ἀθέρμαντος, ψυχρὸς ἡμῖν φαίνεται· καὶ τοῦτο γίνεται κατὰ διαδοχήν.*

114. *Διὰ τί τὰ γινόμενα ἕλκη ἐν τῇ κόρῃ τοῦ ὀφθαλμοῦ καὶ ἀπουλούμενα λευκὰ φαίνεται, τὰ δὲ ἐκτὸς τῆς κόρης ἐν τῷ μέλανι οὐκέτι; ὅτι διὰ τῆς κόρης μόνης ἔξεισι τὸ ὀπτικὸν πνεῦμα διαυγέστατον ὂν καὶ φωτοειδές. ἐν οὖν τοῖς λευκώμασι τῆς οὐλῆς πυκνωσάσης τοὺς πόρους τοῦ κερατοειδοῦς χιτῶνος, οὐκέτι τὸ ὀπτικὸν πνεῦμα διέξεισιν· καὶ λοιπὸν συναγόμενον τῷ πλήθει καὶ καταλάμπον τὴν οὐλὴν λευκὴν αὐτὴν ἀποδείκνυσι· τῷ δὲ μὴ ἐξιέναι διὰ τὴν πύκνωσιν τὸ πνεῦμα τῆς ὄψεως οὐδὲ ὁρῶσιν.*

115. *Διὰ τί τὰ ἄχυρα καὶ θερμὸν ὕδωρ φυλάττει καὶ χιόνα τὴν ψυχράν, τουτέστι τὰς ἐναντίας ποιότητας; φημὶ τὴν φύσιν τῶν ἀχύρων εἶναι χωρὶς σαφοῦς ποιότητος, διὸ καὶ ἄποιά τινες αὐτὰ προσηγόρευσαν. ὄντα οὖν εὔκρατα μᾶλλον, θᾶττον συμβάλλεται οἷς ἂν ὁμιλήσειε, τὴν κρᾶσιν ἐκείνων ἀναλαμβάνοντα. θερμανθέντα τοίνυν ὑπὸ τῆς τοῦ θερμοῦ προσομιλίας, ἀντιθερμαίνουσιν αὐτὸ καὶ φυλάττουσιν· ὁμοίως δὲ καὶ ψυχθέντα παρὰ τῆς χιόνος, ἀντιψύχοντα ταύτην τηροῦσιν αὐτῆς τὴν ψυχρότητα· καθάπερ καὶ τὸ ἔλαιον εὔκρατα καὶ ἄποια τυγχάνοντα συμμεταβάλλοντα τῇ ποιότητι τῶν σὺν αὐτοῖς μιγνυμένων τὴν ἐκείνων ἀναλαμβάνοντα κρᾶσιν.*

116. *Διὰ τί ἐν χειμῶνι τοῦ ὑετοῦ παυσαμένου, τὰ ἄστρα φαιδρότερα ἡμῖν φαίνεται; διότι παρά τε τῶν ἀνέμων καὶ τῶν ὑετῶν ὁ περιέχων ἡμᾶς ἀὴρ καὶ πᾶς ὁ εἰς ὕψος ὑπὸ τῆς κινήσεως λεπτυνόμενος καὶ ὡς ἂν εἴποι τις σμηχόμενος, δίδωσι τῇ ὄψει καθαρωτέραν ἀντίληψιν τῶν ἀστρῴων σωμάτων καὶ διάβασιν εὐχερῆ καὶ πλείονα· δῆλον δὲ τοῦτό ἐστιν ἐκ τοῦ καὶ ἐν καθαροῖς καὶ αὐγέσιν ὕδασιν ἐν ἐμβάσεσιν οὖσαν, ὁρᾶν μᾶλλον καθαρὰ καὶ φαιδρότερα τὰ ἐγκείμενα σώματα, ἐν δὲ παχέσι καὶ ὑλώδεσι μηδόλως ὁρᾶν ἢ ἀμυδρῶς ὁρᾶν αὐτά.*

117. *Διὰ τί πολλάκις ἐν τῷ οὐρεῖν φρίττομεν; διότι χολὴ δριμεῖα συρρέουσα καὶ δάκνουσα τὴν οὐρηδόχον κύστιν ἐρεθίζει καὶ πᾶν τὸ σῶμα διεγείρεται πρὸς συμπά-*

*θειαν τοῦ μορίου καὶ τὴν ἀποκριτικὴν δύναμιν μετρίως προβάλλεσθαι καὶ ποιεῖν τὴν λεγομένην φρίκην. τοῦτο δὲ πάσχουσι μάλιστα παῖδες· εἰσὶ γὰρ διὰ τὴν ἀδηφαγίαν περιττωματικώτεροι.*

118. *Διὰ τί ἐν νυκτὶ μᾶλλον αἱ ὀδύναι σφοδρύνονται; διότι ἡ ψυχή, καθ' ἑαυτὴν σχολάζουσα καὶ μηκέτι κατά τε τὰς ὄψεις καὶ τὴν ἀκοὴν καὶ γεῦσιν καὶ τὰς λοιπὰς αἰσθήσεις ἐνεργοῦσά τε καὶ περιελκομένη πρὸς τὰς ἔξω πράξεις, πλέον ἀντιλαμβάνεται τῶν σωματικῶν παθῶν κατὰ τὴν ἁπτικὴν αἴσθησιν. ὀλίγαι γὰρ ἐν νυκτὶ γίνονται ψυχικαὶ ἐνέργειαι, ἀναπνοή φημι καὶ λογισμός· ὅτι δὲ ἐπὶ τὰ ἐκτὸς ἑλκομένη ἡ ψυχὴ διὰ τῶν οἰκείων ἐνεργειῶν ἧττον ἀντιλαμβάνεται τῶν τοῦ σώματος παθῶν, δῆλον ἐκ τοῦ κατὰ τὰ πένθη καὶ τὰς νόσους καὶ τὰς λοιπὰς περιστάσεις τὰς ἀπὸ τῶν φίλων ὁμιλίας καὶ διηγήματα κουφίζειν καὶ παραμυθεῖσθαι τῶν πασχόντων τὰ πάθη· b γίνωσκε δὲ τὴν μὲν φύσιν περὶ τὰς οἰκείας ἐνεργείας ἔλαττον ἐνεργεῖν ἐν ἡμέρα· λέγω δὴ τὰς πέψεις τῶν τροφῶν καὶ τῶν χυμῶν τὰς μεταβολάς, καὶ τὰς ἐξαιματώσεις καὶ ἀναδόσεις, τὰς θρέψεις, τὰς προσφύσεις, τὰς ὁμοιώσεις καὶ τὰ παραπλήσια· τὴν δὲ ψυχὴν μᾶλλον ἐνεργεῖν περὶ τὰς ἰδίας ἐνεργείας τὰς πέντε αἰσθήσεις καὶ κινήσεις τῶν μορίων παρὰ φαντασίαν καὶ λογισμὸν καὶ μνήμην· ἐν δὲ τῇ νυκτὶ τὸ ἐναντίον, μᾶλλον μὲν δρᾶν τὴν φύσιν, ἐπ' ἔλαττον δὲ τὴν ψυχήν.*

119. *Διὰ τί τὰ ὕελα ἐν τῷ χειμῶνι θερμοῦ σφόδρα τινὸς ἐμβληθέντος, ῥήγνυνται; διότι πολλὴν ἐκ τοῦ περιέχοντος κέκτηνται ψυχρότητα κατασπᾶν τὸ ἑαυτῶν σῶμα. ἐπὰν οὖν μὴ προθερμάναντες ἐμβάλωμεν θερμὸν ἄγαν ὕδωρ ἀθρόως, δῆλον ὡς ἐναντίαν ψυχρότητα διώξειεν ἂν ἡ θερμότης· καὶ λοιπὸν αὕτη μετὰ τοῦ πνεύματος ἀθρόως φεύγουσα ῥῆξιν ἐργάζεται τῷ τῆς ὑέλου σώματι. εἰδώσομεν γὰρ τοὺς πόρους τῶν σωμάτων τῆς ὑέλου σώματι. εἰδώσομεν γὰρ τοὺς πόρους τῶν σωμάτων τῆς ὑέλου, κἂν πρὸς τὴν ὄψιν καὶ τὴν αἴσθησιν ἀόρατοι ὦσιν, ἀλλ' οὖν γε πρὸς αὐτὴν τὴν ἀλήθειαν καὶ τὴν φύσιν περιέχουσί τινα λεπτομερέστατον ἀέρα. οἱ δέ φασι τὸ ψυχρὸν ἄγαν*

ἀποξηραίνειν καὶ ἀποσκληρύνειν τὸ σῶμα τῆς ὕελου, τῆς τὸ ἐν αὐτῷ λεπτομερίστερον ἤτοι ὑγρὸν ἢ ἀέρα ἐκθλίβεσθαι καὶ ἐκπυρηνίζεσθαι, καὶ οὕτως ἐπιτήδειον γίνεσθαι πρὸς ῥῆξιν καὶ κλάσιν, καθάπερ καὶ τὴν ξηρότητα τῶν ξύλων. οὕτω γὰρ καὶ Ἱπποκράτης ἔλεγε τὸ ψυχρόν, φλεβῶν ῥηκτικόν· τὸ οὖν ἄγαν θερμὸν εὑρίσκον τοιοῦτον τὸ σῶμα τῆς ὕελου ἔτι πλέον αὐτὸ καταξηραῖνον, ῥῆξιν καὶ κλάσιν αὐτῷ χαρίζεται. ἐὰν μέντοι προμαλαχθείη προθερμανθὲν συμμέτρως, οὐδὲν πείσεται· καθάπερ δὲ οἱ ἀθληταὶ μέλλοντες παλαίειν ἐλαίῳ προμαλάσσονται παρὰ τῶν παιδοτρίβων καὶ οἱ φωνασκοὶ δὲ παιονίζοντες προμαλακύνουσι τὰ ἀναπνευστικά· καὶ γὰρ ἡ ψύξις εὑροῦσα τῶν πόρων ἀναπέτειαν, φύγοι ἂν εὐχερῶς μετὰ τοῦ πνεύματος. καὶ τὸ μαλακὸν τῆς ὕελου εἶκον τῇ θερμότητι ταχέως θλάσιν οὐχ ὑφίστα- 21
ται. ὅτι δὲ πόρους ἔχει ἡ ὕελος, δηλοῖ καὶ τὰ ὀστράκινα τῶν ἀγγείων· ἐν γὰρ τῷ θέρει τὸ ἐμβαλλόμενον ὕδωρ ἐξιδροῖ· ἐὰν μὴ πισσωθῇ· ἔστι δὲ καὶ καπνὸν ἰδεῖν ἐξιόντα διὰ τοῦ σώματος τῆς ὕελου κατὰ τὸν χειμῶνα, ἐπὰν ἐμβάλλῃς θερμὸν ὕδωρ καὶ τὸ κίτριον δὲ ἔξωθεν προςτεθὲν καὶ θλαθὲν τῷ κράμματι ἔνδοθεν ὄντι τὴν αὐτοῦ δίδωσι ποιότητα.

**120.** *Διὰ τί τὰ παιδία καὶ μάλιστα τὰ βρέφη πίπτοντα κατὰ τῆς γῆς οὐ ταχέως κλᾶται, καθάπερ ἄνδρες;* ὅτι διὰ τὸ μαλακὸν ὂν τοῦ σώματος εἴκοντος τῷ ἐδάφει τῆς γῆς ἐκλύουσιν αὐτῆς τὸν τόνον καὶ τὸ σκληρὸν πρὸς τὸ μηκέτι δρᾶν· οἱ μέντοι ἄνδρες σκληροσώματοι τυγχάνοντες, τῷ ἀντιβαίνειν σκληρῷ τινι σώματι ἢ λίθῳ τινὶ τὴν τάσιν τῆς πληγῆς ἐπιτείνοντες ἀναγκάζουσι δρᾶν τὸν λίθον εἰς αὐτούς, ὡς σκληρότερον· τῷ λόγῳ τούτῳ καὶ σπόγγος πίπτων οὐ ῥήγνυται, ὕελος μέντοι ἢ ὄστρακον, ἤ τι τοιοῦτον σῶμα σκληρὸν πίπτον κλᾶται· καὶ ἐντεῦθεν ὁρμώμενος καθ' ὁμοιότητα λέξοις ἄν, καὶ διὰ τί καὶ κίνησις ἀνέμου σφοδρά, δρῦν μὲν καταβάλλουσα, κάλαμον δὲ οὐκέτι; διότι δρῦς μὲν ὡς σκληρὰ καὶ ἰσχυρὰ εὐμεγέθης ἀντιβαίνουσα τῷ ἀνέμῳ τὴν τούτου δύναμιν ἐπιτείνει, καλαμὸς δέ, ὡς μαλακὸς καὶ κοῦφος καὶ μικρός, εἴκων τῇδε κἀκεῖσε τῇ πνοῇ τοῦ ἀνέμου τὴν δύναμιν ἐκλύει. τούτῳ τῷ λόγῳ καὶ ἀθλητὴς ἀντιβαίνων μὲν τῷ ἀνταγωνιστῇ τὴν δύναμιν αὔξει τού-

του· ποσῶς δὲ εἴκων καὶ συμπεριφέρων αὐτὸν τῇδε κἀκεῖσε θᾶττον ἀπεκλύει τὸν τόνον αὐτοῦ.

**121.** Διὰ τί τὰ βρέφη μέλους ἀκούοντα παρὰ τῶν τροφῶν κλαθμυρίζοντα μὲν ἡσυχάζει, προϊόντα δέ, καὶ καθεύδει; διότι συνουσίωται μουσικῇ. καθάπερ καὶ πᾶσα ἐπιστήμη καὶ τέχνη τῇ ψυχῇ, ὥσπερ καὶ θερμότης ἔμφυτος τῷ πυρί, καθὼς καὶ ὁ Πλάτων ἔφησε τὰς ἐπιστήμας ἀναμνήσεις τῆς ψυχῆς εἶναι καὶ οὐ διδακτάς. ἀκούσασα οὖν ἡ ψυχὴ τοῦ τοιοῦδε μέλους παρὰ τῶν μελιζόντων ὑπομιμνησκομένη μὲν ἀναγκάζει ἡσυχάζειν τὰ βρέφη. θελγομένη δὲ καὶ εἰς ὕπνον αὐτὰ καταφέρει· ἀμόλυντος μὲν γὰρ
b οὖσα σώματος τὰς ἐπιστήμας εἰλικρινεῖς ἔχει, μολυνθεῖσα δὲ ἐν σώματι, ὥσπερ εἰς λήθην μετρίαν αὐτῶν ἔρχεται.

**122.** Διὰ τί τὰ βρέφη αἱ τροφοὶ πρὸς ὕπνον τρέπουσαι κινοῦσιν αὐτά; πρὸς τὸ τοὺς χυμοὺς ὑπὸ τῆς κινήσεως χεομένους κινεῖν τὸν ἐγκέφαλον· τέλειοι μέντοι τοῦτο πάσχειν οὐκ ἀνέχονται.

**123.** Διὰ τί τῶν ἄγαν μεθυόντων ἔνιοι διπλᾶ βλέπουσι; διότι ὑπὸ τῆς πολλῆς ὑγρότητος οἱ μύες τῶν ὀφθαλμῶν πληρούμενοι, κατὰ τὸ πλέον ἢ ἔλαττον, καὶ χαλαροὶ γινόμενοι διαστρέφουσι τοὺς ὀφθαλμούς· τοὺς μὲν ἐπὶ τὸ ἄνω, τοὺς δὲ ἐπὶ τὸ κάτω· καὶ οὕτω λοιπὸν αἱ τῶν ὀφθαλμῶν ἀκτῖνες οὐκ εἰς τὸν αὐτὸν ἅμα τόπον συμβάλλουσιν, ἀλλ' εἰς διαφόρους τόπους καὶ σώματα· καὶ οὕτως ἕκαστος τῶν ὀφθαλμῶν ὁρῶν ἰδία, διπλῆν ὄψιν ἀπεργάζεται. ὅτι δὲ τοῦτο ἀληθέστατον ὑπάρχει, δῆλον ἐκ τοῦ καὶ τοὺς τῷ δακτύλῳ τὸν ἕτερον τῶν ὀφθαλμῶν θλίβοντάς τε καὶ ὠθοῦντας ἐπὶ τὸ ἄνω, διπλᾶ πάντα ἀναγκάζειν ὁρᾶν.

**124.** Διὰ τί οἱ ἐκ φύσεως στραβοὶ διπλᾶ οὐχ ὁρῶσι; διότι τὴν παρατροπὴν τῶν ὀφθαλμῶν οὐκ ἔχουσιν ἐπὶ τὸ ἄνω καὶ κάτω, ἀλλ' ἐπὶ τὸ δεξιὸν μέρος καὶ τὸ ἀριστερόν· καὶ πάλιν οἱ ὀφθαλμοὶ κεκτημένοι τὴν αὐτὴν θέσιν, φημὶ δὴ τὴν ἐπ' εὐθείας, ἔχουσι τὰς δύο ἀκτῖνας ἑαυτῶν εἰς ἓν σῶμα συμπίπτουσας· καὶ οὕτω μίαν χροιὰν καὶ ποιότητα τοῖς ὀφθαλμοῖς ἀναφέρουσι πρὸς ἀντίληψιν αὐτῆς.

**125.** Διὰ τί τὰ ἡβάσκοντα παιδία τραγᾷ· περὶ ιδ' ἔτος; ὅτι τότε ἡ διοικοῦσα τὰ ἀνθρώπινα σώματα φύσις πολλὴν

*καὶ ἀθρόαν μεταβολὴν ἐργάζεται τῆς ἡλικίας· πίστις δὲ τῶν λεγομένων ἡ ἐνέργεια· θεωρεῖν γὰρ πάρεστι τῶν μὲν θηλειῶν τοὺς μαστοὺς αὐξανομένους διὰ τὴν τοῦ γάλακτος συναγωγήν· ἔτι γε μὴν καὶ τοὺς παρὰ τὸ ἰσχίον τόπους διὰ τὴν τοῦ βρέφους παραμονήν, τῶν δὲ ἀνδρῶν θώρακα καὶ ὤμους διὰ τὴν τῶν ἐπιτιθεμένων βαρέων σωμάτων κομιδήν, διδύμους δὲ διὰ τὴν τοῦ σπέρματος ἀπόταξίν τε καὶ μονήν, τὸ δὲ αἰδοῖον διὰ τὴν τοῦ σπέρματος εὐχερῆ πρόοδον· εὐρύνεται δὲ αὐτοῖς καὶ τὸ πᾶν σῶμα, ὡς δηλοῦσι καὶ νόσων μεταβολαί. καὶ λύσεις γεγο-* 22
*νυῖαι περὶ ιδ' ἔτος. καὶ ἡ τῆς φωνῆς δὲ τραχύτης ὃ προςαγορεύεται βράγχοι τραγᾶν, ἐκ μεταφορᾶς τῶν τράγων οὕτως κραζόντων. ἐν γὰρ τῷ εὐρύνεσθαι καὶ τὴν τραχεῖαν ἀρτηρίαν ἐξ ἀρχῆς συμβαίνει τὰ μὲν αὐτῆς μᾶλλον τὰ δὲ ἧττον εὐρύνεσθαι· καὶ ὥσπερ ἀνώμαλον αὐτῆς τὸ σῶμα κατὰ τὴν ἔνδον ἐπιφάνειαν ὑπάρχειν ἄχρι καὶ τοῦ λάρυγγος· τὸ οὖν πνεῦμα διὰ τῶν μερῶν τούτων ἐξιὸν καὶ ὥσπερ προκόπτον διὰ τὸ ἀνώμαλον τῆς ὁδοῦ καὶ τὴν φωνὴν ἀνώμαλον ἐργάζεται καὶ τραχεῖαν καὶ βραγχώδη· τοῦτο πάσχουσι καὶ οἱ ῥευματισθέντες ἐπὶ τῶν καταῤῥων τὴν τραχεῖαν ἀρτηρίαν. ἀπὸ γὰρ τῆς ῥευσάσης ὑγρότητος, ὁ ἔνδον λεῖος ὑμὴν ἀνωμάλως πληρούμενος, ἀνώμαλον καὶ τὴν ἔξοδον τοῦ πνεύματος ἐργάζεται· τοιαύτην ἴσθι καὶ τὴν τῶν τράγων τραχεῖαν ἀρτηρίαν καὶ τὸν λάρυγγα δι' ὑγρότητα πλείστην, καὶ τοὺς ἔλαιον πλεῖον πίνοντας. τοὺς μέντοι διὰ συνεχεῖς καὶ συντόνους κραυγὰς διὰ ξηρότητα τῆς τραχείας ἀρτηρίας, ἀνώμαλον καὶ τὴν φωνὴν ἔχειν νόμιζε. γεράνων μέντοι καὶ τῶν τραχυφώνων ὀρνέων αἱ ἀρτηρίαι γεγόνασιν ἐκ φύσεως δι' ὅλου τραχεῖαι· μετὰ δὲ τὸ τῆς ἥβης ἔτος παίδων τὸ τρυγᾶν παύεται λοιπὸν τῆς τραχείας ἀρτηρίας διὰ παντὸς εὐρυνθείσης τελέως καὶ τὴν κατὰ φύσιν ἀπολαβούσης ὁμαλότητα.*

126. *Διὰ τί τὸ ἔλαιον πινόμενον ἔμετον προκαλεῖται καὶ μάλιστα ξανθῇ χολῇ; διότι κοῦφον ὂν καὶ ἀνωφερὲς προκαλεῖται τὰς τροφὰς ἐπὶ τὸν στόμαχον μετεωρίζον αὐτάς· καὶ οὗτος βαρυνόμενος ἐπεγείρει τὴν ἀποκριτικὴν δύναμιν πρὸς ἔμετον, μάλιστα δὲ τὴν ξανθὴν χολὴν*

ὡς κούφην καὶ λεπτομερῆ τυγχάνουσαν. ὅτι δὲ τὸ ἔλαιον ἀνωφερές ἐστι, σαφὲς τῇ ἐνεργείᾳ· μιγνύμενον γὰρ ὑγρῷ τινι τρέχει πρὸς τὴν ἄνω χώραν.

127. *Διὰ τί τὸ ἔλαιον μόνον τοῖς ὑγροῖς οὐκ ἀναμίγνυται;* διότι γλίσχρον ὂν καὶ ἡνωμένον πρὸς ἑαυτό, οὐ δύναται κατατέμνεσθαι εἰς ἄτομα μόρια καὶ συμμίγνυσθαι b τοῖς λοιποῖς ὑγροῖς. ὅθεν οὐδὲ κατὰ γῆς χεόμενον θᾶττον διεσδύνει ταύτην.

128. *Διὰ τί ἔλαιον μὲν καὶ ὕδωρ ὑπὸ κρύους πήγνυται, οὐκέτι δὲ οἶνος ἢ ὄξος ἢ γάρος;* ὅτι τὸ μὲν ἔλαιον, ἄποιον ὂν καὶ μᾶλλον εὔκρατον, ταχέως ψύχεται καὶ οὕτω σφοδρῶς, ὡς καὶ πήγνυσθαι τῇ ἄκρᾳ ψύξει· τὸ δὲ ὕδωρ αὐτόθεν ψυχρὸν ὂν ῥᾷον ἑαυτοῦ ψυχρότερον γινόμενον πήγνυται· ὁ μέντοι γάρος, ὡς λεπτομερὴς καὶ θερμὸς οὐ ταχέως ψύχεται. τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ οἶνος· τὸ δὲ ὄξος ὡς λεπτομερέστατον οὐχ ὑπομένει πῆξιν.

129. *Διὰ τί τὰ ἐναντία κατὰ ποιότητα τὸ αὐτὸ δρῶσι;* καὶ γὰρ τὸ ψυχρὸν πήγνυσι τὸ ὑγρὸν καὶ τὸ θερμὸν ὁμοίως. οὕτω γὰρ καὶ χιὼν καὶ ζωμὸς πήγνυται ὑπὸ ψυχρότητος, καταπλάσματα δὲ καὶ λίθοι ἐν κύστει παρὰ θερμότητος· φημὶ ὅτι κατ' ἄλλην καὶ ἄλλην ἐνέργειαν. τὸ μὲν γὰρ θερμὸν τῷ ἐκβόσκεσθαι καὶ δαπανᾶν τὴν πολλὴν ὑγρότητα· τὸ δὲ ψυχρὸν τῇ πυκνότητι πιλοῦν ἐκθλίβει τὴν αὐχμώδη ὑγρότητα, καθάπερ καὶ σπόγγος ὑπὸ χειρῶν θλιβόμενος τὸ ἐν τοῖς πόροις ὕδωρ ἀποβάλλει.

130. *Διὰ τί πολλάκις ῥῖγος ἐπαύσατο, φοβεροῦ τινος ἢ κτύπου γενομένου κατὰ τὴν ἐπισημασίαν τῷ πάσχοντι, ἢ ὕδατος ἀθρόως ῥιφέντος;* διότι πολλάκις τῷ χρόνῳ τῶν χυμῶν πεφθέντων καὶ λεπτυνθέντων ἡ φυσικὴ θερμότης πᾶσα σφοδρῶς καὶ ἀθρόως ἀπὸ τοῦ δέρματος ἐπὶ τὸ βάθος φεύγουσα, τὸν νοσώδη χυμὸν ἐξαναλίσκει καὶ διαφορεῖ· τοῦτο δὲ ποιεῖ καὶ ἡ θηριακὴ καὶ τὰ πλεῖστα τῶν θερμῶν καὶ ξηρῶν εἰδῶν εὐκαίρως καὶ μετὰ πέψιν λαμβανόμενα.

131. *Διὰ τί οἱ στρεφόμενοι πολλὰ παρὰ τὴν συνήθειαν καταπίπτουσιν;* ὅτι ἀναγκάζουσι τὸ ψυχικὸν ἐν ἐγκεφάλῳ πνεῦμα ταράσσεσθαι καὶ εἰλεῖσθαι σὺν τοῖς ὑγροῖς,

*καὶ τοῦτο λοιπὸν ἀνεπιτήδειον γινόμενον πρὸς ὑποδοχὴν ψυχικῆς δυνάμεως, αἰσθητικῆς καὶ κινητικῆς, οὐκ ἐᾷ φέρεσθαι τοῖς τε μυσὶ καὶ τοῖς νεύροις ἐνέργειαν· καὶ λοιπὸν οὕτως τὸ βάρος τοῦ σώματος, μὴ ὀχούμενον καὶ ἀναβασταζόμενον ὑπὸ ψυχῆς, κατὰ γῆς φέρεται πρὸς ἣν καὶ τὴν ῥεῦσιν ἔχει· διὰ τοῦτο δὲ καὶ σκότος ὁρῶσι τῷ τεθολῶσθαι* 23
*τὸ ὀπτικὸν αὐτῆς πνεῦμα καὶ ἀνομοίως ταῖς λοιπαῖς αἰσθήσεσιν ἐνεργεῖν· ἐπὶ δὲ τῶν κατ' ὀλίγον ἐθιζομένων πλείονα στρέφεσθαι τοῦτο σπανίως γίνεται τῷ τὴν συνήθειαν μὴ ξενίζειν τὴν ψυχὴν μετὰ τῆς φύσεως, ἀλλ' ὥσπερ οἰκειοῦσθαι· τῷ χρόνῳ γὰρ τὸ κατὰ βραχὺ καὶ συνεχῶς γινόμενον λανθάνον τὴν αἴσθησιν καὶ πολὺ γινόμενον, οὐκ οἶδεν οὐκέτι ξενίζειν, οὐδ' ὅ τι οὖν τῶν ἀντιλήψεων μεταλαμβανόντων.*

**132.** *Διὰ τί τὰ ὑέλινα κάτοπτρα λάμπουσιν ἄγαν; ὅτι ἔνδοθεν αὐτῶν χρίουσι κασσιτέρῳ· πέφυκε δ' αὐτοῦ ἡ φύσις διαυγὴς καὶ τῇ ὑέλλῳ ἀναμιγνυμένη λαμπρᾷ οὔσῃ πλέον διαυγάζεται, καὶ τὰς ἰδίας ἀκτῖνας διὰ τῶν πόρων τῆς ὑέλλου παραπέμπουσα διπλασιάζει τὸ ἐπὶ πολλῆς καὶ ἐκτὸς τοῦ σώματος τῆς ὑέλλου· καὶ οὕτως γίνεται σφόδρα λάμπουσα. τῶν δὲ ποιοτήτων, αἱ μὲν οὐδόλως εἰς βάθος παραπέμπουσιν ἑαυτῶν τὴν ποιότητα, ὡς λευκότης καὶ μέλαν, καὶ πυρρόν, καὶ τὰ ὅμοια. αἱ δὲ εἰς βάθος διαπέμπουσι τὴν ἑαυτῶν ποιότητα κατ' ἀλλοίωσιν, ὡς ψυχρότης, ὑγρότης, θερμότης, ξηρότης. ὅθεν καὶ παρὰ φιλοσόφοις καὶ ἰατροῖς δραστικαὶ λέγονται ποιότητες πρὸς ἀντιδιαστολὴν καὶ σύγκρισιν τῶν προειρημένων.*

**133.** *Διὰ τί ἐπὶ τῶν κατόπτρων καὶ τῶν διαφανῶν ὑδάτων, ἑαυτοὺς ὁρῶμεν; ὅτι ἡ ποιότης τῆς ὄψεως ἀπιοῦσα πρὸς τὰ λαμπρὰ σώματα πάλιν κατ' ἀνάκλασιν ἔρχεται διὰ τῶν ἀκτίνων τῶν ὀφθαλμῶν πρὸς τὴν ἑαυτῆς θέαν· ὅτι δὲ ποιότητες ἀπιᾶσι τοῦ προσώπου, καὶ οὐδὲν ἄτοπον, δηλοῦσι καὶ οἱ περὶ τὰ δένδρα παραμένοντες ὠχρὰν τὴν ὄψιν ἔχοντες, τῷ τὴν ὠχρὰν ποιότητα τῶν χλωρῶν φύλλων ἀπιέναι πρὸς τὸ πρόσωπον· ὁμοίως δὲ καὶ πρὸς τὸ ῥέον ὕδωρ ἀπιοῦσα, χλωρὸν αὐτὸ δείκνυσι.*

**134.** *Διὰ τί τὰ καθαρὰ τῶν ἄντρων καὶ οἱ ὑψηλότα-*

τοι τόποι καὶ κρημνοὶ ποιοῦσι καὶ ἀντιπέμπουσι ταῖς φωναῖς ἦχον; διότι καὶ τὰ χωρία ταῦτα κατ' ἀντανάκλασιν
b τὴν πληγὴν ἀναπέμποντα τὸν ἦχον ποιοῦσι· ἡ γὰρ φωνὴ πλήττει τὸν ἀέρα, ὁ δὲ ἀὴρ τὸν τόπον. καὶ ὅσον μᾶλλον πληττόμενος πέμπει, τοσοῦτον καὶ τὸν ἦχον σφοδρότερον συμβαίνει γίνεσθαι. τὰ δὲ ὑγρὰ τῶν χωρίων ὥσπερ μαλακώτερα τυγχάνοντα, τῇ πληγῇ εἴκοντα καὶ ἐκλύοντα αὐτήν, τὸν ἦχον οὐκ ἀποτελεῖ· πρὸς δὲ τὸ ποιὸν καὶ τὸ ποσὸν τῆς φωνῆς καὶ τῆς πληγῆς, καὶ τὸ ποιὸν καὶ τὸ ποσὸν τοῦ ἤχου ἐναποτελεῖται. κακῶς δέ τινες ὡς δαίμονα τὴν Ἠχὼ μυθεύουσιν εἶναι, ἄλλοι δέ φασι τὸν Πᾶνα πεφιληκέναι ταύτην, ὅπερ ψεῦδος· ἀνὴρ γάρ τις γέγονε σοφός, ὅστις πρῶτος ἐπόθησε καὶ ἐπεζήτησε μαθεῖν τὴν αἰτίαν τῆς ἠχοῦς· καὶ ὥσπερ οἱ φιλοῦντες καὶ μὴ τυγχάνοντες δυσφοροῦσιν, οὕτω καὶ αὐτὸς πρὸ τῆς λύσεως ἐδυσχέραινε, καθάπερ καὶ ὁ πρῶτος εὑρὼν Ἐνδυμίων τὸν δρόμον τῆς σελήνης, ἀγρυπνῶν τὰς νύκτας, καὶ προσέχων αὐτῆς τῷ δρόμῳ καὶ ζητῶν τὰς κινήσεις, τὰς ἡμέρας ἐκάθευδε· μυθεύουσιν οὖν τὴν Σελήνην ποθῆσαι τοῦτον καὶ ἐλθεῖν πρὸς αὐτὸν καθεύδοντα, καὶ ὥσπερ ἐπιδεδωκέναι ἑαυτῆς τὴν λύσιν τῆς αἰτίας τῷ φιλοσόφῳ. φασὶ δὲ αὐτὸν καὶ ποιμένα, διότι περὶ τοὺς ἐρήμους καὶ καθαροὺς τόπους καὶ ὑψηλοὺς ἑώρα ταύτης τὴν κίνησιν· πυκτίδα δ' ἔχοντα, διότι περὶ τοὺς ὑψηλοὺς τόπους μᾶλλον τὰ πνεύματα, ἢ ὅτι τὴν ἁρμονίαν ἐζήτει τῶν σχημάτων. ὁμοίως δὲ καὶ ὁ Προμηθεὺς σοφός τις ὢν καὶ ζητῶν τὴν αἰτίαν τοῦ ἀστρῴου ἀετοῦ καὶ τὴν φύσιν καὶ τὴν θέσιν, καὶ τῇ ἐπιθυμίᾳ τοῦ μαθεῖν κατεσθιόμενος ἐπαύσατο, τοῦ Ἡρακλέους αὐτῷ τὰ ἐπαπορούμενα λύσαντος τῇ οἰκείᾳ σοφίᾳ.

135. *Διὰ τί τὸ ὕδωρ τὸ ἱστάμενον ἐπιπολῆς ὂν καὶ μὴ εἰς βάθος τῆς γῆς, λίθου ῥιπτομένου κατ' αὐτοῦ πολλοὺς κύκλους ποιεῖ;* ὅτι τῇ τάσει τῆς βολῆς ἀποδιώκει πανταχόθεν ἑαυτοῦ τοῦ σώματος ὁ λίθος τὸ ὕδωρ πόρρωθεν, καὶ οὕτως γίνεται κύκλος, τοῦ ἰσοδύναμον καὶ ἰσότιμον εἶναι τὴν τάσιν τῆς βολῆς· διὰ δὲ τὴν ἄμετρον τάσιν καὶ μείζων ὁ κύκλος· καταβαίνων δὲ ἄχρι τῆς γῆς ὁ λίθος καὶ διασπῶν τὰ σώματα τοῦ ὕδατος κατὰ τὸ ἑξῆς, εἰκότως

πολλοὺς ἐργάζεται κύκλους· πρῶτον γὰρ τὸ ἐπιπολῆς τοῦ 24 ὕδατος κινῶν, διΐστησιν· ἔπειτα κατὰ τὸ συνεχὲς κατιὼν ἐπὶ τὸ βάθος καὶ διαχωρίζων πᾶν τὸ ὕδωρ, ἕτερον ποιεῖ κύκλον· καὶ τοῦτο κατὰ διαδοχὴν γίνεται, μέχρις ἂν ὁ λίθος στῇ καὶ ἠρεμήσῃ τῷ διεκλύεσθαι τὴν τάσιν τοῦ λίθου κατιοῦσαν κατ' ὀλίγον ἐπάναγκες, τὸν μεταγενέστερον κύκλον τοῦ πρὸ αὐτοῦ μικρότερον γίνεσθαι διὰ τὸ καὶ ὑπὸ τοῦ λίθου μὴ ὁμοίως διΐστασθαι κατὰ τὴν πληγὴν τὸ ὕδωρ.

136. *Διὰ τί τὸν γέλωτα πολλοὶ νομίζουσιν ἐκ τοῦ σπληνὸς γίνεσθαι,* φάσκοντες ἐπὶ τῶν σκιρρουμένων σπληνῶν μὴ ὁμοίως τοὺς πάσχοντας γελᾶν ὡς ἐπὶ τῶν ἐρρωμένων, ἀλλὰ μᾶλλον κατηφεῖς εἶναι; ὅτι κατὰ τὸ συμβεβηκὸς ὁ σπλὴν καὶ οὐ κυρίως ἐστὶν αἴτιος τοῦ γέλωτος· ἐὰν μὲν γὰρ ᾖ ἐρρωμένος, ἕλκει ἐκ τοῦ ἥπατος πάντα τὸν τρυγώδη καὶ μελαγχολικὸν χυμὸν καὶ οὕτω καθαρὸν ἀνιὸν τὸ αἷμα ἐν ὅλῳ τούτῳ σώματι καὶ ἐν τῷ ἐγκεφάλῳ ἥδει φύσιν καὶ ψυχήν, καὶ ὥσπερ οἶνος εὐφραίνει ταύτην καὶ εἰς εὐθυμίαν ἄγει· ἀπὸ δὲ ταύτης ὁ γέλως κινεῖται.

137. *Διὰ τί αἱ ἡμίονοι οὐ τίκτουσι;* ὅτι ἐκ διαφόρων εἰδῶν ζῴων συνεστήκασι καὶ ἡ τῶν διαφερόντων κατὰ κρᾶσιν καὶ φύσιν σπερμάτων μῖξις, ἕτερόν τι γενῶν παρὰ τὸ πρότερον, καὶ τὴν τῶν γεννησάντων ἀφανίζει φύσιν· καθάπερ καὶ λευκοῦ καὶ μέλανος μῖξις ἀφανίζουσα τῶν ἄκρων τὸ χρῶμα τίκτει χροιὰν ἑτέραν τὴν τοῦ φαιοῦ, μηδὲν τῶν ἄκρων ὑπερέχουσαν. ἡ γεννητικὴ τοίνυν κρᾶσις, ἠφάνισται καὶ τῶν εἰδῶν ἡ ἐπιτηδειότης.

138. *Διὰ τί οἱ ἐκ γενετῆς κωφοὶ καὶ ἄλαλοι;* διότι ἅπερ οὐκ ἤκουσαν, οὐ δύνανται λέγειν καὶ ἐκκράζειν. τῶν δὲ ἰατρῶν τινές φασιν, ὅτι μία συζυγία νευρῶν ἐστιν ἐρχομένη πρός τε γλῶσσαν καὶ ὦτα, καὶ ἀνάγκη συμπάσχειν ἅμα. οἱ μέντοι ἐκ πάθους κωφοὶ οὐ πάντως ἄλαλοι· τὸ γὰρ νεῦρον μόνον πέπονθε τὸ ἀκουστικόν· ὁμοίως καὶ οἱ ἐκ πάθους ἄλαλοι, οὐκέτι καὶ κωφοί· τοπικὴ γὰρ γίνεται τῶν νεύρων τῆς γλώσσης πεῖσις.

139. *Διὰ τί πολλοὶ νηστεύοντες μετὰ τὴν τροφὴν ῥιγοῦσιν;* ὅτι τῇ βραδυτῆτι τῆς τροφῆς ἐκχολούμενοι, δρι- b

μοὶ χυμοὶ σωρεύουσι. μετὰ τροφὴν οὖν, ῥωννυμένων τῶν μορίων καὶ τῆς χολῆς ἀποδιωκομένης παρ' αὐτῶν εἰς τὸ δέρμα, συμβαίνει τὸ ῥῖγος γίνεσθαι, τῆς χολῆς δακνούσης τὰ μόρια καὶ ἐπανιστώσης αὐτὰ πρὸς ἀποδίωξιν.

**140.** *Διὰ τί ὕες ἄνω βλέπουσαι σιγῶσι βασταζόμεναι;* διότι περὶ τὰ ἄλλα τῶν ἀλόγων ζώων ἀεὶ πρὸς τὴν γῆν νεύουσι τῇ δυσωδίᾳ τερπόμενα καὶ ταύτην ἐπιζητοῦντα. ἐν οὖν τῇ ἀθρόᾳ μεταβολῇ τῆς ὄψεως ξενιζόμενα ὑπὸ τοῦ πολλοῦ φωτὸς σιγὴν ὑπομένει. τινὲς δέ φασι τὴν τραχεῖαν ἀρτηρίαν στενοπόρον οὖσαν συμπίπτειν τῷ ἀνωρρόπῳ σχήματι.

**141.** *Διὰ τί ὕες τῇ κόπρῳ τέρπονται;* κατὰ μὲν τοὺς ἰατροὺς ὅτι φυσικῶς ἥδονται ταύτῃ, ἧπαρ μέγιστον ἔχοντες, ἐν ᾧ καὶ ἡ ἐπιθυμία. κατὰ δὲ Ἀριστοτέλη, ὅτι παχύρρυγχοι ὄντες ἔχουσι διαφορουμένην τὴν ὄσφρησιν καὶ μὴ ἀντιλαμβανομένην τὴν δυσωδίαν.

**142.** *Διὰ τί τῶν ἑλκῶν ὑγιαζομένων καὶ παυομένης τῆς φλεγμονῆς κνησμοὶ γίνονται;* διότι λοιπὸν ὑγιασθὲν τὸ μόριον καὶ ῥωσθὲν ἀποδιώκει τὸ λείψανον τοῦ παρὰ φύσιν χυμοῦ τοῦ ποιήσαντος τὸ ἕλκος· καὶ οὗτος ἐξιὼν διὰ τοῦ δέρματος καὶ διαφορούμενος τὸν κνησμὸν ποιεῖ.

**143.** *Διὰ τί αἱ μονοπάθειαι τῶν ὀφθαλμῶν δεινότεραι γίνονται, καὶ πολυχρονιώτεραι;* φημὶ κατὰ διττὴν αἰτίαν· ὅτι τε τὸ ῥεῦμα πρὸς ἕνα μόνον σεσώρευται τῶν ὀφθαλμῶν (τὸ γὰρ μεριζόμενον μᾶλλον ἀεὶ ἀσθενέστερον ἑαυτοῦ γίνεται καὶ ἧττον δραστικώτερον), καὶ ὅσῳ μᾶλλον καταμερίζεται τοσούτῳ πλέον ἐστὶν ἀδρανέστερον. ἢ ὅτι κινούμενος ὁ ὑγιὴς ὀφθαλμός, ἐν ταῖς ἐνεργείαις ἑαυτοῦ συνεχῶς ἀναγκάζει καὶ τὸν νοσοῦντα συγκινεῖσθαι τοσαυτάκις· ἐμάθομεν δὲ μέγιστον ἴαμα παντὸς πάσχοντος μέρους τὴν ἀκινησίαν ὑπάρχειν.

**144.** *Διὰ τί ἄνθρωπος μᾶλλον καὶ συνεχῶς καὶ σφοδρότερον ὑπὲρ πάντα τὰ ἄλογα ζῶα πτάρνυται;* διότι πλείονι καὶ ποικιλωτέρᾳ καὶ πλέον τοῦ κόρου κέχρηται τροφῇ καὶ πνεύματι, καὶ διὰ τοῦτο μὴ πέττων αὐτὴν κατὰ λόγον, πολὺ συνάγει πνεῦμα διὰ τὴν πολλὴν ὑγρότητα· τοῦτο τοίνυν ὡς λεπτομερὲς ἀνιὸν πρὸς τὸ ἐγκέφαλον ἀναγκάζει

*αὐτὸν συνεχῶς ἐπεγείρεσθαι πρὸς ἀπόκρισιν καὶ ποιεῖν τὸν πταρμόν. ψόφος οὖν γίνεται τῷ διὰ στενῶν πόρων τῆς ῥινὸς τὸ πνεῦμα διαβαίνειν ἀθρόως, ὡς καὶ ἀπὸ πάρδης δι' ἕδρας, καὶ ἐρυγὴ διὰ στομάχου, καὶ φωνὴ διὰ λάρυγγος, καὶ ἦχος δι' ὤτων, καὶ βορβορυγμὸς δι' ἐντέρων ὁμοίως.*

145. *Διὰ τί τῶν τεθνηκότων αἱ τρίχες αὔξονται καὶ οἱ ὄνυχες ἐπὶ χρόνον τινά; διότι τῆς σαρκὸς ἀπομαραινομένης, τὰ κρυπτόμενα μέρη περὶ τὰς ῥίζας αὐτῶν νῦν φαίνονται καὶ ἀπατῶσι καὶ φαντασίαν παρέχουσιν ὡς αὐξηθέντα· τινὲς δέ φασιν, ὅτι κατὰ ἀλήθειαν αὔξονται, διότι ταῦτα περιττωματικὴν ἔχουσι τὴν γένεσιν· τὰ δὲ νεκρὰ σώματα κατὰ τὰς ἀρχὰς εἰς περιττώματα πλεῖστα διὰ τὴν προσγινομένην σῆψιν ἀναλύονται· ταῦτα δέ, διὰ τῶν πόρων καὶ τῶν ἄκρων τοῦ σώματος μετὰ τοῦ πνεύματος ἐξιόντα, τὴν τῶν εἰρημένων αὔξει γένεσιν.*

146. *Διὰ τί ἐπὶ τῶν δακτύλων τῶν χειρῶν μᾶλλον ἤπερ ἐπὶ τῶν ποδῶν αἱ λεγόμεναι λεῦκαι γίνονται, καὶ παισὶ μᾶλλον ἢ τελείοις· ὅτι τὴν γένεσιν ἐκ φλεγματικῶν μᾶλλον περιττωμάτων ἔχουσι, τὸ δὲ φλέγμα μᾶλλον ὡς ἀδηφάγοις τοῖς παισὶ πλεονάζει καὶ ὡς ἀργοτέροις· οἱ δὲ ὄνυχες τῶν ποδῶν μᾶλλον ἐν τῇ κινήσει καὶ τῷ περιπάτῳ πλέον γυμναζόμενοι, διαφοροῦσι τὰ περιττώματα.*

147. *Διὰ τί ἐν τοῖς ποσὶν αἱ τρίχες οὐ ταχέως πολιοῦνται; διὰ τὴν αὐτὴν αἰτίαν. οἱ γὰρ πόδες ἐν τῷ συνεχεῖ καὶ συντόμῳ περιπάτῳ τὸ κατιὸν εἰς αὐτοὺς περίττωμα φλεγματῶδες διαφοροῦσιν, ὅπερ ἦν αἴτιον τῶν πολιῶν· ἡ δὲ ἥβη καὶ αὐτὴ βραδέως πολιοῦται διότι θερμοτέρα πέφυκε καὶ ἐν τῇ συνουσίᾳ διαφορεῖ τὸ φλέγμα.*

148. *Διὰ τί τοῖς ἀνθρώποις ἡ φωνὴ καὶ ὁ λόγος βραδέως τελειοῦται, τοῖς δὲ ἀλόγοις εὐθέως, ἢ μετὰ βραχὺν χρόνον; διότι ποικιλωτέρα καὶ τεχνικωτέρα καὶ διδαχῆς μᾶλλον δεομένη· ἡ δὲ τῶν ἀλόγων ἁπλουστέρα καὶ φυσικωτέρα μᾶλλον ἢ ψυχικωτέρα.*

149. *Διὰ τί τὰ πλεῖστα τῶν ζῴων τὰς οὐρὰς κινεῖ* b
*γνωρίζοντα τὰς συνήθεις, καὶ τὰς πλευρὰς δὲ λέων τύπτει θυμούμενος· ὁμοίως δὲ καὶ ταῦρος; διότι τὸν νωτιαῖον μυελὸν ἔχουσιν ἄχρις αὐτῶν κατιόντα καὶ περιέχοντα ψυ-*

γικὴν δύναμιν καὶ κινητικήν· ἡ ψυχὴ τοίνυν ἐπιγινώσκουσα τὸ σύνηθες, ὥσπερ διὰ χειρός τινος, καθάπερ ἐπ' ἀνθρώπων τὴν οὐρὰν ἀναγκάζει κινεῖσθαι πρόδηλον τὴν ἑαυτῆς δύναμιν ἔνδον κεκρυμμένην, καὶ γινώσκουσαν τὸ ὀφειλόμενον· ἐν δὲ τῷ θυμῷ τῶν λεόντων καὶ τῶν ταύρων συμπάσχουσα ἡ ψυχὴ τῇ φύσει, πάλιν ἀναγκάζει κινεῖσθαι ταύτην σφοδρῶς. καθάπερ καὶ ἐπὶ τῶν ἀνθρώπων ὁρῶμεν πολλάκις ἐν ὀργῇ τὰς χεῖρας πληττόντων ἢ μόριον ἕτερον· ἡ γὰρ ψυχὴ τὸ βλάπτον ἀμύνασθαι μὴ δυναμένη παραχρῆμα, ἑτέρῳ τρόπῳ σοφίζεται τὴν παραμυθίαν, κτύπῳ καὶ πληγῇ τὸ πάθος θεραπεύουσα.

**150.** Διὰ τί αἱ κεκαυμέναι κριθαὶ ξήριον ἐπιπασσόμεναι τοῖς ἕλκεσι τῶν ἵππων οὐκέτι λευκὰς τρίχας ἐπὶ τῶν οὐλῶν φέρουσιν, ἀλλ' ὁμόχρους ταῖς λοιπαῖς θριξίν, οἷαί περ πεφύκασι; διότι ῥυπτικῆς οὖσαι δυνάμεως, ἀποσμήχουσι καὶ διαφοροῦσι τὸ ὑποκείμενον φλεγματῶδες περίττωμα· καὶ τὴν μοχθηρὰν ὑγρασίαν τὴν συναχθεῖσαν διὰ τὴν τοῦ ἕλκους ἀναπέτειαν καὶ τοῦ μορίου τὴν ἀσθένειαν.

**151.** Διὰ τί τοῖς μὲν ἀνθρώποις ἐπὶ τῶν οὐλῶν τοῦ δέρματος τρίχες οὐ φύονται, τοῖς δὲ ἵπποις ἀνίασι; διότι τὸ δέρμα τοῖς μὲν ἀνδράσι πυκνότερον, καθὼς δηλοῦσιν αἱ τρίχες μαλακαὶ καὶ λεπταὶ τυγχάνουσαι· καὶ ἡ οὐλὴ τοῦ δέρματος πυκνοτέρα πεφυκυῖα τοὺς πόρους ἀποτυφλώττει, τοῖς δὲ ἵπποις ὡς πρὸς σύγκρισιν ἀραιοπόρον, ὡς δηλοῦσιν αἱ τρίχες παχεῖαι φαινόμεναι· καὶ διὰ τοῦτο μὴ δύνασθαι εἰς οὐλὴν ὅλους τοὺς πόρους τοῦ δέρματος ἀποκλείειν. τὰ οὖν ὑποκείμενα καὶ συναγόμενα περιττώματα, διὰ τῶν ὑπολειφθέντων λεπτῶν πόρων ἐξιόντα, ποιεῖ τὰς τρίχας πηγνυμένας.

**152.** Διὰ τί ἐπὶ τῶν ὑπὸ διψάδος δηχθέντων καὶ δίψος ἀκατάσχετον ἐχόντων ἡ θηριακὴ θερμὴ καὶ ξηρὰ τυγχάνουσα πινομένη παύει τὸ δίψος καὶ οὐ μᾶλλον ἐπιτείνει; ὅτι οὐ λόγῳ κράσεως παύει τὸ δίψος, ἀλλὰ μᾶλ-
26 λον ἀντιπαθείᾳ τινὶ καὶ λόγῳ φυσικῷ· τὸ γὰρ γινόμενον τοιοῦτόν ἐστιν· ἡ ἀντίδοτος ἐκ πλείστων βοτανῶν σύγκειται ἐχουσῶν τινα συμπάθειαν πρὸς ἓν ἕκαστον μόριον· οἷον τὸ δίκταμνον ᾠκείωται καρδίᾳ καὶ ταύτην ῥώννυσι

καὶ διασώζει· ὁμοίως καὶ τὸ εὐπατόριον τὸ ἧπαρ· τὸ δὲ σκολοπένδριον τὸν σπλῆνα· τὸ δὲ πετροσέλινον τὸ στόμα τῆς κοιλίας· ὁ δὲ ὕσωπος τὸν ὑπεζωκότα καὶ τὸν πνεύμονα· τὸ δὲ ἔλαιον τοὺς νεφρούς· τὸ δὲ πήγανον τὸ κῶλον· γεντιανὴ δὲ τὸν ἐγκέφαλον· τὸ δὲ σέσελον κύστιν οὐρηδόχον. ἕκαστον οὖν τῇ γλυκύτητι τοῦ μέλιτος δελεαζόμενον, ἕλκει τὸ οἰκεῖον ἑαυτῷ πρὸς ἀσφάλειαν· ἐν οἷς πᾶσαί εἰσι καὶ αἱ τῶν ἐχέων σάρκες, ἀναμιγνύμεναι καὶ φυσικὴν ἀντιπάθειαν ἔχουσαι, πρὸς ἕκαστον ἰοβόλον θηρίον καὶ φθοροποιὸν δύναμιν· ἐν ἅπασιν οὖν τοῖς μορίοις κατακερματιζόμεναι, τὸ φθορὰν ἀπειλοῦν πάθος οὐκ ἐῶσιν ἐνεργεῖν, ἀντιμαχόμεναι καθάπερ στρατιῶται γνήσιοι περὶ πόλεως ἰδίας ὁπλιζόμενοι.

JO.476

# *ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ*

## *ἰατρικῶν ἀπορημάτων καὶ φυσικῶν προβλημάτων*

## *τὸ Β.*

---

b *Τὸ Ἀσκληπιοῦ δῶρον, πασῶν τῶν κατὰ τὸν βίον χρειῶν ὑπερηκοντίσθη κατὰ τὴν ἀξίαν. πρὸς γὰρ ἔμψυχον σῶμα καὶ λόγου μετέχον φέρει τὸν σκοπόν, οὗ ἡ τήρησις καὶ ἡ εὔκρατος φυλακὴ τὴν τῶν ἄλλων πασῶν τεχνῶν ἀρχὴν ὑπεστήσατο, τὰς αἰσθήσεις μὲν ὀξύνουσα, διαίτῃ δὲ τὰ μόρια ῥωννύουσα τὰ ὄργανα τῶν εὑρέσεων. αὕτη τὰ μὲν καλῶς προμηθευθέντα, φυλάσσει χρηστῶς· τὰ δὲ ἐλλιπῶς κατασκευασθέντα, διορθοῦται· σώματος φροντίζει, ψυχῆς οὐκ ἀμελεῖ· φιλοσοφίας γὰρ φέρει τὰ γνωρίσματα, ἧς τὸ τέλος οἰκείαν ἀρχὴν παρεπήξατο· τῆς φυσικῆς θεωρίας ἐκτὸς οὐκ ἔστιν, τὴν γὰρ σύνθεσιν τῶν γεγονότων δεξαμένη, οἶδε τὸ μέτρον τῶν λειπόντων. τοῦτο ὡς ἀληθῶς θεῖον καὶ μακάριον εὕρεμα, ἔχον ἐν λόγοις τὴν ἀκρίβειαν· διὰ τούτων καρπούσθω τὸν ἔπαινον καὶ εἰς ἐπιστήμης ἀναγέσθω κανόνα, κἂν γὰρ τέχνην τις τολμήσειε καλεῖν, οὐ διὰ ταῦτα, ἀλλὰ διὰ τὴν πάσχουσαν ὕλην. οὐκοῦν αὐτὴ μὲν καθ' ἑαυτὴν εἴδους μισθῷ, τὸν λόγον φέρουσα τὸν πρὸς ἐπιστήμην βεβαίαν, ἀχθεῖσα δὲ πρὸς σῶμα, καὶ ἐνδυσαμένη τὴν*
27 *ὕλην, γίνεται τέχνη βίᾳ. ὥσπερ γὰρ ψυχὴ ὁμολογηθεῖσα μὲν τοῖς πολλοῖς τῶν φιλοσόφων ἀθάνατος διὰ τὸ ἀσώματον καὶ αὐτοκίνητον, ἑτέροις δὲ διαπεφώνητο τοὔμπαλιν ὁ λόγος. φασὶ γὰρ φθαρτὴν αὐτήν, τῷ πάθει βαπτιζομένην τῆς ὕλης· οὐ πάσχει δὲ ψυχή, ὡς δείξει τὸ προστιθέμενον· οὕτως ἐν σώματι ψυχὴ ὥσπερ ἐν ὕδατι καθαρωτάτῳ ἀκτὶς ἡλιακή· οὐκοῦν ἐὰν ᾖ διαυγὲς τὸ ὕδωρ, φέρει τὸ γνώριμον τοῦ σχήματος· ἐὰν δὲ θολωθῇ ἔκ τινος*

αἰτίου, μεταβάλλεται μὲν αὐτὸ τῇ οὐσίᾳ, κρύπτεται δὲ τὸ φανὲν μηδὲν βλαβὲν κατ' οἰκείαν ἐνέργειαν· οὕτω πάλιν πολλάκις ἥλιος ἔκρυψεν ἀκτῖνα φαεινήν, νέφους παρεμπεσόντος, μὴ βλαβείσης αὐτοῦ τῆς ἀκηράτου φύσεως. ὥσπερ οὖν ἐπὶ ψυχῆς ἔγνωμεν, οὕτω νοήσωμεν καὶ ἐπὶ τῆς ἰατρικῆς· αὐτὴ γὰρ καθ' ἑαυτὴν πρώτως ἔχει τὸ βέβαιον, πρώτως ἔχει τὸ ἑδραῖον καὶ ἄπτωτον, ἐπιστήμη τυγχάνουσα· κοινωνήσασα δὲ τῇ ὕλῃ καθῃρέθη τοῦ ἀξιώματος, τέχνη γεγονυῖα καὶ τὸ ἀσφαλὲς ἀπωλέσασα. ἀλλ' οὐ δεῖ πρὸς τὸ δεύτερον ἀφορᾶν τοῦ συμβεβηκότος, ἀλλὰ πρὸς τὸ πρῶτον τῆς ὑπάρξεως. καὶ ὅσον μὲν πρὸς τὴν ἡμετέραν διάνοιαν διειλήφαμεν, ἀλλ' οὐ πρὸς τὴν χρείαν τῶν ζητουμένων, ὀλίγα τινὰ κεφάλαια ἐξ αὐτῶν καρπωσάμενοι, συντελοῦντα δὲ τοῖς αὐτὴν μετερχομένοις καὶ μάλιστα τοῖς τὸν λόγον ἀσκοῦσι. φέρουσι δὲ τὴν ὠφέλειαν οὐ σμικρὰν καὶ πρὸς τὴν τῶν πραγμάτων εὕρεσιν.

1. *Διὰ τί οἱ νεφριτικοὶ ἀραιὰν καὶ μεγάλην ἔχουσι τὴν ἀναπνοήν;* ὅτι μὲν ψυχῆς ἐνέργεια διὰ μέσων νεύρων καὶ μυῶν, δῆλον· κινεῖται οὖν ὁ θώραξ διὰ τῶν προρρηθέντων· ἀραιὰ οὖν εἰκότως γίνεται ἡ ἀναπνοὴ βλαβείσης δυνάμεως ψυχικῆς. ἐπιλανθάνεται γὰρ ἔργου οἰκείου καὶ οὐκ ἐπιτάττει τοῖς προρρηθεῖσι· μεγάλη δὲ γίνεται διὰ τὸν ῥιπισμὸν τῆς καρδίας· ἐξαναστᾶσα γὰρ ἡ ζωτικὴ δύναμις τῆς καρδίας νύττει καὶ κινεῖ τὴν ψυχήν, ἀπειλοῦσαν αὐτῇ τὴν ἀπώλειαν· οὐκοῦν ὅπερ ἐνδεὲς ἀφῆκεν ἡ ψυχὴ διὰ τὴν νόσον, τοῦτο ἀναπληροῖ καρδία τῷ μεγέθει διὰ b τὴν ἰδίαν χρείαν.

2. *Διὰ τί οἱ περιπνευμονικοὶ κωματώδεις;* ὅτι ὑγρότητος δαψίλειαν ἔχον τὸ μόριον, ἐκδέχεται ἐπίκτητον θερμότητα, ἐκ τοῦ ἀεικίνητον αὐτὸν ὑπάρχειν· γεννῶνται οὖν ἀτμοί· οὗτοι δὲ διὰ κουφότητα καταλαμβάνουσι τὸ κρανίον, εἶτα πρὸς ἐγκέφαλον λαμβάνοντες τὴν στάσιν δέχονται τὴν πρώτην οὐσίαν πηγνυμένην. ὃ συμβαίνει καὶ ἐπὶ τῶν λουτρῶν καὶ λεβήτων σκεπομένων· ἀπολλύουσι γὰρ τὴν θερμότητα καὶ γίνονται ψυχροί, συμμεταβληθέντες τῇ τοῦ μορίου φύσει· καὶ διπλασιασθὲν τὸ ψυχρὸν ναρκοῖ τὸ ἡγεμονικὸν καὶ γεννᾷ πάθη.

3. *Διὰ τί οἱ ἐκ βάσεως τὴν κιονίδα ἀποτμηθέντες, φθισικοὶ γίνονται;* ὅτι ὁ εἰσπνεόμενος ἀὴρ διὰ τοῦ στόματος ἐκπυροῦται καὶ μεταβάλλεται καθαιρουμένης τῆς ἀμέτρου ψυχρότητος αὐτοῦ, διὰ τὸ σκέπασμα καὶ προπύλαιον τυγχάνειν τὴν κιονίδα. ἀφαιρεθέντος οὖν τοῦ μορίου, φέρεται ἀὴρ κάτω ἀμετάβλητος, καὶ ὁμιλεῖ τῷ πνεύματι· ψύχει οὖν πήξει τὸ ἐν τοῖς ἀγγείοις αἷμα καὶ δυσκίνητον ἀποτελεῖ τὸν πνεύμονα· βιαζομένου δὲ πρὸς κίνησιν πάσχει ῥῆξιν τὰ ἀγγεῖα καὶ δίδωσι γένεσιν τῇ διαθέσει. κυρίως οὖν γαργαρεὼν λέγεται διὰ τὸ τοιόνδε ἦχον ἀποτελεῖν, ὡς καὶ τὸ φλοῖσβος καὶ βορβορυγμός· κιονὶς δὲ πάθος καλεῖται, ὅταν ἀπὸ ῥεύματος εἰς μῆκος χαλασθῇ· καὶ σταφυλὴ δέ, ὅταν φλεγμήσασα σχῆμα ῥωγὸς ἀπολάβῃ. χάνην δέ τινες ὠνόμασαν, διὰ τὸ ἄνωθεν μὲν εἶναι εὐρύ, κάτωθεν δὲ στενόν, ὥσπερ χωνεῖον.

4. *Διὰ τί τῶν περιπνευμονικῶν τὰ μῆλα ἐρυθρά ἐστιν;* ὅτι αἱματικὸς χυμὸς ὀπτώμενος ἐν τῷ πνεύμονι ἀτμὸν γεννᾷ ὅμοιον τῷ αἵματι· ἀεὶ γὰρ ἐξομοιοῦται τῷ ποιοῦντι τὸ γινόμενον. ἀναχθεὶς οὖν πρὸς μῆλα διὰ τὴν κουφότητα ἐκεῖ ἐνίσταται· τῇ δὲ λεπτότητι τοῦ δέρματος ὥσπερ δι' ὑέλου ἐμφαίνει τὸ εὐανθὲς τοῦ χρώματος.

5. *Διὰ τί τῷ χειμῶνι θερμοτέρων ἡμῶν ὑπαρχόντων τὸ βάθος, ὡς Ἱπποκράτης ἐν ἀφορισμοῖς δεδήλωκε, φλέγμα*
28 *λαμβάνει τὴν γένεσιν;* ὅτι πλειόνων λαμβανομένων τροφῶν, διὰ τὴν τοῦ στομάχου ἰσχὺν οὐκ ἐπαρκεῖ πέψαι γαστήρ· τῷ οὖν πλήθει, ὥσπερ σβεσθείσης τῆς ἐμφύτου θερμότητος, ψύχει καὶ τὸ φλέγμα γεννᾷ, καὶ ἐλλιπῆ καὶ ἁλμυρὰν παραστήσας τὴν ἐνέργειαν, ἡμιτελὲς αἷμα ὤφθη τὸ φλέγμα.

6. *Διὰ τί ἐν Αἰγύπτῳ θερμοτάτῃ οὔσῃ ψυχρὸς οἶνος γεννᾶται, ἐν δὲ Σκυθίᾳ ψυχρᾷ οὔσῃ θερμός;* οὔπω μὲν οἶνος θερμός, ἀλλὰ παρὰ τὸ ὑφειμένον τῆς κράσεως καὶ τὸ μᾶλλόν τε καὶ ἧττον, εἰς ἐναντίον περιέστη τοὔνομα. εἰκότως οὖν ψυχρότερός ἐστιν ὡς πρὸς σύγκρισιν τῶν ἄλλων· τῆς γὰρ ἀμέτρου θερμότητος τοῦ θέρους, ἀραιούσης τῆς γῆς τὴν οὐσίαν, ἐκβόσκεται τὸ ἄμετρον αὐτῆς θερμὸν καὶ ἄτονον ποιεῖ τὸν οἶνον· τῆς δὲ Σκυθίας ψυχρᾶς οὔσης καὶ

ἀποκλειούσης ἐν βάθει τῆς γῆς τὸ θερμόν, ἰσχυρὸν καὶ θερμὸν ποιεῖ τὸν οἶνον. ὅπερ συμβαίνει καὶ ἐπὶ τῶν Αἰθιόπων· οὗτοι γὰρ θερμοτάτης χώρας ὑπάρχοντες δειλοί εἰσι καὶ ἄνανδροι καὶ μέλανες· οἱ δὲ Σκύθαι ψυχροτάτης χώρας ὄντες λευκοί εἰσιν καὶ θυμικοί, ὅτι ἐπὶ μὲν Αἰθιόπων ἐν ἐπιφανείᾳ ἤχθη τὸ θερμόν, ὡς ἐμφαίνει τὸ τοῦ δέρματος μέλαν, ἐπὶ δὲ τῶν Γάλλων ἐν ταῖς ἀρχαῖς ἵδρυται τὸ θερμὸν ἐν καρδίᾳ καὶ ἥπατι, καὶ ἐν βάθει φωλεύει, ὡς δηλοῖ τὸ λευκὸν τοῦ χρώματος.

7. Διὰ τί ἐν τῷ θέρει ψυχρὰ λάχανα καὶ ὀπῶραι, οἷαί εἰσι πέπονες καὶ σίκυες καὶ σέρεις, ἐν δὲ τῷ χειμῶνι θερμὰ κράμβαι, ῥαφανίδες, γογγυλίδες, σταφυλῖνοι; ὅτι ἡ τοῦ ἡλίου φορὰ πολεύουσα τὸν κύκλον τοῦ πόλου ἐναλλάττει τὰς θέσεις· ἐν μὲν γὰρ τῷ θέρει τὴν ἄνω ζώνην κατείληφεν, ὡς τὸ μῆκος τῆς ἡμέρας δηλοῖ. θάλπεται οὖν τὰ ὑπὲρ γῆν καὶ ψύχεται τὰ φυτά· ἐν δὲ τῷ χειμῶνι τὸ ὑπὸ τὸ ἡμισφαίριον διατρέχων τῆς γῆς τὰ βάθη θάλπων, θερμότερα ποιεῖ τὰ φυτά.

8. Διὰ τί ἐκ καύσου περιπνευμονία, ἐκ δὲ περιπνευμονίας καῦσος οὐκέτι; ὅτι ὁ καῦσος ὡς ἐπὶ πᾶν ἐκ ξανθῆς χολῆς λαμβάνει τὴν γένεσιν· αὕτη γὰρ ἐξ ὅλων τῶν ἀγγείων φέρεται πρὸς κύτος γαστρὸς καὶ ἐπάγει τὸ σύμπτωμα. ἡ οὖν φύσις πειρᾶται μὲν ποικίλως ἐκμοχλεύειν τὸν χυμόν, κατὰ δὲ τόπους ὁρίζει τὴν γένεσιν. κἂν μὲν εἴη λεπτὴ b κατ᾽ οὐσίαν, καὶ ἡ δύναμις ἰσχυρὰ καὶ ὁ καιρὸς θερμός, δι᾽ ἱδρώτων ἀπάγεται ἡ νοσοποιὸς αἰτία· ἂν δὲ τοὐναντίον, διὰ γαστρὸς κατάγεται, ἢ ὡς ἐπὶ τὸ πλεῖστον ἐμεῖται. καὶ γὰρ ἡ θέσις ἐγγὺς καὶ τὸ σύμπτωμα σύνηθες· αὖθις οὖν ὁ χυμὸς εἰς τὰ βρογχία ἐνεχθεὶς τοῦ πνεύμονος, καὶ πληρώσας τὴν τοῦ μορίου οὐσίαν, γεννᾷ τὸ πάθος· ἐκ δὲ περιπνευμονίας, καῦσος οὐκέτι. φθάνει γὰρ σβεσθῆναι καὶ ἐκτεφρωθῆναι ὁ χυμὸς πρὶν γεννῆσαι τὴν διάθεσιν.

9. Διὰ τί Ἱπποκράτης ἐπὶ τῶν ποῦ φεύγων τὴν τροφὴν ἐν τῇ ἀκμῇ, ἐπὶ τῶν πλευριτικῶν καὶ περιπνευμονικῶν ἐπιτρέπει δίδοσθαι κατὰ τὴν ἀκμήν· λέγει γὰρ ἐν τῇ περὶ πτισάνης, ὅτι εἰ μὴ ἀνάγηται τὸ πτύαλον, μὴ διδόναι ταύτην· τὸ μὴ ἀνάγεσθαι δὲ ἀρχὴν ἐμφαίνει

*τοῦ πάθους· ὅτι ἐπὶ μὲν τῶν ἄλλων νοσημάτων ἡ φύσις πέττει τοὺς χυμούς, ἐπὶ δὲ τῶν ἄλλων καὶ ἀπελαύνει τὰς αἰτίας δι' οὔρων καὶ διαχωρημάτων. τροφὴν οὖν οὐ δεῖ παραλαμβάνειν ἐπὶ τούτων, ἵνα μὴ καταλείψασα τὰς αἰτίας πρὸς ταύτην ἐνστῇ· δεῖ οὖν μονομαχεῖν τὴν φύσιν μετὰ τοῦ νοσήματος. ἐπὶ δὲ τῶν πλευριτικῶν, φύσις μὲν πέττει τὸν χυμόν, ψυχὴ δὲ κενοῖ τὴν οὐσίαν προσχρωμένη μυσίν· οὗτος δὲ οἰκείᾳ δυνάμει συστέλλων θώρακα ἐκμοχλεύει τὸ λυποῦν. ἄλλως τε ἡ μὲν φύσις ἄλογος οὖσα ἐκ τῶν ἀχρείων ποιεῖται τὴν ἀπόλαυσιν τῆς οἰκείας τροφῆς· τὰ δὲ ψυχικὰ ὄργανα αἰσθητικὰ ὄντα διακρίνει τὸ μοχθηρὸν καὶ ἐπιζητεῖ τὸ χρηστόν· εἰκότως οὖν δεῖ τρέφειν, ἵνα ῥώσαντες τοὺς μῦς ἐξαναστήσωμεν πρὸς ἄμυναν τοῦ λυποῦντος.*

10. *Διὰ τί ὁ μὲν τριταῖος ἐκ θερμοῦ χυμοῦ γινόμενος καὶ ἔχων μαστίζουσαν καὶ κατελαύνουσαν χολήν, περὶ μίαν κινεῖται, ὁ δὲ ἀφημερινός, ἔχων πεδῆσαν τὸ φλέγμα τῇ βαρύτητι καὶ ψυχρότητι, καθημερινόν, ὁ δὲ τεταρταῖος, διὰ δύο ἡμερῶν μέσων; ὅτι ὁ μὲν τεταρταῖος ὀλίγον ἔχει τὸν ποιοῦντα χυμόν, εὐθέως διαφορεῖται δι'*
29 *ἱδρῶτος ἢ ἐμέτου καὶ τῇ κενώσει τῆς αἰτίας ἵσταται τὰ τοῦ παροξυσμοῦ μένοντα εἰς δευτέραν κίνησιν, τὴν δρῶσαν ποιότητα. δὸς δὲ τὴν ὕλην ἄφθονον καὶ ὄψει τὸν παροξυσμὸν ἀνενδεῆ. ὁ δὲ ἀφημερινός, πλουσιῶν πρὸς ὕλην καὶ παχύτητα καὶ ὑγρότητα, ποιεῖ τὸν παροξυσμὸν ἐπιτεταμένον· ὅτι δ' ἐκ πλήθους αἰτίου μηκύνεται νόσος, τῇ ῥώμῃ τῆς κινήσεως δηλοῖ ὁ σύνοχος. οὗτος γὰρ ἐξ αἵματος λαβὼν τὴν ὕπαρξιν, ἄφθονον ἔχων τὴν ὕλην, οὐ φέρει οὐδέν, ᾧ τὸ διάλειμμα· ὁ δὲ ἀφημερινός, ὅσῳ ἐμειώθη κατὰ ποσότητα χυμοῦ, ἐμφαίνει αἰσθητὸν διάλειμμα. πολλῷ δὲ πλέον ὁ τριταῖος, γεννηθεὶς ἐκ τοῦ ποιοῦντος χυμοῦ καὶ θερμὸν αὐτὸν ἔχων καὶ λεπτομερῆ, ἐπλάτυνε τὸ διάλειμμα· ἐπὶ πλέον δὲ ὁ τεταρταῖος ἐξέτεινε τὸ διάλειμμα καὶ τὴν ἀνταπόδοσιν· ὅσον γὰρ ἐμειώθη τῆς ὕλης, καθῃρέθη τῆς κινήσεως τοῦ παροξυσμοῦ· καὶ ἡ ταύτης δὲ ἐπὶ πλέον ἐλάττωσις ποιεῖ καὶ πεμπταῖον καὶ ἑβδομαῖον καὶ ἐνναταῖον. γίνωσκε γάρ, ὡς τὸ μὲν αἷμα τρέφον τὸ σῶμα πλουτεῖ*

τῷ ποσῷ, εἶτα φλέγμα. ποτὲ γὰρ καὶ τοῦτο ἐν λιμῷ τρέφει, εἶτα μεμείωτο ξανθὴ χολή, ὡς μὴ τρέφουσα. καὶ δριμεῖα δὲ πλέον ἐλαττοῦται ἡ μέλαινα ὡς ἐχθρὰ τῆς φύσεως, διαβρωτικὴ γάρ ἐστι τῶν μορίων· εἰ μὲν οὖν εἷς τῶν ἄλλων τριῶν χυμῶν αὐξηθῇ, τὸ τοιοῦτον κακόχυμον λέγεται, εἰ δὲ οἱ τέσσαρες κατὰ ἀναλογίαν τῆς οἰκείας αὐτῶν ποσότητος πληθώρα.

11. Διὰ τί ἐπὶ τῆς παραλυθείσης γνάθου οὐκ αὐτῇ προσφέρομεν τὰ βοηθήματα, ἀλλὰ τῇ ἑτέρᾳ; ὅτι δύο μυῶν ὑπαρχόντων ἀντιτεταγμένων ἀλλήλοις καθ' ἑκάστην γνάθον, ἑνὸς ποιουμένου τὴν κίνησιν, ἐὰν συμβῇ θάτερον αὐτῶν παραλυθῆναι (ὡς ἐν ὑποθέσει δέ, κείσθω ὁ δεξιὸς παραλυθείς), ὁ ἀριστερὸς ἔχει τὴν οἰκείαν δύναμιν ἰσχυράν· ἕλκει οὖν πρὸς ἑαυτὸν τὸν ἀσθενῆ καὶ ὁρᾶται μὲν ὁ ὑγιαίνων ὡς νοσῶν καὶ ὁ νοσῶν ὡς ὑγιαίνων καὶ τὸ μὲν ὑγιὲς μέρος ῥυτιδοῦται, τὸ δὲ ἀσθενὲς περιγίνεται. b τοῦτο συμβαίνει καὶ ἐπὶ τῶν στραβισμῶν ἐν τοῖς ὀφθαλμοῖς, ἑλκομένων τῶν ὄψεων. καὶ εἰ μὲν πρὸς μέγαν κανθὸν εἴη σύννευσις τῆς κόρης, τοῦ μικροῦ παράλυσις νοείσθω, καὶ ἔσται σοι τοῦτο κανὼν μυῶν παραλυθέντων, ὡς μὴ τῇ ὄψει λαμβάνειν τὸ φαινόμενον, ἀλλ' ἀνακρίνειν τὸ μὴ φαινόμενον.

12. Διὰ τί ἐκ προσπταίσματος βουβὼν γίνεται; ὅτι ἡ δύναμις ἡ ψυχικὴ ἄχρι περάτων διὰ τῶν νεύρων ἐκτείνεται. φέρεται οὖν δύναμις προνοητικὴ καὶ ἄνεισιν αἰτία προδοτική· αὕτη πάλιν κατὰ μεταβολὴν καὶ ἀλλοίωσιν τῶν νεύρων ἄγεται μὲν δι' ὅλου σκέλους καὶ δρᾷ οὐδέν, ἐπειδὴ οὐχ εὑρίσκει τὸ πάσχον. φθάσασα δὲ πρὸς βουβῶνα καὶ εὑροῦσα χώραν πρὸς ὑποδοχήν, ἐν αὐτῇ ἵδρυται, καὶ προσπελάσασα τῷ ἀδένι κἀκεῖ αὐτοῦ τῇ οὐσίᾳ καὶ εἰς ὄγκον τὸν παρὰ φύσιν ἕλκει. οἱ δὲ ἀδένες σώματά εἰσι σμικρά, σφαιροειδῆ, χαῦνα, μεταξὺ τῶν μεγάλων φλεβῶν καὶ ἀρτηριῶν, δίκην σφηνίσκων, ἵνα μὴ τῇ ὁμιλίᾳ σήπωνται τὰ ἀγγεῖα ὑγρὰ ὄντα τῇ περιουσίᾳ τοῦ αἵματος. τρέφονται οὖν ἐκ ταύτης τῆς ὑγρότητος οὗτοι φλεγμαίνοντες μὲν βουβῶνας ποιοῦσι, σκιρρούμενοι δὲ χοιράδας.

13. Διὰ τί ἐπὶ τῶν φαλακρῶν τὸ μὲν βρέγμα ψιλοῦ-

*ται, οἱ δὲ κρόταφοι δασύνονται; ὅτι ὡς ἐπίπαν τὰ μὲν μετέωρα τούτων ἐκτὸς ὄντα ὑγρότητος οὐ δίδωσι τῇ τριχὶ τὴν ὕπαρξιν, τὰ δὲ κάτω μέρη δεχόμενα ἐκ τῶν ἄνω τροφὴν φύουσι τρίχας. καὶ τούτου μαρτύριον τὰ ἐπὶ τῆς γῆς συμβαίνοντα· τὰ γὰρ ὑψηλότερα τῶν χωρίων καὶ οἷον πετρώδη, οὐ καρπογονεῖ, τὰ δὲ χθαμαλὰ καὶ νοτιώδεα τοὐναντίον.*

14. *Διὰ τί ἐκ τεσσάρων στοιχείων γενόμενοι (λέγω δὴ πυρός, ἀέρος, ὕδατος, γῆς) τρία ἔχομεν ἐν ἑαυτοῖς ὑγρὰ στερεὰ πνεύματα; ὅτι κατά τινας ἡ τοῦ πυρὸς οὐσία λεπτομερείας στάσεως, εἰς ἀέρος περιΐστησι φύσιν· πῦρ γὰρ ἀναλυθὲν εἰς ἀέρα χωρεῖ καὶ ἀὴρ συναχθεὶς βίᾳ πῦρ γεννᾷ, ὡς ὑπὸ τῆς περιτρίψεως τῶν λίθων μεσοσυλλα-*
30 *βουμένου ἀέρος· οἱ δέ φασι καὶ αὐτὸ κατ᾽ ἐνέργειαν συμπαρεῖναι.*

15. *Διὰ τί ἐν ταῖς ὀδύναις τῶν ἀποστημάτων προηγεῖται ῥῖγος, εἶτα πυρετός; ὅτι ἐν ταῖς ὀδύναις ἀνιωμένη ἡ φύσις ὑποδύνει ἐν τῷ βάθει, ἀηδιζομένη τῷ ξένῳ. ἀποψυχομένη οὖν ἡ ἐπιφάνεια πήγνυσι τὰ ἀγγεῖα τοῦ αἵματος. χρονίσαντος δὲ τοῦ πάθους καὶ οἷον καταγνοῦσα λοιπὸν ἡ φύσις καὶ χύσασα πάλιν τὸ παγὲν αἷμα ὑπερπληρούμενα τὰ ἀγγεῖα αὐτοῦ παρὰ τὸ γεννῶν, συμπάσχοντα δὲ τὰ μόρια τῷ ὀδυνωμένῳ διὰ τὴν ἀπὸ τῆς πληρώσεως τοῦ αἵματος τάσιν, ὥσπερ φυλαττόμενα ἐπεγείρει τὴν ἀποκριτικὴν δύναμιν καὶ ποιεῖ τὸ ῥῖγος, ἡ δὴ σῆψις τοῦ αἵματος τὸν πυρετόν.*

16. *Διὰ τί τινες τῶν ὀπωρῶν ἔνδοθεν ἔχουσι τὸ ἀχρεῖον, οἷον φοίνικες περσικοί, τινὲς δὲ τοὔμπαλιν ὡς τὰ κάρυα καὶ αἱ ῥόαι; ὅτι ἡ φύσις εἰδυῖα τὴν τοῦ γένους διαδοχὴν κατέκρυψε τὰ πρὸς τὴν χρείαν ἔνδον. οἶδας γὰρ ἐκ τούτων σωζόμενον τὸ εἶδος, ἐπὶ δὲ ῥοιῶν καὶ τῶν λοιπῶν ἐκφυτῶν καὶ μοσχευμάτων λαμβάνειν τὴν γένεσιν.*

17. *Διὰ τί οἱ τὰ βόεια πέττοντες ἰχθῦς πετραίους οὐ πέττουσιν; διὰ τὴν ἄμετρον θερμότητα τῆς γαστρὸς πέττονται τὰ βόεια. δεῖ γὰρ πρὸς τὴν ποιοῦσαν αἰτίαν εἶναι καὶ τὴν πάσχουσαν ὕλην. ὥσπερ γὰρ τῷ σιδήρῳ πρὸς τὴν ἐργασίαν στερεὰ ὕλη δέδοται πρὸς τὴν χρείαν, οἷον ξύλα δρυΐνα, ἢ ἄνθρακες, ἐπὶ δὲ ἀργύρου ἢ χρυσοῦ ἄχυρα*

(ἀμείβεται γὰρ ἡ ὕλη διὰ τὴν οὐσίαν τοῦ πάσχοντος), οὕτως καὶ ἐπὶ τῶν ἰχθύων· νόμισον γὰρ εἶναι τούτους μὲν χρυσόν, ὡς σίδηρον δὲ τὰ βόεια κρέα. ἐὰν οὖν εὑρεθῇ γαστὴρ θερμή, ὑπεροπτώμενος ὁ ἰχθὺς κνισσοῦται καὶ ἀφανίζεται καὶ ἀπεψίαν μιμεῖται.

18. Διὰ τί ἐπὶ τῶν φθισικῶν γρυποῦνται οἱ ὄνυχες; ὅτι ἡ τῶν στερεῶν οὐσία δυσπαθὴς οὖσα ἐκκλίνει τὸ πάθος· φαντάζουσι δὲ τῷ σχήματι διὰ τῶν σαρκῶν συντάξιν. τὸ δὲ ἕλκος ἔχουσιν ἀνίατον τῷ μηδέποτε ἠρεμεῖν τὸν πνεύμονα διὰ τὸ ἀεικίνητον γεγονέναι ὑπὸ τῆς φύσεως. διὰ b τὴν τῆς καρδίας ἀδιάλειπτον κίνησιν, καὶ διὰ βηχὸς ὡς ἀνακαθαιρομένου τοῦ πύου πλέον σπαράττεται τὸ ἕλκος.

19. Διὰ τί ἐν τοῖς πυρετοῖς αὐτῶν μειουμένων αὔξουσι τρίχες καὶ ὄνυχες, ἐν δὲ ταῖς ἀναλήψεσιν ἀπορρέουσι μὲν αἱ τρίχες, αὔξει δὲ τὸ σῶμα; ὅτι θριξὶν ἡ τροφὴ ἐκ περιττωμάτων· ἐν δὲ τοῖς πυρετοῖς καιομένων τῶν χυμῶν,· γεννᾶται τὰ περιττώματα· τὸ σῶμα οὖν οὐ τρέφεται διὰ τὴν καχεξίαν. εἰκότως οὖν ἡ θρὶξ πρὸς τὸ οἰκεῖον ἥδεσθαι καὶ τούτῳ χαίρει. ἐπὶ δὲ τῶν ἀναλήψεων ἐκτεφρωθέντων τῶν χυμῶν ἵσταται τὰ τῶν ἀναθυμάσεων καὶ οὐ τρέφεται. ὅθεν ἐκπίπτει· τὸ δὲ σῶμα ἐκ τῆς κενώσεως ἅπαν τὸ γεννώμενον εἰς αὐτὸ ἐφέλκεται διὰ τὴν τοῦ φθάσαντος δαπάνην.

20. Διὰ τί ἡ λευκὴ ὑπόστασις τῶν οὔρων ἀγαθή; διὰ τὴν τῶν στερεῶν καὶ ἀρχῶν ὁμοιότητα· δηλοῖ γὰρ φιλίαν τῆς δυνάμεως καὶ ἰσχύν, καὶ τὸ γνώρισμα φέρει τῷ χρώματι. ἐν γὰρ τοῖς στερεοῖς ὡς ἑδραίοις περὶ τὰ ὑγρὰ καὶ τὰ πνεύματα ἡ φύσις πεπίστευκεν ἑαυτὴν οἰκεῖν· ταῦτα δὲ λευκὰ τὴν χρόον, ὡς νεῦρα καὶ ὀστᾶ καὶ φλέβες καὶ ἀρτηρίαι· πεττόμενος οὖν ὁ νοσοποιὸς χυμὸς ἐν τοῖς ἀγγείοις, καὶ διὰ τῶν νεύρων ἐκκενῶν τὸ πεφθὲν ἀχρεῖον, ἀπομόργνυται καὶ τὸ τοῦ πέττοντος χρῶμα λευκὸν ὄν· καὶ διὰ ταύτην τὴν αἰτίαν ἐπειδήπερ κατὰ βραχὺ ἡ δύναμις διὰ τὸν πυρετὸν ἀσθενοῦσα πέττει τὸν νοσοποιὸν χυμὸν ἐξ ἀρχῆς ὀλίγον κενούμενον σὺν τοῖς οὔροις καὶ διὰ κουφότητα γινόμενον ἀνωφερές, ποιεῖ τὸ λεγόμενον ἐναιώρημα. ἔστι γὰρ ἰδεῖν ἐν τῷ ποτηρίῳ τῶν οὔρων ἐπιπολάζον

ἀραχνοειδές τι. μετὰ δὲ ταῦτα προκόπτουσα καὶ πλέον πέττουσα, πλέον κυνοῖ καὶ ποιεῖ τὸ νεφέλιον κατὰ μέσον τῶν οὔρων ἱστάμενον. ὅσον γὰρ τῷ ποσῷ ἑαυτοῦ γέγονε βαρύ-
31 τερον, τοσοῦτον ὑποκαταβέβηκεν· ὅταν δὲ τελείως ἐκκρίνει πέψασα τὸ πᾶν τοῦ νοσοποιοῦ περιττώματος, τοῦτο λοιπὸν τῷ πλήθει βαρὺ γενόμενον ὑφιζάνει παρὰ τὸν πυθμένα τοῦ ποτηρίου καὶ ποιεῖ τὴν λεγομένην ὑπόστασιν δηλοῦσαν τελείαν ὑγείαν· τὸν γὰρ ἀναπεφυρμένον ἐν τῷ κατὰ φύσιν αἵματι νοσοποιὸν χυμὸν τέλεον διὰ τῆς πέψεως χωρίσασα ἡ φύσις ἐξέκρινε· τὸ μὲν γὰρ λευκὸν τῆς ὑποστάσεως δηλοῖ τῶν στερεῶν μορίων τὸ χρῶμα σωζόμενον τῶν οἰκητηρίων τῶν δυνάμεων, τὸ δὲ λεῖον αὐτῆς σημαίνει τοῦ πεφθέντος χυμοῦ τὸ ὁμότιμον· τὸ γὰρ πῇ μὲν παχύτερον πῇ δὲ λεπτότερον, ἀνισότητά τινα τοῦ πεμφθέντος ἐνδείκνυται. τὸ δὲ ὁμαλὸν τῆς ὑποστάσεως, τουτέστι τὸ μὴ διασπᾶσθαι ταύτην, κηρύττει δυνάμεως τελείαν ἐνέργειαν· ἀναλογεῖ δὲ τὸ ἐν φλεγμοναῖς πύον τῇ ὑποστάσει τῶν οὔρων. καὶ τὸ μὲν πῦον δυσῶδες, ἐπειδὴ ἐν στενῷ τόπῳ τὸ σαπὲν μὴ διαπνεόμενον καὶ μὴ συναναμεμιγμένον τῷ αἵματι, ἀλλὰ ἐκτὸς ὂν περὶ τὸ δέρμα. ἡ δὲ ὑπόστασις τὰ ἐναντία ἔχουσα, οὐκ ἔστι δυσώδης.

21. *Διὰ τί ἀπὸ χολῆς γίνεται πυρετὸς καὶ ἀπὸ χολῆς λύεται;* γίνεται δὲ ἀπὸ χολῆς, ὅταν κινηθεῖσα ἐπὶ τὸ δριμύτερον τραπῇ καὶ σαπῇ. λύεται δέ, ὅταν ἀθρόως ὁρμήσαντος τοῦ ζῴου πρὸς ἄμυναν τοῦ λυποῦντος, συντρέχων καὶ ὁ χυμὸς εἰς τὰ ἐκτὸς καὶ διαφορηθεὶς τῇ κενώσει λύσῃ τὴν αἰτίαν.

22. *Διὰ τί τῶν λυπουμένων κοῖλοι οἱ ὀφθαλμοί;* ὅτι ἡ λύπη συνίζησιν ποιεῖ γενέσθαι τῶν σωμάτων διὰ τὴν τῆς ψυχῆς εἴσω ῥοπήν· τῶν δὲ ὀργιζομένων προπετεῖς εἰσι διὰ τὴν ἔξω ῥοπήν. ὅπου γὰρ νεῦμα δυνάμεως, ἐκεῖ ὀργάνων καὶ χυμοῦ νεύει ῥοπή.

23. *Διὰ τί τὰ μὲν ὀστέα ξηρότερα ὄντα καὶ ἰσχυρότερα ἐν ταῖς καταπτώσεσι κατεάγνυνται, ἡ δὲ σάρξ, ἀσθενὴς καὶ μαλακὴ οὖσα, φεύγει τῆς πληγῆς τὸ πάθος;* ὅτι τὰ ἰσχυρότερα ἀντιβαίνοντα τῷ ποιοῦντι ἐκ μάχης πρὸς ἄλληλα ἑαυτῶν ποιοῦνται τὴν φθοράν, τὰ δὲ εὔεικτα διὰ

τὸ τῆς οὐσίας μαλακὸν ὑπείκοντα τῷ ποιοῦντι κλέπτουσι b
τὴν μάχην. τοῦτο συμβαίνει καὶ ἐπ' ἀνθρώπων καὶ φυτῶν καὶ ἀψύχων σωμάτων.

24. *Διὰ τί οἱ εὐνοῦχοι μακροὶ καὶ βλεσοί;* ὅτι ὑγρότητος ἔχοντες πλῆθος πλουτοῦσι πρὸς σῶμα. ἀσθένειαν δὲ δυνάμεως μὴ φέρον τὸ τῶν σάρκων πλῆθος, διαστρέφει τὰ ὀχοῦντα μόρια· ὅπερ συμβαίνει καὶ ἐπὶ τῶν οἰκιῶν· ἐάν τις μὴ ἀνάλογον τῶν θεμελίων ἀποτελέσῃ τὸ μέγεθος τοῦ οἰκήματος, τάχιον φθείρεται. τὸν αὐτὸν τρόπον ἐστὶν ἰδέσθαι καὶ ἐπὶ τῶν εὐνούχων. ἡ γὰρ φύσις οὐ προμεμάντευτο μέγεθος, ἀλλὰ τέχνη ἀφαιρέσεως τοῦ ἀναλίσκοντος θερμοῦ ἐπεισήγαγε τὴν παχύτητα.

25. *Διὰ τί μάλιστα τὰ ἀκρωτήρια ῥιγοῦμεν;* ὅτι λεπτὰ καὶ νευρώδη καὶ ὀλίγαιμα καὶ διὰ τοῦτο ψυχρά.

26. *Διὰ τί ἐν φόβῳ ἢ ἐν φρίκῃ αἱ τρίχες ὀρθαὶ ἵστανται;* ὅτι τὰ πάθη κατὰ ψύξιν ποιοῦσιν, ἡ δὲ ψύξις πύκνωσιν τῶν πόρων τοῦ δέρματος· ἡ δὲ θρὶξ οὖν πανταχόθεν παρασφιγγομένη, τῇ τάσει ὀρθοῦται.

27. *Διὰ τί οἱ μελαγχολικοὶ τὰ μὲν τῆς φύσεως σώζουσιν ἔργα, πέττοντες καὶ ἐξαιματοῦντες, τὰ δὲ τῆς ψυχῆς οὐκέτι;* οὐ γὰρ διανοοῦνται κατὰ λόγον. ὅτι περὶ τὸ ὄργανον τοῦ φρονοῦντος τὸ πάθος καὶ ἡ δυσκρασία, λέγω δὲ περὶ τὸν ἐγκέφαλον.

28. *Διὰ τί τὰ συνεχῶς γινόμενα νοσήματα εὐιατότερα τῶν σπανίων;* ὅτι πρῶτον μὲν τῷ πυκνότερόν τι γίνεσθαι ἐθιζόμενον, οὐ τοσοῦτον λυπεῖ τὴν φύσιν· ἄλλως τε καὶ μικρὰ ἐκτροπὴ τῆς κράσεως ποιεῖ τὰ συνεχῆ, μεγίστη δὲ τὰ σπάνια.

29. *Διὰ τί οἱ πυρέττοντες διψῶσι μὲν μᾶλλον, οὐ πεινῶσι δέ, οἱ δὲ ἀναλαμβάνοντες πεινῶσι μὲν μᾶλλον, οὐ διψῶσι δέ;* διότι ἡ δίψα γίνεται δι' ὑπερβολὴν θερμότητος τῆς τοῦ πυρετοῦ· καθάπερ καὶ ἐπὶ τῶν ὑγιαινόντων τῶν οἶνον πολὺν ἄκρατον πινόντων παρέπεται δίψα. ἡ γὰρ δίψα, ἐκ πολλῆς θερμότητος, ὡς νῦν εἴρηται, ἢ ἐκ πολλῆς ξηρότητος ἐκβοσκησάσης τὰ ὑγρά, καθάπερ ἐπὶ τῶν νηστευσάντων. οὐ πεινῶσι δέ, ὅτι πολλὴ ὑγρότης ἔγκειται τῶν
νοσοποιῶν χυμῶν ἐν τῷ στομάχῳ, οἱ δὲ ἀναλαμβάνοντες 32

*πεινῶσι μὲν διὰ τὴν πολλὴν κένωσιν τῶν ὑγρῶν δαπανηθέντες ὑπὸ τοῦ πυρετοῦ, οὐ διψῶσι δέ, ὅτι κατέψυκται αὐτοῖς τὸ σῶμα τῇ ἀπουσίᾳ τῆς τοῦ πυρετοῦ θερμότητος.*

30. *Διὰ τί ἐν τῷ ἀπόλλυσθαι οἱ φθεῖρες ἀφίστανται ἐν οἷς ἂν ὦσι τόποις; ὅτι δέονται καὶ θάλψεως καὶ τροφῆς, ἐκ τοῦ αἵματος· τοῦτο δὲ καὶ καταψύχεται καὶ ἐκδαπανᾶται. ζητοῦντες οὖν ἕτερον τόπον ὅμοιον τοῦ προτέρου ἀφίστανται.*

31. *Διὰ τί τὰ σφαζόμενα ζῷα λακτίζει συνεχῶς τοὺς πόδας; διὰ τὴν ἀπὸ τῆς πληγῆς ὀδύνην μᾶλλον ἢ διὰ τὸ σπᾶσθαι.*

32. *Διὰ τί ἐπί τινων ζῴων αἱ κέρκοι μᾶλλον κινοῦνται μετὰ ἀποκοπήν, ἤπερ τὸ λοιπὸν σῶμα κοπέν; ὅτι στενοπόροι οὖσαι τῶν σαρκῶν πλέον φυλάττουσι τὴν φυσικὴν θερμότητα, αὐτὴ δὲ τὴν κινητικὴν καὶ αἰσθητικὴν δύναμιν, ὅθεν καὶ μετ' ἠρεμίας ἄν τις ἅψηται, πάλιν κινοῦνται.*

33. *Διὰ τί ἐν ταῖς καθάρσεσιν ὅταν ἀριθμεῖν δύνωνται τὰς δοκοὺς ἀκριῶ ἀρκούντως ἐκαθάρθησαν; ὅτι ἐξ ἀρχῆς μὲν τὸ καθαρτήριον κινῆσαν τοὺς χυμοὺς ἐν τῇ κοιλίᾳ καὶ ἑλκύσαν, πεποίηκε τὸν ἐγκέφαλον κατ' ἀναθυμίασιν πληρωθῆναι· καὶ διὰ τοῦτο τὸ ὀπτικὸν πνεῦμα καὶ τὸ φρονοῦν μὴ ὂν καθαρόν, ἀνομοίους ὁρᾷ τοὺς δοκούς. μετὰ δὲ τὴν κένωσιν, καθαροῦ γενομένου, δίδωσι καὶ τῷ ὀφθαλμῷ κατὰ ἀλήθειαν ὁρᾶν καὶ τῷ φρονοῦντι καλῶς κρίνειν.*

34. *Διὰ τί ἐπὶ τῶν ἐμπυϊκῶν καὶ φθισικῶν πλῆθος φθειρῶν ἐπί τινων γίνεται; ὅτι ὁ πυρετὸς φθείρει τὰ ὑγρὰ καὶ σήπει. ζωοποιούμενα δὲ ἐκ τῆς φυσικῆς θερμότητος, τίκτει τούτους, καθάπερ καὶ ἐν βορβόρῳ ἢ κόπρῳ σκώληκες καὶ ἐν τοῖς τῶν ἐντέρων ἕλμινθες.*

35. *Διὰ τί μᾶλλον ἀλγοῦμεν ἐπὶ τῇ τῶν ὄρχεων πληγῇ; ὅτι οἱ κρεμαστῆρες αἰσθητικώτατοι. ἔτι γε μὴν ἡ φύσις πλείστην ἡδονὴν τῷ αἰδοίῳ παρέσχε τῆς συνουσίας*
b *ἕνεκεν· νευρῶδες γάρ ἐστι μόριον. ἡ δὲ πλείστη ἡδονὴ ἀπὸ πολλῆς αἰσθήσεως γίνεται· καὶ οἱ ὄρχεις οὖν τῇ συγγενείᾳ καὶ τῷ γειτονεύειν συμπάσχοντες μετέχουσι καὶ αὐτοὶ πολλῆς αἰσθήσεως· ὅπου δὲ πολλὴ αἴσθησις, σφοδρὰ ἡδονὴ γίνεται· ὅπου δὲ σφοδρὰ ἡδονή, καὶ ἡ ὀδύνη σφοδρά· τῷ*

*γὰρ μεγίστῳ ἀγαθῷ μέγιστον κακὸν ἀντίκειται, ὡς ἐπὶ τὸ πλεῖστον, τῷ δὲ ἐλάττονι ἔλαττον. τὰ δὲ συμπάσχοντα συμπάσχει τριχῶς, ἢ διὰ συγγένειαν. ὡς ἐγκέφαλον καὶ στόμα κοιλίας τῇ κοινωνίᾳ τῶν πλείστων νεύρων, ἢ διὰ τόπου γειτνίασιν καὶ ἐγγύτητα, ὡς καρδία στομάχου, ὅταν ὑπὸ δριμοῦ χυμοῦ δακνομένη καὶ αὐτὴ συναπολαύουσα ποιεῖ καρδιωγμὸν πρὸς ἀποδίωξιν τῶν λυπούντων· ἢ διὰ ἀσθένειαν καὶ κατὰ πάροδον, ὡς ἐπὶ προσπταίσματος δακτύλου, ποδός, βουβών· προστρεχούσης γὰρ τῆς φύσεως πρὸς τὸ ὀδυνώμενον μετὰ τοῦ αἵματος, πληροῦνται τούτου οἱ ἀδένες τοῦ βουβῶνος. καὶ ἡ τοῦ βίου δὲ συμπάθεια τριττή· ἐπὶ γὰρ νεκρῷ συμπάσχουσι καὶ συναλγοῦσι συγγενεῖς ἢ γείτονες ἢ κατὰ πάροδον ἀκούοντες, ἢ ἐρωτῶντές τινες τὸ πάθος λόγῳ ἀσθενείας τῆς ψυχῆς· καὶ γίνεται τὸ μὲν πρῶτον ὥσπερ κατ' ἰδιοπάθειαν, τὸ δὲ δεύτερον κατὰ συμπάθειαν, τὸ δὲ τρίτον ἧττον.*

36. *Διὰ τί ἐπὶ ὀφθαλμίᾳ ξύρησις ὠφέλιμος; ὅτι διαπνεομένη ἡ κεφαλὴ διὰ τῶν πόρων διαφορεῖ τὰ περιττώματα καὶ τὸ ῥεῦμα.*

37. *Διὰ τί ἐκ τοῦ σκότους εἰς τὸ φῶς ἐλθόντες οὐ δυνάμεθα εὐθὺς ὁρᾶν, οὔτε μὴν ἐκ τοῦ φωτὸς εἰς τὸ σκότος· ὅτι τὸ μὲν σκότος παχὺ καὶ ψυχρὸν ὂν πυκνοῖ καὶ ἐπιθολοῖ τὸ ὀπτικὸν πνεῦμα, τὸ δὲ φῶς πάλιν λαμπρὸν ὂν καὶ λευκὸν καὶ θερμὸν διαφορήσει τοῦτο κατασκεδάννυσι. τῷ μέντοι χρόνῳ μετὰ τὸ ποιῆσαι ἐθιζόμενον καὶ τὸ μηκέτι ξενιζόμενον, ὁρᾶν δύναται. ἢ ὅτι ἀπὸ τοῦ ἐναντίου εἰς τὸν ἐναντίον ἀθρόως μετατιθέμενοι παραχρῆμα ξενιζόμεθα ὁμοίως ὁρᾶν;*

38. *Διὰ τί ἐπὶ τῶν ἀλόγων οἱ πυρετοὶ καὶ τὰ κρυπτὰ πάθη δυσιατότερα καὶ κινδυνώδη, ἤπερ ἐπὶ τῶν ἀνθρώπων; ὅτι τὴν φύσιν ἔχουσι καὶ τὴν αἰσθητικὴν δύναμιν βεβαπτισμένην ἐν τῷ βάθει τοῦ σώματος καὶ περιελκομένην ὑπὸ τῶν λογιστικῆς ψυχῆς ἐπὶ τὰ ἐκτός, καθάπερ ἐπὶ ἀνθρώπων ἔχει. δεόντως οὖν ἡ αἴσθησις ἀντιλαμβανομένη πολλῆς ὀδύνης καὶ τὴν φύσιν καταβαπτίζει καὶ πάσας αὐτῶν τὰς δυνάμεις· ἄλλως τε μὴν ἅτε δὴ δυσπαθέστατα ὄντα ὑπὸ μειζόνων αἰτίων πάσχει μᾶλλον ἤπερ ἀπὸ τῶν τυχόντων.*

39. *Διὰ τί ἐν ὑετῷ πομφόλυγγες γινόμεναι σφοδρὸν ὑετὸν δηλοῦσιν;* ὅτι τὸ πολὺ ὕδωρ καὶ ἡ πολλὴ ἀναθυμίασις πνεύματος πολλοῦ καὶ παχέος γεννητικὴ ὑπάρχει· τοῦτο δὲ τὸ ὕδωρ ὑποδυόμενον πανταχόθεν καὶ κυρτοῦν ἑαυτὸ φῦσαν ἐργάζεται καθάπερ καὶ τὴν ὕαλον ἔστιν ἰδεῖν ὑπὸ τοῦ πνεύματος φυσωμένην, καὶ πᾶν ὑγρὸν ἐν τῇ ἑψήσει πνευματούμενον. σφαιροειδὴς δὲ γίνεται, διότι τὸ ὕδωρ στοιχεῖόν ἐστι σφαιροειδές, καθάπερ καὶ τὰ λοιπὰ στοιχεῖα. δεῖξις δὲ τούτου, κατὰ φύλλων βαλλόμενον τὸ ὕδωρ καὶ καταφερόμενον ἐξ ὕψους στρογγυλοῦσθαι. καὶ ὡς ἔχει τὸ μέρος, οὕτω καὶ τὸ ὅλον ὕδωρ· διὸ καὶ ὁμοιομερές ἐστιν.

40. *Διὰ τί οὐκ ἀλγοῦμεν τὴν κεφαλὴν διαιρούμενοι τῷ λοιπῷ σώματι παραπλησίον;* ὅτι σὰρξ οὐκ ἔστι πολλὴ μυώδης καθάπερ ἐν τῷ λοιπῷ σώματι.

41. *Διὰ τί οἱ ἐκ νόσων ἐκ τῶν ποδῶν λεπίδας ἀποβάλλουσι μᾶλλον, σπανίως δὲ καὶ ἐκ τῶν χειρῶν;* ὅτι ἡ ὕλη κατωφερὴς καὶ οἱ πόδες δὲ μᾶλλον τῶν χειρῶν πορρωτέρω τυγχάνοντες τῆς καρδίας. καὶ διὰ τοῦτο ψυχρότεροι ὄντες, ἧττον πέττουσι καὶ διαφοροῦσι τὰ περιττώματα.

42. *Διὰ τί ἀπὸ φθίσεως καὶ ψώρας καὶ ὀφθαλμίας οἱ πλησιάζοντες ἁλίσκονται, ὕδρωπος δὲ καὶ πυρετοῦ ἀποπληξίου οὐκέτι;* ὅτι ὁ μὲν ὀφθαλμὸς ὡς εὐπαθὴς καὶ ὑγρὸς ἀντιβλέπων, καὶ ἀκτῖνες δὲ μετὰ πνεύματος ἐξιοῦσαι νοσώδεις τῷ εὐπαθεῖ ὀφθαλμῷ μεταδιδόασι τοῦ πάθους. ἡ δὲ φθίσις, ἀναπέμπουσα διὰ τῆς ἀναπνοῆς ἀέρα σεσηπότα, διαδίδωσι πάλιν διὰ τῆς ἀναπνοῆς τοῦ ὑγιαίνοντος τὸ πάθος καὶ τὴν σῆψιν τῷ πνεύμονι. ὁμοίως δὲ καὶ ἡ ψώρα
b ἐπὶ πολλῆς οὖσα τοῦ δέρματος καὶ γλίσχρον ἔχουσα τὸ ἀπορρέον, εὐχερῶς μεταδίδωσι· καὶ τρέπει τὸ δέρμα τοῦ ὑγιαίνοντος· τῶν δὲ ἄλλων παθῶν τὰ μὲν οὐχ ἅπτεται τοῦ δέρματος κατὰ τὸ βάθος ὄντα, ἤ τινα ἀπόρροιαν οὐκ ἀναπέμπει, καθάπερ ὕδρωψ καὶ ἀποπληξία, τὰ δὲ κατὰ μὲν τὰ ἐπὶ πολλῆς τυγχάνοντα, διὰ δὲ γλισχρότητα καὶ παχύτητα καὶ ξηρότητα μηδὲν ἀπορρέοντα, ὡς λεύκη καὶ λέπρα, τὰ δὲ κατὰ μὲν βάθη ὄντα μὴ ἀπορρέοντα δὲ λοιμικὴν καὶ σηπτικὴν ἀπόρροιαν, ὥσπερ οἱ συνήθεις τῶν πυρετῶν.

43. *Διὰ τί ἐπί τινων ἐν τοῖς πυρετοῖς οἱ σπλῆνες αὔξονται;* ἢ διότι πολλὰ πίνουσι καὶ ἐμπνευματοποιοῦνται. ἀραιοπόρον γὰρ τὸ μόριον. ἢ ὅτι ἀσθενὲς ὂν φύσει, δέχεται χεομένας τὰς ὕλας.

44. *Διὰ τί γέροντες καὶ παῖδες μᾶλλον λιθιῶσι τῶν νέων;* παῖδες μὲν ὡς ἀδηφάγοι, γέροντες δὲ ὡς ψυχροὶ καὶ ἀδύναμοι καὶ ἧττον πέττοντες, πολλὰ περιττώματα συνάγουσι τὰ τῶν λίθων γεννητικά.

45. *Διὰ τί ὁ γαργαλισμὸς καὶ ὁ κνησμὸς τῶν πελμάτων ὕπνον ποιεῖ;* ἐπειδήπερ τῶν νεύρων τὰ τέλη ἐνταῦθα πέφυκε. δι' αὐτῶν οὖν ἡ μετρία κίνησις ἀνιοῦσα πρὸς ἐγκέφαλον ἥδει ψυχὴν καὶ εἰς ἠρεμίαν αὐτὴν ἕλκει καὶ ὕπνον. οἱ δέ φασιν ὡς πλειόνων ἐνταῦθα περιττωμάτων κατιόντων διά τε τὸ κατωφερὲς καὶ τὴν τῶν ποδῶν συνεχῆ κίνησιν· πάλιν ὁ μέτριος κνησμός, τὴν κίνησιν τὰ περιττώματα διὰ τῶν νεύρων πρώως ἀναπέμπει πρὸς ἐγκέφαλον, καὶ πληρούμενος οὗτος ὕπνον ποιεῖ.

46. *Διὰ τί μᾶλλον καὶ συνεχέστερον σεληνιακαὶ ἐκλείψεις γίνονται τῶν ἡλιακῶν;* διότι ἡ μὲν σελήνη ἐμπίπτει καὶ εἰς τοὺς ὅρους τῶν ἐκλειπτικῶν συνδέσμων καὶ εἰς τὸν κῶνον τὸν γινόμενον ἐκ τῆς σκιᾶς τῆς γῆς διὰ τὴν τοῦ ἡλίου διάμετρον. καὶ διὰ γραμματικῶν δὲ ἀναγκῶν μᾶλλον σελήνη διὰ τὴν ὀξύρροπον κίνησιν ἐμπίπτει συνεχέστερον τοῖς εἰρημένοις συμπτώμασιν, ὁ δὲ ἥλιος μόνος ὑπὸ ἐκλειπτικῶν συνδέσμων ὑποσκιάζεται, τῆς σελήνης εἰς αὐτοὺς ἐμπιπτούσης καὶ ἀποκρυπτούσης αὐτόν· ἐλάττων 34 δὲ αὐτοῦ τυγχάνουσα τῷ μεγέθει τὸν δίσκον πάντα κρύπτειν οὐ σθένει· τοῦτο δὲ πάσχει συνεχέστερον αὐτη. κινοῦσι δὲ χαλκὸν καὶ σίδηρον ἄνθρωποι πάντες, ὡς τοὺς δαίμονας ἀπελαύνοντες διότι κατ' ἐκεῖνον τὸν χρόνον οἱ φωστῆρες οὐκ ἐπιπέμπουσι τῇ γῇ ἀπορροίας ἀγαθοποιούς, κωλυτικὰς τῶν φαύλων δαιμόνων.

47. *Διὰ τί τὰ ἑπταμηνιαῖα βρέφη ζώσιμα, τὰ δ' ὀκτωμηνιαῖα οὐκέτι;* ὅτι ὁ ἑπτὰ ἀριθμός, τέλειός ἐστι τῇ φύσει, ὡς μαρτυρεῖ Πυθαγόρας καὶ οἱ ἀριθμητικοὶ καὶ οἱ μουσικοί· ὁ δὲ ὀκτὼ ἀτελής. καθάπερ καὶ τὰ τέρατα οὐ ζώσιμα τῷ μὴ εἶναι αὐτῶν τὴν γένεσιν κατὰ πρόνοιαν

φύσεως, ἀλλ' εἶναι ἀτελῆ κατὰ πλεονασμὸν καὶ ἀταξίαν ὕλης, ἑτερόμορφα πλαττόμενα. οὐδὲν γὰρ ἀτελὲς οὔτε κατὰ χρόνον οὔτε κατὰ διάπλασιν καὶ γένεσιν ὑπὸ φύσεως γέγονεν, ὅθεν οὔτε παραμόνιμόν ἐστι· γεννῶνται δὲ ἑπταμηνιαῖα τῷ τὴν διαπλαστικὴν δύναμιν τὴν ἐν μήτρᾳ ἰσχυροτάτην οὖσαν καὶ εὑρίσκουσαν αἷμα χρηστὸν καὶ σύμμετρον, τάχιον ἀνύειν τὸ ἔργον· οἱ δὲ τοὐναντίον δεκαμηνιαῖα. ὅτι δὲ τέλειος ὁ ἑπτὰ καὶ ὁ δέκα τῇ φύσει ἀριθμός, δῆλον ἐκ τοῦ διοικεῖν τὸν θεὸν τὸν περίγειον κόσμον ἑπτὰ ἄστροις· ἑπταμηνιαῖα δὲ τὰ βρέφη τοὺς ὀδόντας ἀναφέρει, ἑπτὰ ἔτη δὲ ἀποβάλλει· διότι ἑπτὰ δέ, ἡβάσκει· τρὶς ἑπτὰ δὲ ἀνδροῦται· καὶ τὰ νοσήματα δὲ ἀναλόγως τῷ ἑπτὰ ἀριθμῷ. ὁμοίως καὶ ἡ σελήνη τῷ ἑπτὰ ἀριθμῷ σχηματίζεται, ἑβδομάσι δὲ καὶ ὁ μὴν διατυποῦται. ἑπτὰ δὲ καὶ τὰ φωνήεντα. ὁμοίως δὲ καὶ ὁ δέκα ἀριθμὸς παρὰ Ἀριστοτέλῃ καὶ τοῖς φιλοσόφοις συμπεριλαμβάνει τὰ ἐν γενέσει καὶ φθορᾷ· καὶ πᾶς δὲ ἀριθμὸς διὰ τοῦ δέκα γεννᾶται κατὰ ἀνακύκλωσιν· ὁ γὰρ ἕνδεκα καὶ ὁ δώδεκα καὶ οἱ ἑξῆς ἀνακάμπτουσιν ἐπὶ τὴν ἀρχὴν τοῦ δέκα ἀριθμοῦ ἄχρι παντὸς ἀπείρου ὡς πρὸς ἡμᾶς ἀριθμοῦ· καὶ οἱ τότε δὲ δικαιότατοι ἄνδρες τὰς δεξιὰς ἑαυτοῖς παρεῖχον ὑπὲρ ἀσφαλείας πράγματος,
b τὸν δέκα ἀριθμὸν προβαλλόμενοι· οἱ γὰρ νῦν γράμμασιν ἰδίοις βεβαιοῦνται τὰ πράγματα.

48. *Διὰ τί ταῖς χερσὶν ἀμφοτέραις ὀρθὸν τὸ ᾠὸν ἄγαν θλιβόμενον οὐ κλᾶται, πλάγιον δὲ τοῦτο πάσχει;* ὅτι εἰς τὰς ὀξείας μόνας ὁμιλεῖ τῷ θέναρι τῶν χειρῶν καὶ ἐν βραχυτάτῳ μέρει αὐτοῦ θλίβεται· καὶ πλάγιον μέντοι καθ' ὅλον τὸ ὄστρακον θλιβόμενον, εὐχερῶς ὑπομένει τὴν θλάσιν.

49. *Διὰ τί ἐπὶ τῶν ἠχούντων ὤτων φυσικῶς ὁρμώμενοι πάντες τὸν δάκτυλον ἐμβάλλοντες κινοῦσι τὸν πόρον ἐπὶ πολύ;* ὅτι ὁ ἀκουστικὸς πόρος εὐρυνόμενος διαφορεῖ τὸ ἐν αὐτῷ πνεῦμα ὅπερ ἐποίει τὸν ἦχον. ποσῶς δὲ καὶ ἀπὸ τῆς συντόνου κινήσεως λεπτυνόμενον ἐκκρίνεται.

50. *Διὰ τί αἱ θήλειαι βραδέως λιθιῶσι τὴν κύστιν;* ὅτι μᾶλλον τῶν ἀρρένων εὐρύπορον ἔχουσι τὸν τράχηλον τῆς κύστεως ὡς καὶ συνεκκρίνεσθαι τῷ οὔρῳ τὸ περιττόν.

51. *Διὰ τί τὰ ἄγρια φυτὰ εὔκομα καὶ ἰσχυρά;* ὅτι παρ'

*αὐτῆς τῆς φυσικῆς δυνάμεως καὶ γεννᾶται καὶ τελεσιουργεῖται καὶ οὐκ ἀπὸ τέχνης ἢ γεωργίας. οὔτε μὴν ἐκ πλήθους ὕδατος καὶ πλείστης ὑγρότητος γεννᾶται καὶ τρέφεται καθάπερ τὰ ἥμερα, ἥτις ἐκθηλύνει τὰ τικτόμενα. ἢ ὥς τινές φασιν, ὅτι τῶν μὲν ἀγρίων ὥσπερ μήτηρ ἐστὶ, τῶν δὲ ἡμέρων μητρυιά.*

52. *Διὰ τί ἐπὶ τῶν μυῶν αἱ ἐγκάρσιαι τομαὶ δυσιατότεραι καὶ δυσχημάτιστοι τῶν ὀρθῶν; ὅτι πολλαὶ ἶνες τέμνονται νευρώδεις. ἡ γὰρ φύσις τὸ νεῦρον διαξάνασα πανταχόθεν εἰς πολλὰς ἶνας ἐπ' εὐθείας παρενύφανεν, οὕτω τὴν σάρκα καθάπερ κρόκην στήμονι. καὶ πεποίηκε τὸν μῦν ἐοικότα κατὰ τὸ σχῆμα τῷ ζώῳ· πάλιν δὲ αὐτὸν συνάξασα, πεποίηκεν ἀντίστροφον νεῦρον, τὸν λεγόμενον τένοντα ὅνπερ προσέφυσε κατὰ τὸ πέρας τοῖς ἄρθροις τῶν κινουμένων μορίων. ἐπειδὴ δὲ οὐκ ἠδύνατο τὸ μαλακὸν σκληρῷ συνάψαι ἁπλῶς οὕτως ἀμέσως (ἐναντία γάρ) ἀνέφυσε διὰ τῶν ὀστῶν καὶ τοῦ μυελοῦ νευρωδές τι μόριον λεγόμενον σύνδεσμον καὶ ἐν αὐτῷ συνέδησε τὸ πέρας τοῦ τένοντος, ὅθεν διὰ τὸ συνδεῖν σύνδεσμος ἐκλήθη. ὅπου μὲν ἦν χρεία τοῦ ἕλκους μόριον εὐμέγεθες καὶ ἰσχυ-* 35 *ρόν, ὡς σκέλος, ἐκεῖ σφαιροειδῶς τὸν μῦν διέπλασε πρὸς τὸ χωρεῖν αὐτὸν πολλὴν δύναμιν κινητικήν· ὅπου δὲ μικρὸν καὶ ἀσθενὲς ὡς βλέφαρον ἢ ἐπιγλωττίδα, ἐκεῖ τὸν μῦν ὥσπερ ὑμενώδη κατεσκεύασε διὰ τὸ μὴ δέεσθαι πολλῆς δυνάμεως κινητικῆς. καὶ κατὰ ἀναλογίαν τοῦ κινουμένου μορίου καὶ ὁ μῦς γεγένηται.*

53. *Διὰ τί τίνες βασκαίνουσι καὶ μάλιστα παῖδας; διότι πολλὴν ἔχουσιν εὐπάθειαν καὶ τροπὴν τῆς φύσεως. τὸ δὲ γινόμενον τοιοῦτόν ἐστιν· τινὲς ἐκ πολλῆς κακίας ψυχῆς, φύσιν ἔχοντες ἐπὶ τοῖς καλοῖς δάκνεσθαι, τῷ ἀμέτρῳ φθόνῳ τῆς κακίας αὐτοῖς διεγειρομένης, ὥσπερ ἰώδης τις καὶ φθοροποιὸς ἀκτὶς ἔξεισιν ἀπὸ τῆς κόρης αὐτῶν· καὶ αὐτὴ εἰσιοῦσα διὰ τῶν ὀφθαλμῶν τοῦ φθονουμένου τρέψει τὴν ψυχὴν καὶ τὴν φύσιν εἰς δυσκρασίαν καὶ τοὺς χυμοὺς ἐπὶ σῆψιν καὶ εἰς νόσον ἄγει τὰ σώματα τούτων· ὅθεν καὶ οἱ πολλοὶ καθαριευόμενοι παραφυλάττονται καὶ παραιτοῦνται βλέπειν νεκρούς· αἱ γὰρ ὀπτικαὶ ἀκτῖνες, ἀπιοῦσαι πρὸς τὰ νεκρὰ σώματα κατ' ἀντανάκλασιν ἀνα-*

φέρουσι μολυσμόν τινα διὰ τῶν ὀφθαλμῶν τῇ ψυχῇ. καὶ φύσει παῖδες διὰ τὸ εὐπαθὲς τῆς φύσεως μᾶλλον ἁλίσκονται.

54. *Διὰ τί ἐπί τινων σφόδρα βηττόντων ἢ ἐμούντων, ὥσπερ ἀστέρες πρὸ τῶν ὀφθαλμῶν προφαίνονται;* διότι ἡ σύντονος ἐπὶ τὰ ἔσω θλίψις τοῦ θώρακος καὶ τοῦ στομάχου ἀνωθεῖται τὰ ὑγρὰ σὺν τοῖς πνεύμασιν ἐπὶ τὰ ἄνω καὶ ταῦτα παριόντα διὰ τῶν ὀφθαλμῶν ἐπιθολοῖ τὸ ὀπτικὸν πνεῦμα· καὶ τοῦτο ἔξω φαντάζοντα ὡς κατ' ἀλήθειαν· εἰ μὲν οὖν ἀτμὸς ἐπὶ μῆκος εἴη, μακρὰ ὁρῶσιν· εἰ δὲ λεκιθώδης, χρυσίζοντα, εἰ δὲ καπνώδης ἀπὸ φλέγματος, λευκά· καὶ καθόλου πρὸς τὸ σχῆμα καὶ τὴν χρόαν τὰ φαινόμενα· ἐπὶ δὲ φρενιτικῶν ἐξ αὐτοῦ τοῦ ἐγκεφάλου ἐπὶ τὸ ὀπτικὸν πνεῦμα οἱ ἀτμοὶ παρέχονται· καὶ οἱ ὑπὸ χύσει πειραζόμε- b νοι τὰ αὐτὰ ὁρῶσιν.

55. *Διὰ τί οἱ ὑδροποτοῦντες ὀξυωπέστεροι;* ὅτι ὁ πολὺς οἶνος ἐπιθολοῖ τὸ ὀπτικὸν πνεῦμα· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων.

56. *Διὰ τί οἱ γλαυκόφθαλμοι ἐν ταῖς ὀφθαλμίαις πλέον ὀδυνῶνται καὶ οὔτε στύψιν φέρουσιν;* ὅτι τὸ κρυσταλλοειδὲς ὑγρὸν καὶ τὰ ὑγρὰ τῶν ὀφθαλμῶν ἔχουσι προπετέστερα ἐπὶ τὰ ἔξω. καὶ διὰ τὴν εὐπάθειαν, καὶ αἰσθητικώτερα. οἱ δὲ μελανόφθαλμοι διὰ τὸ ἐναντίον ἧττον εὐαίσθητοι.

57. *Διὰ τί ὡς ἐπὶ τὸ πλεῖστον οἱ μὲν ἁπλῶς ἐμοῦντες φλέγμα κενοῦσιν, οἱ δ' ἐπὶ πλέον, χολήν, εἶτα καὶ αἷμα;* ὅτι συντόνῳ κέχρηνται σπαράξει· καὶ τὰ ἐν τῷ βάθει ἐμπεπαρμένα κενοῦσι· τὸ μέντοι φλέγμα παχὺ ὄν, ἐμπεπλασμένον ἐστίν, καὶ ὀλίγος ἐρεθισμὸς κινεῖ αὐτὸ πρὸς ἔμετον· ἐὰν δὲ εἴη καὶ χολὴ ἐπιπλέουσα τῷ κύτει τῆς γαστρός, ταχύτερον κενοῦται τοῦ φλέγματος. οἱ μέντοι ἐν ταῖς φλεψὶ χυμοὶ τοιαύτην ποιοῦνται τὴν κένωσιν ἐπὶ τῶν καθαρτηρίων· ἡ γὰρ φύσις αὐτὸ τοῦτο προειδυῖα, ὡς ἐπὶ κακοχύμου ἐδέετο καθάρσεως τὸ σῶμα. τὰ πέρατα τῶν φλεβῶν ἀπετελεύτησαν εἰς τὸ κύτος τῆς κοιλίας, καθάπερ καὶ ἐπὶ μήτρας διὰ τὴν μηνιαίαν κάθαρσιν καὶ ἐπὶ ἕδρας καὶ ῥινὸς διὰ τὴν ἐκ νόσων κένωσιν· ἅπερ στόματα φυσικῶς παιδαγωγούμενα μύει τὸν πάντα χρόνον, ἄχρις ἂν ἡ χρεία καλῇ. ἐν μὲν οὖν ταῖς καθάρσεσι τῶν ὀξέων πυρετῶν, αὐτο-

*ματως ὑπὸ τῆς ἀποκριτικῆς δυνάμεως ἀνοστομούμενοι κενοῦσι τὸν ἐν ταῖς μεγάλαις φλεψὶ καὶ ἀρτηρίαις πεφθέντα χυμὸν ἢ διὰ γαστρὸς ἢ διὰ στόματος· ἐν δὲ τοῖς δεδωμένοις καθαρτηρίοις βίᾳ ἀνευρυνόμενα συγχωροῦσιν ἕλκειν τῷ καθαρτηρίῳ. τὸ μὲν γὰρ ἐν αὐτῷ πέπερι θερμὸν ὂν καὶ ἡ σκαμωνία καὶ εἴτι παραπλήσιον φύσει θερμὰ ὄντα ἀνοίγουσι τὰ στόμια· καὶ εἴ τι ἕτερον θερμὸν εἶδός ἐστιν ἐν αὐτῷ, ἰδικῶς δὲ καὶ φυσικῶς λοιπὸν ἕλκει ἕκαστον τὸν οἰκεῖον χυμὸν ὡς ἐν ἀρχαῖς εἴρηται. τὸ μέντοι αἷμα ὡς οἰκεῖον ὑπὸ φύσεως κατεχόμενον τῇ βίᾳ ἑλκόμενον ὕστερον κενοῦται ἐν ταῖς ὑπερκαθάρσεσι.*

58. *Διὰ τί τὰ βάρη εὐφορώτερον ἐν τοῖς ἀριστεροῖς φέρομεν ἀσθένεσιν οὖσιν, ἤπερ ἐν τοῖς δεξιοῖς; ὅτι μᾶλλον τὰ δεξιὰ ὡς ἰσχυρότερα βοηθοῦσι τοῖς ἀριστεροῖς, καὶ ποσῶς ἐπικουφίζει τὸ βάρος συμπάσχοντα· τὰ μέντοι λαιὰ ὡς ἀσθενῆ τοῦτο ποιεῖν οὐ σθένει.*

59. *Διὰ τί τὸν σίφωνα ἐκμυζοῦντες ἕλκομεν τὸν οἶνον ἢ ἕτερόν τι ὑγρόν; οὐχ ἡ ἕλξις τῶν χειλῶν ἐπισπᾶται τὸ ὑγρόν, ἀλλ' ἡ βία τοῦ κενοῦ. ὁ γὰρ πόρος τοῦ σίφωνος ἀέρος πεπλήρωται, σώματος ὄντος λεπτομεροῦς. καὶ ἐπειδὴ ἀδύνατον, σώματα δύο τυγχάνειν ἅμα ἐν τῷ αὐτῷ χρόνῳ κατὰ τὸν αὐτὸν τόπον (λέγω δὴ ὑγρὸν καὶ πνεῦμα) ἔτι γε μὴν οὐδὲ τόπον καὶ χώραν εἶναι κενὴν χωρὶς σώματος· πᾶσα γὰρ χώρα ἢ στερεὸν περιέχει ἢ ὑγρόν, πνεῦμα· ἐπαναγκὲς οὖν διὰ τῆς ἐκμυζήσεως τοῦ ἀέρος ἑλκομένου ἀπὸ τοῦ σίφωνος συνακολουθεῖν τὸ ὑγρὸν τῇ ἀπειλῇ τοῦ κενοῦ· τοῦτο τοίνυν ἴσθι γενόμενον καὶ ἐπὶ καθετῆρος· τὸ γὰρ ἐμβαλλόμενον ἐν αὐτῷ ἔριον ἑλκόμενον συνεξάγει τὸ πνεῦμα, καὶ οὕτω πάλιν τῇ ἀπειλῇ τοῦ κενοῦ συνεφέλκεται τὸ οὖρον· τοῦτο πάσχει καὶ τὰ στραγγεῖα τὰ ἰατρικά· καὶ ἡ σικύα δὲ τοῦτον ἕλκει τὸν τρόπον. τὸ γὰρ ἐμβαλλόμενον πῦρ χέει τὸν ἐν αὐτῷ ἀέρα, λεπτῦνον αὐτόν, καὶ κενοῖ ἐξ αὐτῆς· καὶ οὕτως λοιπὸν ἐμβαλλομένης τῷ σώματι, καὶ τοῦ πυρὸς σβεννυμένου, καὶ κενοῦ τόπου παραμένοντος, ἀνάγκη ταύτην ἕλκειν τὸ αἷμα τῇ τοῦ κενοῦ πάλιν ἀπειλῇ. καὶ καθόλου πάντα τὰ ἕλκοντα τοῦτον ὑπομένει τὸν τρόπον ἐπὶ τούτων καὶ οὔτε ἡ θερμότης ἐστὶν ἡ*

ἕλκουσα, οὔτε ἡ ἐπίσπασις τοῦ στόματος· καθὼς ὁ καθετὴρ δείκνυσι κατ' οὐδέτερον τούτων ἕλκων· ἕλκεται δὲ καὶ ὑπὸ θερμότητος ὡς θαψίας κατάχρισις. καὶ ὑπὸ ἰσχυροῦ τὸ ἀσθενές· καὶ ἰδιότητι ὡς ὑπὸ μάγνητος σίδηρος, καὶ αἷμα ὑπὸ τῶν μορίων.

60. Διὰ τί αἱ μὲν φυσικαὶ δυνάμεις σύμφυτοι, αἱ δὲ
b ψυχικαὶ ἐπίρρυτοι; ὅτι αἱ μὲν φυσικαί, λέγω δὴ ἑλκτική, καθεκτική, ἀλλοιωτική, ἀποκριτική, πρὸς αὐτὸ τὸ ζῆν ἀφορῶσι τὸ ἀναγκαῖον ἔχουσαι. αἱ δὲ θυμικαὶ καὶ ψυχικαὶ καὶ αἰσθητικαὶ καὶ κινητικαὶ πρὸς τὸ εὖ ζῆν τὸ χρήσιμον ἔχουσιν. τὸ μὲν γὰρ μὴ τρέφεσθαι τὸ μόριον, φθορὰν ποιεῖ· τὸ δὲ μὴ κινεῖσθαι ἢ μὴ ὁρᾶν ἢ μὴ ἀκούειν οὐκέτι ποιεῖ θάνατον. ἐν μέντοι τῷ θώρακι διὰ τὴν ἀπειλὴν τοῦ πνιγμοῦ τῇ ἀδιαλείπτῳ ἐπιρροίᾳ τῆς κινήσεως, σοφίζεται ὡς δοκεῖν σύμφυτον εἶναι. αἱ δὲ φυσικαὶ δυνάμεις ταύτην ἔχουσι τὴν τάξιν καὶ τὸν ἀριθμὸν διὰ τοιαύτην αἰτίαν. ἡ τροφὴ καὶ τὸ αἷμα ἄψυχον ὂν οὐχ οἷόντε ἦν ἀφ' ἑαυτοῦ προσκολλᾶσθαι τῷ τρεφομένῳ μορίῳ. ἐχρῆν οὖν εἶναι δύναμιν τὴν ἕλκουσαν πάλιν, ἐπειδὴ πᾶν τὸ ἀλλοιώμενον καὶ μεταβαλλόμενον σῶμα ἐν χρόνῳ τοῦτο πάσχει παρὰ τοῦ ἀλλοιοῦντος καὶ δρῶντος· καὶ οὐκ ἀχρόνως ἀνάγκη γενέσθαι δευτέραν δύναμιν καθεκτικὴν πρὸς ὑπηρεσίαν τῆς ἀλλοιούσης τὸ αἷμα καὶ ἀρκοῦντα χρόνον. τρίτη λοιπὸν ἡ ἀλλοιωτική· ἐπειδὴ δὲ πέττουσα ἡ ἀλλοιωτικὴ τὸ μὲν χρηστὸν τοῦ αἵματος προσέφυσε τῷ μορίῳ εἰ οὕτως ἔτυχε τῷ νεύρῳ, τὸ δὲ ἀχρεῖον κατέλειψε, καὶ τοῦτο παραμένον οὐ μόνον τὴν ὁδὸν ἀπέφραττε καὶ τοὺς πόρους τῆς μελλούσης δευτέρας ἕλξεως τοῦ αἵματος πρὸς τροφήν, ἀλλὰ καὶ παραμένον ἐσήπετο, δῆλον ὡς ἐξ ἀνάγκης τετάρτη τις ἐγίνετο δύναμις ἡ ἀποκριτική, ἥτις διὰ τῆς ἀδήλου διαπνοῆς καὶ αἰσθητῆς τῆς διὰ τῶν ἱδρώτων ἐξέκρινε τὸ περίττωμα. αὕτη μὲν οὖν ἡ τάξις καὶ ὁ ἀριθμὸς τῶν φυσικῶν δυνάμεων. γίνωσκε δὲ ὡς ἐπί τινων μὲν μορίων ὁμότιμον ἔχουσι τὴν δύναμιν· ὡς ἐπὶ νεύρου καὶ φλεβὸς καὶ ὀστέου, ἐν οἷς μορίοις ἡ ἐνέργεια, ἰδία μόνου ἦν. ἐπὶ δέ τινων μία ἐστὶν ἐπιτεταμένη, ἐφ' ὧν ἡ ἐνέργεια οὐ μόνον ἰδία ἀλλὰ καὶ κοινή ἐστι, συμβαλλομένη παντὶ τῷ σώματι· οἷον ἐν κοιλίᾳ καὶ ἥπατι

*μᾶλλον ἡ ἀλλοιωτικὴ ἐπιτέταται τῇ δυνάμει καὶ τῇ ἐνεργείᾳ· ἐν δὲ σπληνὶ καὶ στομάχῳ καὶ χοληδόχῳ κύστει καὶ νεφροῖς μᾶλλον δὲ ἡ ἑλκτική· ἐν δὲ ἐντέροις καὶ οὐρηδόχῳ κύστει μᾶλ-* 37
*λον ἡ ἀποκριτική· ἐν δὲ μήτρᾳ μᾶλλον ἡ καθεκτική. ὁμοίως δὲ καὶ ἐπὶ τῶν πέντε αἰσθήσεων εὑρίσκομεν ἐπί τινων μίαν μᾶλλον ἐπιτεταμένην· οἷον ἐν κυνὶ μὲν τὴν ὀσφρητικήν· ἐν δὲ ἀετῷ τὴν ὀπτικήν, ἐν δὲ τῷ λεγομένῳ πρωτογεύστῃ Ἰνδικῷ ζώῳ ὄντι τὴν γευστικήν, ἐν δὲ ὄφεσι καί τισιν ὀρνέοις τὴν ἁπτικήν· κατὰ δὲ τοὺς χῆνας τὴν ἀκουστικήν.*

61. *Διὰ τί πέντε μόναι αἰσθήσεις καὶ μὴ πλείους ἢ ἐλάττους; ὅτι πρὸς τὴν φύσιν καὶ τὸν ἀριθμὸν τῶν αἰσθητῶν καὶ τὰ αἰσθητήρια. ἡ μὲν γὰρ ἁφὴ δοκιμάζει τραχέα καὶ λεῖα καὶ σκληρὰ καὶ μαλακά, καὶ ποιότητας, ἅπερ ἐν τοῖς στερεοῖς εἰσιν· ἡ δὲ γεῦσις γλυκὺ καὶ πικρὸν καὶ ἁλμυρὸν καὶ τὰ ὅμοια, ἅπερ ἐν ὑγροῖς εἰσι καὶ χυμοῖς· ἡ δὲ ὄσφρησις, δυσώδη καὶ εὐώδη, ἅπερ ἐν ἀτμοῖς ὑπάρχει. ἡ δὲ ἀκοὴ ψόφων καὶ ἤχων γνωστική, ἅπερ περὶ πληγὴν ἀέρος πάρεστιν. ἡ δὲ ὄψις περὶ τὰ χρώματα, ἅπερ ἐν λεπτοτάτῳ καὶ αἰθεροειδεῖ τυγχάνει πνεύματι. τὸ γὰρ στερεὸν χεόμενον, ὑγρὸν γίνεται, τὸ δὲ ὑγρὸν πάλιν ἀτμός, ὁ δὲ ἀτμὸς ἀὴρ καὶ πνεῦμα λεπτὸν καὶ ὥσπερ τις σειρὰ καὶ τάξις ἀπὸ γῆς ἄχρις οὐρανοῦ πέφυκεν. διαφέρει δὲ ἀὴρ πνεύματος κινήσει καὶ λεπτότητι· τὸ γὰρ πνεῦμα ἀήρ ἐστι κινούμενος ὡς ἐπὶ ἀνέμων· κινούμενον δὲ ἐξ ἀνάγκης καὶ λεπτύνεται.*

62. *Διὰ τί ἐπὶ τῇ τοῦ ὀστέου φθορᾷ, ἡ ἐπικειμένη σὰρξ εὑρίσκεται πλαδαρὰ καὶ βρυώδης καὶ πελία; ὅτι ἡ φθορὰ γίνεται κατὰ δυσκρασίαν τοῦ μορίου· ἡ δὲ δυσκρασία φθείρει καὶ ἀδικεῖ τὴν ἀλλοιωτικὴν δύναμιν. αὕτη οὖν οὐ σθένει γνησίαν σάρκα γεννῆσαι καὶ στερεὰν καὶ ῥοδίζουσαν. τὸ γὰρ αἷμα κατὰ φύσιν οὐ μεταβάλλεται.*

63. *Διὰ τί ἐπὶ πάντων τῶν μεταβαλλομένων τὸ γεννώμενον ἀπομόργνυται τὴν τοῦ γεννῶντος καὶ ἀλλοιοῦντος χρόαν; ὅτι μεταβάλλουσαί εἰσι δυνάμεις αἱ φυσικαί· ταύτας δὲ ἡ φύσις ἐνεπίστευσε κατοικεῖν ἐν τοῖς στερεοῖς* b
*ὡς ἑδραίοις οὖσι μορίοις, λέγω δὲ νεύροις καὶ ὀστοῖς καὶ φλεψὶ καὶ ὑμέσι καὶ ἀρτηρίαις, οὔτε δὲ ἐν τοῖς ὑγροῖς*

οὔτε ἐν τοῖς πνεύμασιν ὡς ῥυτοῖς καὶ ἀβεβαίοις. καὶ εὐχερῶς προδιδόασι τὰς δυνάμεις. ἐπεὶ γὰρ τὸ πᾶν σῶμα ἐκ τῶν τριῶν τούτων σύγκειται, ταῦτα δὲ τὰ στερεὰ λευκὴν ἔχει τὴν χρόαν, εἰκότως καὶ ἡ ἐν οὔρῳ πέψις λευκή, καὶ τὸ πύον καὶ τὸ γάλα καὶ τὸ σπέρμα καὶ ἡ μύξα καὶ αἱ λῆμαι καὶ ἡ γαλακτώδης ἐν κοιλίᾳ τροφὴ καὶ τὰ παραπλήσια. τὸ δὲ αἷμα ἐρυθρόν, ἐπειδὴ καὶ τὸ γεννῶν αὐτὸ ἧπαρ ἐρυθρόν. τῶν δὲ γεννωμένων τὰ μέν ἐστι πάντη παρὰ φύσιν, ὡς λίθος καὶ ἕλμινθες καὶ σκώληκες καὶ πῶροι ποδαγρῶν καὶ λειχῆνες καὶ λεῦκαι καὶ τὰ ὅμοια ἐκ φθοροποιοῦ χυμοῦ τὴν γένεσιν ἔχοντα· τὰ δὲ πάντη κατὰ φύσιν ὡς σπέρμα καὶ γάλα καὶ αἷμα καὶ βρέφος καὶ σὰρξ καὶ τὰ παραπλήσια, φύσεως ὄντα γνήσια βλαστήματα· τὰ δὲ μέσα τῶν κατὰ φύσιν καὶ παρὰ φύσιν ὡς τὰ τῆς φύσεως πεψάσης περιττώματα· λέγω δὲ πτύαλον, σκύβαλον, οὖρον, βλένναι, κυψέλη, λῆμαι καὶ τὰ ὅμοια. αἱ δὲ εὐκρασίαι γεννῶσι τὰς φυσικὰς δυνάμεις καὶ ψυχικὰς κατά τινας, ἢ ὄργανα αὐτῶν εἰσιν, ὃ καὶ ἀληθέστερον· πρὸς γὰρ τὴν κατασκευὴν τοῦ ὀργάνου ἐνεργεῖ καὶ ἡ δύναμις· οὕτω γὰρ καὶ χορδῶν ἐν κιθάρᾳ ἢ ὀπῶν ἐν αὐλῷ καλῶς διακειμένων, ἐνεργήσει καὶ ὁ τεχνίτης ἄριστα· φαύλως δὲ διατεθέντων, οὐκ ἐνεργήσει καλῶς· αὐτὸς μὲν μηδὲν πάσχων, δυνάμει δὲ ἔχων τὴν τέχνην σωζομένην καὶ οὐ κατ' ἐνέργειαν. οὕτως οὖν καὶ ἐγκεφάλῳ εἰ οὕτως ἔτυχεν διαστραφέντες ὑπὸ δυσκρασίας, οὐκ ἐνεργήσει μὲν ψυχὴ λογιστική· κατ' αὐτὴν δὲ ἄτρεπτος μένει δυνάμει τυγχάνουσα κατὰ τὴν ἐνέργειαν διὰ τὸ ἀθάνατον. εὐπορήσασα δὲ πάλιν ὀργάνου εὐκράτου τὴν δύναμιν εἰς ἐνέργειαν προβάλλει καλῶς· ἡ εὐκρασία οὖν τῶν μορίων τὰς δυνάμεις διασώζει, αἱ δὲ δυνάμεις τὰς ἐνεργείας προβάλ-
38 λουσιν, αἱ δὲ ἐνέργειαι τὸ ἔργον. οἷον ἡ θερμὴ καὶ ὑγρὰ σύμμετρος κρᾶσις τοῦ ἥπατος βλαστάνει τὴν ἐξαιματωτικὴν δύναμιν, ἢ φυλάσσει κατά τινας· ἡ δ' ἐξαιματωτικὴ γεννᾷ τὴν ἐξαιμάτωσιν· ἡ δὲ ἐξαιμάτωσις δείκνυσι τὸ ἔργον αὐτὸ τὸ αἷμα· δυνατὸν δὲ κατὰ ἀνάλυσιν καὶ ἀναποδισμὸν εἰπεῖν, εἰ ἐγένετο αἷμα, σώζεται ἡ ἐξαιμάτωσις· εἰ δὲ αὕτη ἔρρωται ἡ ἐξαιματωτικὴ δύναμις· εἰ δὲ αὕτη

σώζεται. δῆλον δὲ ἡ εὐκρασία τοῦ ἥπατος· εἰ δὲ ἡ εὐκρασία σώζεται, καὶ ἡ κρᾶσις τῶν στοιχείων πεπαιδαγώγηται.

64. Διὰ τί τὸ ὄξος προσραινόμενον τῇ μήτρᾳ πολέμιον; ὅτι διὰ τὸ εἶναι αὐτὴν αἰσθητικωτάτην διὰ τὸ ἄμετρον ἡ δύναμις τῆς τοῦ σπέρματος εἰςδοχῆς, γέγονεν ἄγαν νευρώδης, καὶ διὰ τὸ ἐκτείνεσθαι δὲ ἀμέτρως, ἐν τῇ κυοφορίᾳ. τὸ τοίνυν ὄξος τῇ δριμύτητι πλῆττον καὶ δάκνον αὐτήν, ἀνιᾷ· καθάπερ καὶ τὸν θώρακα ὑμενώδη καὶ μυώδον τυγχάνοντα. τινὲς δέ φασιν, ὡς κατὰ ἀντιπάθειάν τινα πολέμιόν ἐστιν, ἱστοροῦντες, ὡς ἰατρίνην ποτὲ κατὰ τὸν τοκετὸν τὸ χορεῖον κλέπτουσαν κατὰ γυναῖκα, μισθοῦ χάριν ἐπιραίνουσαν ὄξος σὺν ἑτέρῳ τινὶ εἴδει, τούτῳ εἶχε τὴν τετοκυῖαν σπωμένην καὶ ἄγαν ὀδυνωμένην. προσποιουμένη δὲ τὸ θεραπεύειν ἐπέρραινέ τινα πάλιν τῷ χορείῳ καὶ εἶχεν ἐκείνην ὑγιαίνουσαν. καὶ τοῦτο φωραθῆναι πράττουσα, δίκην παρέσχε τῆς δυσσεβείας. ἐν δὲ ταῖς ὑστερικαῖς πνιξί τινες τὰ μὲν εὐώδη προσφέρουσι τῇ μήτρᾳ, τὰ δὲ δυσώδη τῇ ῥινί, νομίζοντες τῷ εἶναι αὐτὴν ζῶον, φεύγειν μὲν τὰ δυσώδη, προστρέχειν δὲ τοῖς εὐώδεσι καὶ οὕτω τὸν οἰκεῖον ἀπολαμβάνειν τόπον· ἐμοὶ δὲ μᾶλλον φαίνεται, τὰ μὲν εὐώδη λεπτομεροῦς ὄντα δυνάμεως καὶ θερμῆς, τέμνειν καὶ διαφορεῖν τὸ γλίσχρον τοῦ ἐν τῇ μήτρᾳ νοσοποιοῦ χυμοῦ, τὰ δὲ δυσώδη παχυμεροῦς ὄντα δυνάμεως ἐμφράττειν τοὺς πόρους καὶ μὴ ἐᾶν αὐτὴν ἀνατρέχειν. ἐπὶ δὲ τῶν ἐπιληπτικῶν καταπίπτωσιν ποιεῖ τὰ δυσώδη, ὡς πτερὰ καιόμενα, λίθος γαγάτης, ἄσφαλτον, κέρας παντοῖον, ἐλλύχνια, ἔρια πεπισσωμένα καιόμενα, λίθος Θρακίας ὕδατι μὲν καιόμενος, ἐλαίῳ δὲ σβεννύμενος· ἡ γὰρ b
ἀναφερομένη διὰ τῶν ῥινῶν παχυμέρεια τῶν ἀτμῶν παχύνει καὶ πιλοῖ τὸ ψυχικὸν πνεῦμα ἤδη πρόληψιν ἔχον παχύτητος καὶ ψυχρότητος καὶ ἀνεπιτήδειον ποιεῖ τὸ ψυχικὸν πνεῦμα τῇ ψυχῇ πρὸς ἐνέργειαν. μὴ ὀχούμενον οὖν ὑπὸ ψυχῆς τὸ σῶμα τῷ οἰκείῳ βάρει ἐλεγχόμενον καταπίπτει.

65. Διὰ τί τἀναντία τῇ ποιότητι τὸ αὐτὸ ποιεῖ πάθος; οὕτω γὰρ θερμότης καὶ ψυχρότης ῥῖγος ἐργάζεται. φημὶ ὅτι κατ' ἄλλην αἰτίαν καὶ διάθεσιν· γίνεται γὰρ ἀπὸ χολῆς

*ξανθῆς ῥῖγος δριμείας οὔσης τῷ δακνόμενα καὶ κεντούμενα τὰ μόρια ἐπεγείρεσθαι πρὸς ἀπόκρισιν. καὶ τούτου συνεχῶς γιγνομένου καὶ τῆς μὲν ἐπιρρεούσης καὶ κεντούσης, τῶν δὲ ἐπεγειρομένων κατὰ διαδοχήν, γίνεται τὸ ῥῖγος. γίνεται δὲ καὶ ἀπὸ ψύξεως τῇ ἀμέτρῳ μεταβολῇ ξενιζομένης τῆς φύσεως τῶν μορίων καὶ πάλιν συνεχῶς ἐπανισταμένων πρὸς ἀπόκρισιν. τὸ γὰρ σύμμετρον φίλον τῇ φύσει τῶν μορίων, τὸ δὲ ἄμετρον ἀλλότριον καὶ βλαβερόν. ὁμοίως καὶ ἐπὶ τοῦ ψυχροῦ· γίνεται δὲ περίψυξις πρώτη, εἶτα ἐπιταθεῖσα φρίκη, εἶτα ἔτι μᾶλλον ῥῖγος.*

66. *Διὰ τί οἶνον σὺν ἄρτῳ ἐν πυρετῷ καὶ ἀδυναμίᾳ δεδώκαμεν καὶ οὐκ ἐπηυξήσαμεν τὸν πυρετὸν τῇ τοῦ οἴνου θερμότητι; ὅτι πρῶτον μὲν βραχὺν παρέχομεν καὶ ἀσθενῆ. καὶ οὕτως τῇ μετρίᾳ θερμότητι πυρούμενος θᾶττον ἀναδίδωται κατὰ πάντα τὰ μόρια σὺν τῇ τοῦ ἄρτου δυνάμει· καὶ οὕτως τρέφων τὰ μόρια ἐπεγείρει αὐτῶν τὰς δυνάμεις πρὸς πέψιν τοῦ νοσοποιοῦ χυμοῦ. ὁμοίως δὲ καὶ ὁ σἶνος τρέφων ῥώννυσι· γίνωσκε γὰρ ὑπὲρ πάσας τὰς τροφὰς ἰδιότητά τινα ἔχειν τὰ δύο ταῦτα πρὸς θρέψιν καὶ ῥῶσιν τῶν μορίων συμμέτρως δεδόμενα. καθὼς ὁ θειότατος Ὅμηρος μαρτυρεῖ λέγων· σίτου καὶ οἴνοιο· τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή. προέταξε δὲ πάλιν τὸν σῖτον τοῦ οἴνου, διὰ τὸ δύνασθαι τρέφειν καὶ μόνον χωρὶς οἴνου. μόνος δὲ ὁ οἶνος χωρὶς ἄρτου τρέφειν οὐ δύναται. εἰ δὲ καὶ συμβαίη τι σφάλμα, δύναται τὰ μόρια ἀνασφήλαντα διορθώσασθαι τοῦτο· καὶ ὀσφραινόμενα δὲ τὰ δύο ταῦτα τῇ οἰκείᾳ ποιότητι δύνανται ῥωννύειν παραπεμπόμενα διὰ ῥινὸς καὶ στομάχου καὶ πνεύμονος καθ' ὅλα τὰ μόρια· ὁμοίως δὲ καὶ τὸ μῆλον ῥώννυσι ποιότητα· ὄξος μέντοι καὶ γλίχων ἀνακτᾶται λειποθυμίαν ὀσφραινόμενον τῷ διὰ τῆς ποιότητος τέμνειν τὸν ἐν τῷ στομάχῳ χυμὸν καὶ τῷ ῥωννύειν διὰ τοῦ ὄξους. καὶ ἕλικες δὲ ἀμπέλων καὶ μυρρῖνα καὶ ῥόδα καὶ τὰ ὅμοια ἐπὶ τῶν πυρετῶν ὀσφραινόμενα, δύνανται καὶ ἐμψύχειν καὶ τονοῦν.*

67. *Διὰ τί τὸ ἔλαιον οὐδενὶ τῶν ὑγρῶν ἀναμίγνυται; ὅτι γλίσχρον ὂν καὶ παχυμερὲς καὶ ἡνωμένον καὶ μὴ τεμνόμενον εἰς λεπτὰ μόρια καθάπερ τὰ ἄλλα ὑγρά, οὐ δίδωσιν*

χώραν ἑτέρῳ ὑγρῷ ἐγκαταβληθῆναι εἰς αὐτὸ καὶ ἀναμιχθῆναι αὐτῷ· τὰ δὲ ὁμιλοῦντα ἑαυτοῖς ὁμιλεῖ τῶν κατὰ τὴν κρᾶσιν, ὡς αἱ ποιότητες τῶν στοιχείων παντελῶς ἔχουσαι τὰς πρώτας ποιότητας ἀφανιζομένας καὶ ἑτέρας γεννωμένας, δυναμένας δὲ πάλιν ὑπὸ φύσεως χωρισθῆναι καὶ σωθῆναι. τὸ δὲ μελίκρατον καὶ τὸ ὀξύκρατον μιμεῖται τὴν φύσιν, τῇ αἰσθήσει μὲν νομιζόμενα κατὰ κρᾶσιν, εἶναι μὴ ὄντα δὲ κατὰ ἀλήθειαν· καὶ πρὸς τὴν φύσιν οὐσιωδῶς, ὥσπερ τὰ στοιχεῖα. τὰ δὲ κατὰ παράθεσιν, ὡς ὑδρέλαιον· τὰ δὲ κατὰ μῖξιν, ὡς κριθὴ πυροῖς· τὰ δὲ κατὰ κόλλησιν, ὡς λίθος λίθῳ· τὰ δὲ κατὰ πρόσφυσιν καὶ ὁμοίως, ὡς αἷμα σαρκὶ ἢ μυελῷ ἢ ὀστῷ. τὰ δὲ κατὰ γόμφωσιν, ὡς ξύλον ξύλῳ διὰ γόμφων τινῶν ἐν μέσῳ βαλλομένων. τὰ δὲ κατὰ ἀντοχὴν ἑαυτῶν καὶ περιπλοκήν, ὡς κρίκος κρίκῳ. ἐπὶ δὲ ἐμψύχων, ὡς ἐπὶ παλαιόντων, κατ' οὐδένα τούτων τῶν τρόπων μίγνυται ἡ ψυχὴ σώματι. διὰ τὸ πολλὴν ἐπάγεσθαι ἀντοπίαν, ἀλλὰ μᾶλλον κατ' ἐπιτηδειότητα ὁμιλεῖ σώματι ψυχὴ διὰ μέσου τινός, ὅπερ ἀμφοτέρων ἀναδεχόμενον φύσιν πoσῶς· καὶ προσφιλεῖ γινόμενον καὶ σοφιζόμενον, ἀμφότερον μίγνυσι τὸ ἀσώματον τῷ σώματι, τὸ ἀθάνατον τῷ φθαρτῷ, τὸ καθαρὸν τῷ ἀκαθάρτῳ, τὸ θεῖον τῷ γηίνῳ, ὡς ὁ λόγος δείξει· ἐν γὰρ τῷ ἥπατι τοῦ αἵματος πεττομένου καὶ μεταβαλλομένου ὑπὸ τῆς αὐτόθι b συμμέτρου θερμότητος καὶ ὑγρότητος, γεννᾶται πνεῦμα ἀτμοειδές· τοῦτο δὲ διὰ τῆς κοίλης φλεβὸς ἀνιὸν μετὰ τοῦ αἵματος πρὸς καρδίαν, καὶ ἐπὶ πλέον θερμαινόμενον καὶ λεπτυνόμενον, γίνεται ἀεροειδές· καὶ πάλιν ἀναπεμπόμενον διὰ τῶν καρωτίδων ἀρτηριῶν πρὸς τὴν βάσιν τοῦ ἐγκεφάλου κατὰ πρόνοιαν φύσεως ἐκεῖσε παιδαγωγούμενον κατ' ἰδιότητά τινα φυσικὴν ὑπὸ τῆς τοῦ ἐγκεφάλου ψυχρότητος ἀποβαλὸν τὴν ἄμετρον ζέσιν, γίνεται πνεῦμα αἰθεροειδές, ὅπερ ὄργανόν ἐστι ψυχῆς πρὸς ἐνέργειαν· ὥσπερ ἄγριος ἵππος ὑπὸ χαλινοῦ σωφρονιζόμενος, οὕτω δὲ τοῦτο χαλιναγωγούμενον ὑπό τινος ἀρρήτου φυσικῆς δυνάμεως· ἔτι γε μὴν διὰ τῆς ἀναπνοῆς ὁ εἰσιὼν ἀὴρ ἐν τῇ καρδίᾳ λεπτυνόμενος καὶ ἀνιὼν διὰ τῶν ἀρτηριῶν πρὸς ἐγκέφαλον, καὶ αὐτὸ τροφὴ καθίσταται τοῦ αἰθεροειδοῦς καὶ ψυχικοῦ πνεύ-

ματος· ὅπερ εἰ μὲν σῶμα τυγχάνει, προσωκείτω τῷ σώματι, εἰ δὲ λεπτότατον καὶ καθαρότατον καὶ διαυγέστατον φιλοῦνται, ψυχῇ λογικῇ σῶμα ἀσώματόν πως ὑπάρχον καὶ δεσμὸς ἔμμεσος τυγχάνει τῶν ἄκρων ἐναντίαν οὐσίαν ἐχόντων· τοῦτο τὸ πνεῦμα καλῶς μὲν εὐσταθοῦν διάγει ψυχὴ πάντα κατὰ λόγον ἐνεργεῖν· ἀμέτρως δὲ ψυχόμενον καὶ πιλούμενον καὶ παχυνόμενον καὶ ἀνεπιτήδειον γινόμενον πρὸς ἐνέργειαν σύντονον ψυχῆς ποιεῖ τὰς πράξεις ἀργοτέρας καὶ νωθρατέρας· ἀμετρότατα δὲ ψυχθὲν καὶ παχυνθὲν καὶ σῶμα γενόμενον παρασκευάζει ταύτην ἀφίστασθαι διὰ τὸ ἀνεπιτήδειον τῆς οὐσίας, ὡς ἐπὶ ληθάργων καὶ κάρων καὶ πόσεως ψυχρῶν δηλητηρίων· πάλιν δὲ θερμανθὲν ἀμέτρως καὶ πλέον τοῦ δέοντος κινούμενον, παρασκευάζει ψυχὴν ἀμετρότερον ἐνεργεῖν κατὰ τὰς ἐκστάσεις τῆς ψυχῆς ταῖς φρενίτισιν· ἔτι δὲ πλέον τοῦτο παθὸν καὶ ἐκδαπανηθὲν ποιήσει πάλιν ψυχὴν ἀφίστασθαι τῷ μὴ εὐπορεῖν τοῦ δεσμοῦντος ἀμφότερα. θεώρει δέ μοι ἕτερον ἔργον θεοῦ· ἐπειδὴ γὰρ ταύτην ἔμελλεν ἀπὸ σώματος οὐρανίου καὶ 40 θείου κατακλείειν σώματι γηΐνῳ, σοφίζεται τὴν κάθοδον σχήματι, κατασκευῇ, χρώματι. αὐτὴν μὲν γὰρ τὴν κεφαλὴν σφαιροειδῆ διετύπωσε, καθάπερ μικρὸν οὐρανόν· τὸν δὲ ἐγκέφαλον λαμπρὸν καὶ ἀπέριττον ἔταξε δεδωκὼς αὐτῷ πόρους ἑπτὰ τῶν κινουμένων ἀστέρων τὸν ἀριθμὸν διατυπώσας. ὑπερέχειν δὲ τοῦ παντὸς σώματος· καὶ γὰρ ὁ οὐρανὸς ὑπερέχει πάντα τὰ ἐν γενέσει καὶ φθορᾷ.

68. *Διὰ τί τῶν ζώων τὰ μὲν πλείονα τίκτει, τὰ δὲ ἐλάττονα;* φημὶ ὅσα μὲν ἡ φύσις ὀλιγοχρόνια τέταχε, ταῦτα πεποίηκε πολύτοκα· διὰ τοῦ πλήθους τῶν τικτομένων τὸ ὀλιγοχρόνιον τῶν τικτόντων ἀναπληρώσασα, ὡς χοίρους, κύνας, ὄρνεις, ἰχθῦς· ὅσα δὲ πολυχρόνια, ταῦτα ὀλιγοτόκα· ἤρκει γὰρ ὁ χρόνος ἀναπληρῶσαι τὴν σπάνιν τῶν τικτομένων. ὡς ἐλέφας, ὄφις, κορώνη· τὰ δὲ μέσα πρὸς χρόνον, μέσα καὶ τῷ τοκετῷ γέγονε. καθ᾽ ὁμοιότητα δὲ τῶν ζώων καὶ τὰ ἀπὸ γῆς τικτόμενα· ὁ γὰρ δημητριακὸς καρπὸς ὀλιγοχρόνιος ὢν πολύσπορός ἐστι· τὰ δὲ φυτὰ πολυχρόνια, ὀλιγόκαρπα. πρὸς δὲ τὰ τικτόμενα καὶ τὸ πλῆθος τῶν μαστῶν διετύπωσεν ἡ φύσις· τοῖς μὲν οὖν τετράποσιν,

*ἅτε καὶ μείζοσιν οὖσι τῷ σώματι καὶ κατὰ γῆν τὴν πορείαν ποιουμένοις καὶ μὴ πάνυ κάμνουσιν, ἐντὸς τὰ τῆς κυοφορίας, τοῖς δὲ πτηνοῖς καὶ διὰ τὸ βραχὺ τοῦ σώματος καὶ δι' ἀέρος ποιεῖσθαι τὴν τροφὴν ἱπταμένοις διὰ τὸ κάμνειν, ἔξω τὰ τῆς κυοτοκίας καὶ γονοποιίας.*

69. *Διὰ τί τῶν τύπων ἔντακτος ἡ κίνησις τῶν παροξυσμῶν; ὅτι τοσοῦτον σήπει φύσις τοῦ νοσοποιοῦ χυμοῦ, ὅσον δύναται καὶ πέψαι· ἐπειδὴ τοίνυν ὥρισται τὸ πεττόμενον καὶ ἡ δύναμις ἐξ ἀνάγκης καὶ ὁ χρόνος. ἕκαστος δὲ χυμὸς ἔχει ἰδίαν ἀναθυμίασιν. ἀπὸ μὲν γὰρ τοῦ αἵματος ἀτμὸς γεννᾶται ὑγρὸς ὢν καὶ θερμός, ὥσπερ καὶ ἐπὶ λεβήτων θερμὸν ὕδωρ ἐχόντων ἐν τῷ πώματι εὑρίσκεται ἀτμός, καὶ ἐν βαλανείοις ἐν τῇ ὀροφῇ, καὶ νέφος ἐν ἀέρι παχύ, ὅπερ πηγνύμενον ὕδωρ πάλιν γίνεται. ἀπὸ δὲ τῆς ξανθῆς* b *χολῆς λιγνύς, θερμῆς οὔσης καὶ ξηρᾶς, καθάπερ καὶ ἐπὶ λύχνων καιομένων λιγνύς· ἀπὸ δὲ τῆς μελαίνης χολῆς, αἰθάλη, καθάπερ καὶ ἐπὶ ξύλων καέντων ἡ τέφρα ξηρὰ μᾶλλον οὖσα· ἀπὸ δὲ φλέγματος καπνός, καθάπερ ἐπὶ ξύλων χλωρῶν καιομένων, ὑγρότητος καὶ παχύτητος καὶ δακνώδους οὐσίας μετέχων. ἔχει δὲ καθόλου ἐπὶ παντὸς ὑγροῦ τὴν αὐτὴν οὐσίαν τοῦ γεννήσαντος, τὸ γεννώμενον.*

70. *Διὰ τί τὸ μέλι παλαιούμενον ἢ ὑπερεψόμενον πικροῦται; ὅτι ἀπόλλυσιν αὐτοῦ τὴν ὑγρότητα, ἥτις κατεκρίνατο τὸ ἄγαν θερμὸν τοῦ μέλιτος· τοῦτο δὲ πάσχει καὶ πᾶν ὑγρὸν γλυκείας μετέχον ποιότητος, ὡς οἶνος καὶ σίραιον. ὅθεν τῷ χρόνῳ καὶ παχύνονται καὶ μειοῦνται· ὥσπερ δὲ οἶνός ἐστι τετραμερής, ἔχων ἄνθος τὸ ἐπιπολάζον, κουφότατον ὄν, καὶ τρύγα ὑφιζάνουσαν παχεῖαν οὖσαν, καὶ τὴν ὑγρότητα τὴν τῷ χρόνῳ δαπανωμένην, καὶ αὐτὸ τὸ οἰνῶδες καὶ τρόφιμον, τὸν αὐτὸν τρόπον καὶ τὸ μέλι· τοῦτο δὲ ἐν αὐτῷ ὑγρὸν περίττωμα μετέχει τινὸς ῥυπτικῆς δυνάμεως· ὅθεν ὠμὸν μὲν ῥύπτειν, ἑψόμενον δὲ τρέφειν μόνον τῷ ἀναλίσκεσθαι ὑπὸ τοῦ πυρὸς τὸ περιττὸν τὸ ἐν αὐτῷ. τὰ μέντοι ἐλαιώδη παλαιούμενα, τάγγην ὑπομένει, ὡς βούτυρον, ὕσωπος, ἔλαιον, λίπος· ἑκάστη δὲ ποιότης ἐκ κράσεως καὶ ποιότητός ἐστιν ἰδίας. ἡ γὰρ γλυκύτης ἐκ θερμότητος πλείονος καὶ ξηρότητος. ἡ δὲ*

δριμύτης ἐκ θερμότητος πλείονος καὶ ξηρότητος· ἡ δὲ ἁλμυρότης ἐκ ξηρότητος πλείονος καὶ ψυχρότητος ὀλίγης. ἡ δὲ ὀξώδης ἐκ ψυχρότητος πλείονος καὶ ὑγρότητος. ἡ δὲ στρυφνότης ἐκ ξηρότητος ὀλίγης καὶ πλείονος ψυχρότητος. ἡ δὲ αὐστηρότης ἐξ ἐπιτεταμένης πλείονος ξηρότητος καὶ ψυχρότητος· ἡ δὲ πικρότης ἐκ ξηρότητος πλείονος καὶ θερμότητος· τὸ δὲ λιπῶδες ἐξ ὑγρότητος πλείονος καὶ βραχείας θερμότητος.

41 71. *Διὰ τί οἱ μεθύοντες ἄγαν στρεφόμενοι πάντα ὁρῶσιν;* ὅτι ἐκ τοῦ πολλοῦ οἴνου πλείων αὐτοῖς ἀναθυμιάσεις γέγονεν ἀτμώδους πνεύματος πρὸς ἐγκέφαλον. τοῦτο δὲ μὴ δυνάμενον διαφορηθῆναι πρὸ πέψεως, ἀπὸ τοῦ χρόνου φυγεῖν μὴ ἔχον, τὸν ἐγκέφαλον περιδινεῖται πάντα καὶ οὕτως τεταραγμένος ἐξίησι διὰ τοῦ ὀπτικοῦ νεύρου καὶ τῆς κόρης ἐπὶ τὰ ὁρατά, καὶ τοιαῦτα αὐτοῖς φαίνεσθαι ποιεῖ πάντα. τὸ γὰρ ἔνδον πάθος ἔξω φαντάζονται, ὅθεν καὶ ἰλιγγιῶσι σκοτοδινιῶντος ἀπὸ τῆς ἔξωθεν ἴλιγγος τῶν ὑδάτων καὶ τῆς περιστροφῆς δεξάμενον τοὔνομα. ὅπερ δὲ ἐξ οἴνου γίνεται, τοῦτο καὶ ἀπὸ χυμῶν, ἀτμὸν πολὺν γεννώντων καὶ πληρούντων τὸ ἐγκέφαλον καὶ ποιούντων τὸ σκοτοματικὸν λεγόμενον πάθος.

72. *Διὰ τί εἰ τὰ νεῦρα παρ' ἐγκεφάλου καὶ νωτίου μυελοῦ πέμπεται τοῖς μορίοις, οὐχ ἡ αὐτὴ ἐνέργεια ἀλλὰ διάφορος;* ὅτι οὐ μόνον παρὰ συνουσίαν τοῦ μορίου ἐξαλλάττεται ἡ ἐνέργεια, ἀλλὰ καὶ παρὰ τὴν τοιάνδε κατασκευὴν αὐτοῦ· ἄλλη γὰρ κατασκευὴ καὶ διάπλασις τοῦ νεύρου τοῦ ὀπτικοῦ καὶ ἄλλη τοῦ ἀκουστικοῦ, ἑτέρα δὲ τοῦ γευστικοῦ καὶ ἄλλη τοῦ στόματος τῆς κοιλίας καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. τὸ μὲν γὰρ ὀπτικὸν τέτρηται νεῦρον· τὸ δὲ ἀκουστικὸν ἐξήπλωτο μᾶλλον· πλέον δὲ ἔτι τὸ γευστικόν. τὸ δὲ τοῦ στόματος τῆς κοιλίας περιειλεῖται μᾶλλον, τὸ δὲ τῆς κοιλίας ἐξήπλωται σφαιροειδῶς. οὕτω γὰρ καὶ ἐπὶ κιθάρας. ἡ μὲν παχυτέρα νευρά, μᾶλλον φθόγγον ἀποτελεῖ, ἡ δὲ ἰσχυροτέρα ἕτερον. καὶ ἡ τεταμένη μᾶλλον ἕτερον, καὶ ἡ ἀνειμένη ποσῶς, ἄλλον· καὶ ἐπὶ τῶν λοιπῶν δὲ ὀργάνων τὸ αὐτὸ θεωρήσεις, ἥπατος καὶ σπληνός. ἡ στοιβοειδὴς σάρξ, ἣ καὶ παρέγχυμα λεγομένη, ἐπὶ

δὲ νεφρῶν καὶ καρδίας σαρκός τις ἰδιότης. ἐπὶ δὲ στομάχου αἱ μὲν ὄρθιαι ἶνες ἕλκουσιν, αἱ δὲ πλάγιαι ὠθοῦσιν· ἐπὶ δὲ ἄλλων μορίων αἱ λοξαὶ κατέχουσιν ὡς ἐπὶ μήτρας. καὶ αἱ μὲν φλέβες, καὶ ἀρτηρίαι καὶ οἱ ὑμένες ἐπὶ ἑκάστου μορίου χρείας λόγον ἐπέχουσι κοινὰ ὄντα καὶ ἐπὶ πάντων b εὑρισκόμενα· τὸ δὲ ἴδιον καὶ ἀκοινώνητόν ἐστιν, ὃ καὶ ποιεῖ κυρίως τὴν ἐνέργειαν.

73. Διὰ τί αἱ κυοφοροῦσαι περὶ δεύτερον καὶ τρίτον μῆνα κιττῶσιν; ὅτι ἡ φύσις διὰ τὴν τοῦ ἐμβρύου διάπλασιν τὸ καταμήνιον συνάγει πᾶν ἐν τῇ μήτρᾳ. τοῦτο δὲ ἂν εὑρεθῇ πόσως κακόχυμον κατὰ ἀνάδοσιν τῶν ἀγγείων, πληροῖ τὸ στόμα τῆς γαστρός, τοῦτο δὲ κινούμενον ὑπὸ μοχθηρᾶς ποιότητος, ἐπεγείρεται πρὸς ὄρεξιν ἀλλοκότων τροφῶν· ἐπιθυμοῦσι δὲ πρὸς τὸν ὑποκείμενον χυμόν. εἰ μὲν γὰρ εἴη μελαγχολικός, εἰ οὕτως ἔτυχεν, ὀρέγονται ἀσβόλης ἢ ὀστράκων· εἰ δέ φλέγμα ὀξύ, τῶν ὀξωδῶν· εἰ δὲ λεκινθώδης χολὴ τῶν κισσωδῶν· εἰ δὲ μῖξίς τις εἴη ποικίλη, ἀλλοκότων ὀρέξεων. ὅτι δὲ τοῦτο ἀληθὲς ὑπάρχει, δῆλον ἐκ τοῦ μὴ πάσαις τοῦτο γίνεσθαι, αἷς τὸ συναγόμενον αἷμα χρηστόν ἐστι καὶ ἀπέριττον· μετὰ δὲ τρίμηνον παύεται ἡ κίττα, τῷ λοιπὸν πλασθὲν καταναλίσκειν τὸ πλεονάζον τοῦ αἵματος καὶ μηκέτι ἀναπέμπεσθαι πρὸς τὸν στόμαχον. τοῦτο πάσχουσι καὶ τινες βουλιμιῶντες καὶ κολικευόμενοι τῷ πάλιν πληροῦσθαι τὸ στόμα τῆς γαστρὸς ἀλλοκότων χυμῶν· ὅθεν τὸ καθαρτήριον αὐτοὺς μεγάλους ὠφελεῖ. εἴρηται δὲ κίττα ἀπὸ τοῦ ὀρνέου τοῦ ἀεὶ βώλους κατεσθίοντος· ἢ ὅτι ποικίλον ἐστὶ τῷ χρώματι καὶ ἀλλόκοτον ὥσπερ ἡ τούτων ἐπιθυμία.

74. Διὰ τί τὸ φθινόπωρον ἀνώμαλον κατὰ τὴν κρᾶσιν ἔχον κατὰ τὴν αὐτὴν ἡμέραν καὶ θάλπος καὶ κρύος; τινές φασι φύσιν ἔχειν τοιαύτην αὐτὸ ἄρρητον μοχθηράν· τινὲς δὲ τῶν φυσικῶν, ὅτι ὁ ἥλιος ταύτην τὴν ζώνην κινούμενος τοῦ ζωδιακοῦ καὶ τὴν γῆν οὕτω τρέπει· ἄλλοι δὲ ὅτι κατὰ τὸν καιρὸν τοῦτον ἄνεμοι τοιοῦτοι πνέουσιν ἀνώμαλοι καὶ διάφοροι. οἱ δὲ ὅτι ἡ γῆ ὑπερκαεῖσα ὑπὸ τῆς ἀμέτρου θερμότητος τοῦ θέρους εἰς ψυχρότητα μετέβαλεν καὶ τοιαύτην αὔραν ἀναπέμπει τοῦ ἀέρος ἔτι θερμο- 42

τέρου ὄντος. οἱ δὲ λέγοντες ὅτι μέσον ὂν θέρους καὶ χειμῶνος καὶ τῆς τῶν ἐναντίων μετέχει κράσεως, ψεύδονται· οὐδὲν γὰρ ἧττον καὶ τὸ ἔαρ· γίνωσκε δὲ ὅτι τὸ νυχθήμερον μιμεῖται τῶν τεσσάρων ὡρῶν τὴν κρᾶσιν. τὸ μὲν γὰρ ὑπὸ τὴν ἕω μέρος αὐτῆς ἔοικε τῷ ἔαρι, ἡ δὲ μεσημβρία θέρει, τὸ δὲ μετὰ τοῦτο ἄχρις ἑσπέρας φθινοπώρῳ, ἡ δὲ νὺξ χειμῶνι, ψυχρὰ καὶ ὑγρὰ οὖσα τῇ ἀπουσίᾳ τοῦ ἡλίου.

75. *Διὰ τί ὁ κόπος ποιεῖ ὕπνον, εἴγε ὁ κόπος ξηραίνει τὸ σῶμα, ἡ δὲ ξηρότης ἀγρυπνίαν ποιεῖ;* φημὶ ὅτι οὐ κυρίως ὁ κόπος ὕπνον ποιεῖ, ἀλλὰ διὰ μέσου τινός. λέγω δὴ τῆς ψυχρότητος καὶ τῆς ἀπωλείας τῆς ὑγρότητος· ὁ γὰρ κόπος κυρίως ξηρότητα ποιεῖ, ἡ δὲ τῆς ὑγρότητος ἀπώλεια καθαιρεῖ τὴν θερμότητα ἀπωλείᾳ τροφῆς· καθαίρεσις δὲ θερμότητος, αὔξησις ψυχρότητος· ἡ οὖν φύσις τῇ καταδαπάνῃ τῆς ὑγρᾶς τροφῆς καὶ τοῦ ζωτικοῦ πνεύματος ἀναπαύεται πρὸς τὸ πάλιν συνάξαι τὴν ἀπολλυμένην ὑγρότητα.

76. *Διὰ τί κίων ἢ ἕτερόν τι βάρος κατὰ μὲν ὕδατος ῥιπτόμενον βυθίζεται, ἐν δὲ σανίσι βαλλόμενον, οὐκέτι ὡς ἐν πλοίῳ;* φημὶ ὅτι μεγίστην δύναμιν ἔχων ὁ ἀὴρ κατὰ κουφότητος διεισδύνων εἰς τοὺς πόρους τῶν σανίδων ἐπινήχεσθαι ποιεῖ ταύτας, εἰ καὶ βαρῆ ἔχουσιν ἐπικείμενα· ὁ μέντοι κίων ἢ ὁ σίδηρος πυκνοπόρος ὢν καὶ διὰ τοῦτο βαρὺς οὐκ ἐπινήχεται τῷ μὴ ἐπιδέχεσθαι πνεῦμα· οὕτω γὰρ καὶ οἱ ἐν ὕδασιν ἀπολλύμενοι παρὰ αὐτὰ μὲν βυθίζονται. μετὰ δὲ ἡμέρας τινὰς ἀναπλέουσιν· ἐν γὰρ τῷ σήπεσθαι τὸ σῶμα πνεῦμα γεννᾶται. τοῦτο δὲ πληροῦν τοὺς πόρους καὶ τὰ τοῦ πνεύμονος βρόγχια, κοῦφον ἀποτελεῖ τὸ σῶμα πρὸς τὸ ἀναπλεῖν· ὅθεν καὶ ἱστοροῦσί τινα κατὰ θάλασσαν κακοῦργον αὐτὸ τοῦτο γινώσκοντα μετὰ τὸν φόνον ἀνατέμνοντα, λέγεται αὐτῶν τὸν πνεύμονα, καὶ οὕτω ῥίπτειν εἰς τὸ ὕδωρ πρὸς τὸ μὴ ἀναπλεῖν καὶ λανθάνειν διὰ τοῦτο. καὶ τὰ μὲν ἀπαθῆ τῶν ὠῶν εἰς ὕδωρ βαλλόμενα βυθίζεται, τὰ δὲ ἀφανασθέντα καὶ ἐξουρίσαντα ἐπινήχεται τῷ τὰ ἐν αὐτοῖς ὑγρὰ ἐξυδαρωθῆναι καὶ ἐμπνευματωθῆναι.

# II.

## ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ

### ἰατροῦ

### περὶ πυρετῶν.

Edit. Cantabr. p. 362 Edit. Passow.

---

1. Ἠίτησας ἡμᾶς, Ἀσκληπιαδῶν ἄριστε, Ἀπολλώνιε, p. 1 περὶ πυρετῶν σοι τοσαῦτα διὰ γραφῆς παραδοῦναι, ὅσα σχεδὸν παρ' ἡμῖν φοιτῶντι διὰ γλώττης παρεδηλώσαμεν, ἵν' ὥσπερ ὑπόμνημα τῆς ἡμῶν εἴη σοι διδασκαλίας, βουλομένῳ περὶ πυρετῶν θεωρεῖν, καὶ μάλιστα νυνί, ὅτε καὶ ἀποδημεῖν ἡμεῖς ἐβουλευσάμεθα, καὶ μακρὰν ἀφ' ὑμῶν γενέσθαι, σὺ δὲ οὐκέτ' ἴσως ἕξεις τὸν οὕτω σοι προθύμως τὰ τῆς ἰατρικῆς διασαφήσοντα ὄργια. 2. Ἐγὼ μὲν οὖν ἕπεσθαί σοι ῥᾴδιος, ἐφ' ἃ κελεύεις αὐτός. καὶ μὴ ὅτι περὶ πυρετῶν, ἀλλὰ καὶ περὶ παντὸς ἄλλου θεωρήματος ἰατρικοῦ ἕτοιμος ἂν ἦν, σοῦ χάριν καὶ γλώττῃ καὶ γράμμασι διδασκαλίαν ποιήσασθαι, εἴγε μὴ νῦν, ὅτε πρὸς ἄλλ' ἄττα, τῆς ἐξόδου βιαζομένης, ἡμεῖς ἐπειγόμεθα, μὴ συγχωροῦντα τὴν περὶ τὰ τοιαῦτα σπουδήν, ἀλλὰ πρὸ καιροῦ, ὅτε δηλονότι οἷόν τε ἦν καὶ χρόνον ἡμῖν ἐγγενέσθαι μετὰ τὴν αἴτησιν πρὸς τὴν τοῦ θεωρήματος ξυγγραφήν, τὸ περὶ τούτων 2 ὤφθης αἰτούμενος. 3. Πολυσχιδὴς γάρ, ὡς οἶδας, καὶ δυσθεώρητος ἡ περὶ πυρετῶν θεωρία καὶ πολλοῦ δεομένη χρόνου πρὸς κατάληψίν τε καὶ ξυγγραφήν· δεῖν δὲ καὶ αὐτὸς ἂν ξυμφαίης σαυτοῦ τε καὶ ἡμῶν αὐτῶν ἄξιον εἶναι τὸ σπουδαζόμενον, εἰ μὴ μάτην αὐτὸς μὲν γράφειν, σὺ δὲ ἀναγινώσκειν αἱρούμεθα. 4. Καὶ εἴασα ἂν τελέως τοὐγχείρημα διὰ ταῦτα, εἰ μή τις λόγος παλαιῶν ἀνδρῶν καὶ καλῶς ἔχων ἐπῆλθε πείθων με, ὡς ἀνάγκη φιλίαις εἴκειν, κἂν δέῃ συγκατιέναι τὴν τέχνην, μηδ' αὐτοῦ δὴ τούτου γε

φείδεσθαι. 5. Ἀμέλει καὶ ἔδοξέ μοι, ὥσπερ ἐν εἰσαγωγῆς τρόπῳ, τὸ παρὸν συντάξασθαι σύγγραμμα, καὶ ἄλλο ἐπαγγελλόμενον περὶ τῆς ὅλης τῶν πυρετῶν θεωρίας, ἐν ἁρ-
363 μόζοντι δῆθεν ἐσόμενον χρόνῳ, νυνὶ τουτί σοι ὡς ἐν ὑποθήκης ἐκδοῦναι λόγῳ, ἀκριβοῦς φιλίας ὑπόμνημα. 6. Καὶ δὴ λέγωμέν σοι πειθόμενοι, ἃ ἂν ὁ καιρὸς διδῷ, μὴ τῷ τῆς τέχνης πλάτει, καὶ τῇ ἡμετέρᾳ περὶ τὸ λέγειν, εἴ τίς ἐστιν, εὐπορίᾳ, τοῦ χρόνου δὲ μᾶλλον χρησάμενοι τῇ βραχύτητι. ἀμφοτέροις δὲ παρ' ἀμφοτέρων ἔσται συγγνώμη,
3 σοὶ μὲν πάλαι αἰτήσαντι, ὅτε μὲν εἰσαγωγήν, ἀλλὰ βίβλον μακρὰν πυρετῶν εἰληφέναι ῥᾴδιον ἦν, ἐμοὶ δὲ φίλοις ἐφ' ὁποιωδηποτοῦν οὐκ ἀντιβαίνειν ἐθέλοντι.

II. *Πυρετὸν τοίνυν, ἵν' ἐντεῦθεν τοῦ λόγου ἄρξωμαι, ἄλλοι μὲν ἄλλως ὡρίσαντο, Ἐμπεδοκλῆς δὲ καὶ Ζήνων καὶ τῶν Ἱπποκρατείων οἱ πλείους θερμασίαν παρὰ φύσιν, ἀπὸ καρδίας μὲν ἀρχομένην, προϊοῦσαν δὲ ἐκ ταύτης δι' ἀρτηριῶν καὶ φλεβῶν ἐφ' ἅπαν τὸ σῶμα, καὶ τὰς φυσικὰς αἰσθητῶς βλάπτουσαν ἐνεργείας, ἔφασαν εἶναι· καὶ εἰκότως. 2. Δεῖ γὰρ παρὰ φύσιν εἶναι τὴν ταῖς φυσικαῖς ἐνεργείαις ἀντιπράττουσαν θέρμην, καὶ ἀπὸ καρδίας ἄρχεσθαι, ὅθεν δήπου τὸ φυσικὸν ἀναβλύζει θερμόν, καὶ δι' αὐτῶν ἐκείνων ἐφ' ἅπαν προϊέναι τὸ σῶμα, δι' ὧν ἐκεῖνο πρόεισι, τὰς φυσικὰς ἐνεργείας ἀποτελοῦν· εἰ γὰρ μὴ δι' ἐκείνων, αἷς τὸ φυσικὸν προϊὸν ἐνεργεῖ, πόθεν ἂν ἔξῃ τὰς διόδους ὥστ' ἐφ' ἅπαν ἐξαπλωθῆναι τὸ σῶμα; καλῶς οὖν ἀπεφήναντο οἱ οὕτω τὸν πυρετὸν ὁρισάμενοι. Ἵνα δ' ὁ λόγος ἡμῖν καὶ σαφέστερος ᾖ, δίκαιον ἂν εἴη καὶ τὸν ὅρον αὐτόν, ὡς ἔχοι, κατὰ μέρος ἐπιστῆσαι, καὶ εἴ τι ἐπιλύσασθαί οἱ ἀπορίας ἐχόμενον ἔνεστι. 3. Παρὰ φύσιν μὲν οὖν θερμασία
4 γένος ἐστὶ τοῦ πυρετοῦ, δι' ἣν ὁ πυρετὸς νόσος, οὐκ ἐν διαπλάσει, ἀλλ' ἐν κράσει δυσκρασία θερμή τις οὖσα, μεθ' ἧς ξυνέρχεται καὶ ξηρά. ἡ γὰρ οὐσία τῶν πυρετῶν ἐν τῷ γένει τῆς παρὰ φύσιν θερμότητος, τὰ δ' ἄλλα πάντα διαφοραί, αἷς συνίσταταί τε καὶ τῶν ἄλλων θερμασιῶν διενή-
364 νοχεν· οὐ γὰρ εἴ τι παρὰ φύσιν θερμασία, τοῦτ' ἐστι πυρετός· πυρετός γε μὴν ἅπας παρὰ φύσιν γε θερμασία. 4. Αὐτίκα ἡ ἐν πνεύμασιν ἐξ ἡλιοκαΐας ἢ πυρὸς ἢ ἄλλου

*τουτῶν προκαταρκτικῶν αἰτίων γινομένη παρὰ φύσιν θερμότης, οὔπω δ' εἰς τὴν καρδίαν ἰοῦσα, ἤτοι τὸ σῶμα αὐτῆς, ἢ τοὺς περιεχομένους ἐν ταῖς κοιλίαις αὐτοὺς χυμούς, ἢ τὴν ἀερώδη οὐσίαν κατειληφυῖά τε καὶ ἀνάψασα, πυρετὸς οὔτ' ἐστιν, οὔτε λέγεται· πολλοῦ γε καὶ δεῖ.* 5. *Δεῖ γὰρ ἐκ καρδίας ἄρχεσθαι, καὶ διὰ πνευμάτων καὶ αἵματος ἀπὸ ταύτης ἐφ' ἅπαν ἰέναι τὸ σῶμα τὸν πυρετόν· ὅπερ οὐκ ἐνῆν τῇ προρρηθείσῃ θερμότητι· ταῦτά τοι πρόσκειται ἐν τῷ ὅρῳ τό, ἀπὸ καρδίας μὲν ἀρχομένη.* 6. *Κἂν γὰρ ὁ πυρετὸς τοῦ ὅλου σώματος ἡ νόσος, ἀλλ' οὖν προηγουμένως μέν ἐστι τῆς καρδίας, ἑπομένως δέ γε τοῦ ὅλου σώματος; πῶς γὰρ ἂν ἡ παρὰ φύσιν θερμότης εἰς ὅλον ἰέναι τὸ σῶμα δυνήσαιτο, μὴ πρότερον τὴν καρδίαν ἀνάψασα; ἢ τί τῶν ἄλλων μορίων θερμαινόμενον παρὰ φύ-* 5 *σιν οἷόν τέ ἐστι τὸ ὅλον σῶμα θερμᾶναι, καὶ τὴν ἣν ἔχει διάθεσιν τῷ παντὶ μεταδοῦναι, καθάπερ ἡ καρδία μόνη τῶν ἄλλων δύναται, μὴ διὰ μέσης τῆς καρδίας τοῦτο ποιῆσαν, πρῶτον μὲν ἐκείνην, ἐπειθ' ὅλον τὸ σῶμα διὰ ταύτης ἀνάψαν; οὐ πάντως αἴτιον τὸ μᾶλλον τῶν ἄλλων ἐκείνην χορηγεῖν τε καὶ διοικεῖν ὅλον τὸ σῶμα ταῖς ἰδίαις ἐπιρροαῖς· ὥστε δῆλον ἐντεῦθεν, ὡς ἡ ἐν τῇ καρδίᾳ παρὰ φύσιν ἀναφθεῖσα πρώτως θερμότης ἀληθὴς ἀρχὴ πυρετοῦ.* 7. *Ἀρχὴν δὲ λέγω τὴν οἷα μεγέθους, οὐδὲ ταύτης τὴν ἀμερῆ, ἀλλὰ τὴν δυναμένην τῷ ὅλῳ μεγέθει συνδιαιρεῖσθαι· ἀληθὴς γὰρ τῷ ὄντι πυρετὸς ἡ ἐν τῇ καρδίᾳ παρὰ φύσιν ἀναφθεῖσα θερμότης, κἂν μήπω τῷ ὅλῳ μεταδοθῇ, τῷ ποσῷ μόνον τῆς ἐν τῷ παντὶ διαφέρουσα, ἐπεὶ καὶ τὸ ὅλον ἡ καρδία μόνη δυνατεῖ, οὐκ ἄλλο τῶν μορίων οὐθέν.*

III. *Ἀλλ' ἀπορῆσαι ἄξιον, διὰ τί καὶ τὸ παρὰ φύσιν γένος ἐστὶ τοῦ πυρετοῦ; δοκεῖ γάρ πως διαφορὰν αὐτὸ εἶναι, ᾗ διαφέρει θερμοῦ τοῦ κατὰ φύσιν ὁ πυρετός, μόνη δ' ἡ θερμασία γένος· ὁ μὲν οὖν περὶ τοῦ τῶν ὁμωνύμων* 365 *λόγος, ἐκεῖνα χρὴ διορίσασθαι πρῶτον, περὶ οὗ αὐτῷ πρό-* 6 *κειται λέγειν, ἵνα σαφὴς γένηται, ὡς περὶ κυνὸς τῷ ἀστρῴῳ καὶ τῷ χερσαίῳ διοριζόμεθα λέγοντες.* 2. *Ἐπειδὴ οὖν καὶ ἡ θερμασία τῶν πολλαχῶς ἐστι λεγομένων, ἡ μὲν γάρ ἐστι συστατικὴ τοῦ ζῴου, ἥτις καὶ κατὰ φύσιν λέγεται, ἡ δὲ*

*φθαρτική, ἥπερ καὶ παρὰ φύσιν λέγεται, καὶ ἀμφοτέρων τὸ εἶναι ἐν τῷ παρὰ φύσιν ἢ τῷ κατὰ φύσιν ἐστίν· ἀνάγκη τὸν περὶ ταύτης λόγον διασημᾶναι πρῶτον περὶ ποίας οἱ ὁ σκοπός.* 3. *Σημαίνεται δὲ τὰ ὁμώνυμα τῷ λόγῳ τῆς οὐσίας αὐτῶν, ὁ δὲ λόγος τῆς οὐσίας γενικὸς ἑκάστου, γένος αὐτοῦ ἐστιν· εἰκότως ἄρα καὶ τὸ παρὰ φύσιν γένος ἐστὶ τοῦ πυρετοῦ, ὡς λόγος ὑπάρχων γενικὸς τῆς οὐσίας αὐτοῦ, ᾧ σημαίνεται, καὶ τὸ εἶναι ἔχει, καὶ οὐχ ἡ θερμασία μόνη.*

IV. *Καλῶς δὲ τῷ ὅρῳ πρόσκειται καὶ τί, προϊοῦσα δ' ἐκ ταύτης δι' ἀρτηριῶν καὶ φλεβῶν ἐφ' ἅπαν τὸ σῶμα. Δύναται μὲν γὰρ τὰ παρὰ φύσιν θερμανθέντα μόρια τῇ ἀφῇ τὰ πλησιέστερα τῶν μορίων θερμᾶναι, καὶ ταῦτα ἄλλα, κἀκεῖνα ἕτερα.* 2. *Ἐπεὶ δὲ πᾶν τὸ ἐκ τῆς καρδίας θερμὸν εἰς ὅλον τὸ σῶμα παραπεμπόμενον διὰ μέσων ἴεται τοῦ*
7 *πνεύματος καὶ τοῦ αἵματος, ἃ παντὶ πρόσεστι μορίῳ τοῦ σώματος, ἐκ τῆς αὐτῆς ἰόντα καρδίας, εἰκότως τὴν παρὰ φύσιν θέρμην, ἐκ τῆς καρδίας ἀρχομένην, δι' ἀρτηριῶν καὶ φλεβῶν εἰς ἅπαν ἰέναι τὸ σῶμά φαμεν. Τοῖς γὰρ αὐτοῖς, οἷς τὸ φυσικὸν θερμὸν παντὶ μορίῳ τοῦ σώματος μεταδίδωσιν ἡ καρδία, καὶ τὸ παρὰ φύσιν θερμὸν παραπέμψει, καὶ μάλισθ' ὅτε καὶ ὁ πυρετὸς δοκεῖ τὸ φυσικὸν θερμὸν εἶναι εἰς τὸ πυρῶδες μεταβληθέν.*

V. *Τό γε μήν, καὶ τὰς φυσικὰς αἰσθητῶς βλάπτουσα ἐνεργείας, ὅπερ ἐστὶ τὸ τελευταῖον τοῦ ὅρου, χωρίζει τὸν πυρετὸν ἀπὸ θυμοῦ τε καὶ ὁμοίων· ὁ γὰρ θυμὸς οὐ*
366 *βλάπτει τὰς ἐνεργείας αἰσθητῇ τινι βλάβῃ, ἐφ' ᾗ πυρετὸς γένοιτο.* 2. *Βουλόμεθα δὴ τὸν πυρετὸν διὰ τοῦτο οὐ πᾶσαν εἶναι τὴν παρὰ φύσιν θερμασίαν, κἂν δι' ἀρτηριῶν καὶ φλεβῶν ἐκ καρδίας τῷ ὅλῳ μεταδοθῇ σώματι, ἀλλ' ἐκείνην μόνην, ἥ ἐστι νόσος· νόσος γὰρ ἡ παρὰ φύσιν διάθεσις τὰς ἐνεργείας βλάπτουσα.*

VI. *Ἐνεργείας δέ φαμεν φυσικὰς τὰς τῆς φυσικῆς ψυχῆς δυνάμεως ἐνεργείας, αἳ μάλιστα τῇ παρὰ φύσιν βλάπτονται θερμασίᾳ διὰ τὸ γίνεσθαί τε καὶ τελεῖσθαι τῶν ἄλλων μᾶλλον ὥσπερ δι' ὀργάνου τοῦ φυσικοῦ θερμοῦ· τὸ γὰρ τῶν φυσικῶν δυνάμεων ὄργανον ἡ τῶν μο-*

ρίων ἐστὶ κρᾶσις, ὥσπερ αὖ πάλιν τῶν ζωτικῶν ἡ τῶν αὐ- 8
τῶν τούτων ἰδία διάπλασις. 2. Τὸ δὲ φυσικὸν θερμὸν μὴ
τῶν ἁπλῶν, ἀλλὰ τῶν κεκραμένων εἶναι τίς ὅλως ἀμφ-
αγνοεῖ; εἰ καὶ φυσικὰς ἐνεργείας ἐστὶν εἰπεῖν ἁπάσας τὰς
τῆς ψυχῆς ἐνεργείας τῷ τε φύσει ταύτας τελεῖσθαί τε καὶ
γίγνεσθαι, καὶ τῷ μήτε τὸ αἰσθάνεσθαι, μήτε τὸ κινεῖσθαι,
μήτε μὲν τὸ τρέφεσθαι καὶ αὔξεσθαι καὶ γεννᾶν ἄνευ τοῦ
φυσικοῦ καὶ ἐμφύτου θερμοῦ μὴ δύνασθαι γίγνεσθαι· ἡ
γὰρ τῶν ὁμοιομερῶν κρᾶσις τῆς διαπλάσεως βάσις ἐστὶ
καὶ θεμέλιος.

VII. Ταῦτά τοι τῇ παρὰ φύσιν θερμότητι πάσας
ὁρῶμεν βλάπτεσθαι τὰς τῆς ψυχῆς ἐνεργείας, καὶ μᾶλλον
ἐκείνας, ἃς φυσικὰς ἰατρῶν παῖδες καλοῦσιν· ἐξ οὗ δῆλον,
ἁπάντων τῶν ἄλλων νοσημάτων τὸν πυρετὸν δεινότερον
καὶ ἐπαχθέστερον εἶναι, ἀρχόμενον μὲν ἀπὸ τῆς ἀρχοει-
δεστάτης ἀρχῆς, τῆς καρδίας, εἰς ὅλον δὲ προϊόντα τὸ σῶμα
καὶ πάσας τὰς ἐν ἐκείνῳ βλάπτοντα ἐνεργείας. 2. Οὕτω
μὲν οὖν καὶ διὰ ταῦτα πυρετός ἐστι παρὰ φύσιν θερμα-
σία, ἀπὸ καρδίας μὲν ἀρχομένη, προϊοῦσα δ' ἐκ ταύτης δι'
ἀρτηριῶν καὶ φλεβῶν ἐφ' ὅλον τὸ σῶμα καὶ τὰς φυσικὰς
αἰσθητῶς βλάπτουσα ἐνεργείας, καθάπερ εἴρηται. 3. Ἐπεὶ
δὲ παρὰ φύσιν αὐτὸν λέγομεν θερμασίαν, δίκαιον ἂν εἴη 9
φάναι, τίς τε φυσικὴ πρῶτον, τίς τε παρὰ φύσιν θερμα-
σία· τοῦ γὰρ γένους ἐκδήλου γεγονότος, τάχα καὶ τὸ οὗ 367
ἐστι γένος οὐκ ἀγνοηθήσεται.

VIII. Φυσικὴ τοίνυν ἐστὶ θερμότης, τὴν αὐτὴν δέ
φημι καὶ ἔμφυτον δήπου θερμόν, ᾗ ἡ ἀρχὴ τοῦ ζώου ἡ
φύσις· συμφύεται γὰρ τῷ ζώῳ, καὶ διὰ τοῦτο λέγεται φυ-
σική, ὄργανον οὖσα καθόλου τῶν τῆς ψυχῆς δυνάμεων·
οὐδὲ γὰρ οἷόν τε τὴν ψυχὴν ἄνευ τοῦ τοιούτου θερμοῦ
παράξαι τινὰ τὴν τυχοῦσαν ἐνέργειαν. 2. Ἅπαν γε μὴν
ὄργανον ἀνάλογόν τε ἐκείνῳ δεῖ εἶναι, οὗ ἐστιν ὄργανον,
καὶ τὸν προσήκοντα λόγον πρὸς τὸ ἔργον καὶ τὸ ἀποτέ-
λεσμα σώζειν. ἄλλως γὰρ τό,τε ὄργανον τό,τε οὗ ἐστιν
ὄργανον, καὶ τὸ δι' ὃ τὸ ὄργανον, μάτην ἂν εἴη, καὶ οὕ-
τως ἐν τοῖς οὖσι καθ' αὐτὸ δήπου τι μάτην συνεισαχθείη.
3. Δεῖ ἄρα καὶ τὴν ἔμφυτον θερμασίαν, ὄργανον οὖσαν

ψυχῆς, ὥσπερ εἴρηται, μὴ ἀπολελυμένην τε καὶ ἁπλῆν ἔχειν τὴν κρᾶσιν, ἀλλ' ἀναφερομένην πρός τε τὰς τῆς ψυχῆς δυνάμεις, πρός τε τὰ ἔργα τούτων, κἀκείνοις ἀνάλογον εἶναι, καὶ διὰ ταῦτα ξυγκεκραμένην ψυχρῷ τε καὶ ὑγρῷ
10 καὶ ξηρῷ, καὶ εὔκρατόν τε καὶ σύμμετρον. καὶ καλοῖτ' ἂν διὰ ταῦτα δικαίως φυσική τε καὶ ἔμφυτος κρᾶσις, μᾶλλον δὲ ἀπὸ ταύτης ἡ φυσικὴ καὶ ἔμφυτος κρᾶσις θερμὴ λέγοιτ' ἄν, τοῦτο μέν, διὰ τὸ ἐν τῇ τῶν λόγων κράσει τὸ θερμὸν τὰς ἄλλας νικᾶν καὶ ὑπερβάλλειν ποιότητας· τὰ γὰρ ζῶα θερμὰ δήπου διὰ τὴν ἐν αὐτοῖς ὑπερβάλλουσαν θέρμην καὶ τὰς λοιπὰς νικῶσαν ποιότητας· τοῦτο δέ, διὰ τὸ τὸ θερμὸν δραστικώτατον εἶναι τῶν ἄλλων ἁπασῶν ποιοτήτων· οὐδεμία γάρ τε γειτνιῶσα αὐτῇ μεταβάλλει ποιότης, ὡς τὸ θερμόν. 4. Τοιαύτη μὲν οὖν ἡ φυσικὴ καὶ ἔμφυτος θερμασία· ἡ δὲ παρὰ φύσιν ἐστὶν ἡ ἔκ τινος ἐξωτερικῆς αἰτίας, ἥτις ποτ' ἂν εἴη, μήτε οἰκείας τῇ φύσει, μήτε μὴν ἀπὸ ταύτης τὴν ἀρχὴν εἰληφυίας, ἐπερχομένη τῷ σώματι, οὐκ ἀνάλογον ὄργανον οὖσα τῶν φυσικῶν δυνάμεων, οὐδὲ τὸν ἁρμόζαντα πρὸς τὰ ἔργα σώζουσα λόγον,
368 τοῦτο μὲν τῷ ἐπείσακτον καὶ ἀλλοτρίαν εἶναι, τοῦτο δ' αὖ πάλιν τῇ ἑαυτῆς δυσκρασίᾳ μὴ σώζουσα τὴν πρὸς τὰς δυνάμεις καὶ τὰ ἔργα ἀναλογίαν· λέγοιτο δ' ἂν ἡ τοιαύτη καὶ παρὰ φύσιν κρᾶσις, πρὸς τὸ θερμότερον ἀποκλίνουσα κατὰ τὸν αὐτὸν λόγον τῆς ἐμφύτου θερμότητος.

11 IX. Ἰστέον δέ, ὅτι, ὥσπερ ἔμφυτον, οὕτω καὶ ἐπείσακτον θερμὸν λέγομεν, οὐ μὴν δέ, ὥσπερ ἐπείσακτον, οὕτω καὶ ἔμφυτον ψυχρὸν λέγομεν· οὐ πάντως αἴτιον τὸ μὴ ἁπλῶς τε καὶ καθ' αὐτὸ τὸ ψυχρὸν τὸ τῆς φύσεως ἔργον εἰσδύεσθαι, καθάπερ καὶ τὸ θερμόν· ἀλλότριον γὰρ καὶ φθαρτικὸν τῆς τῶν ἐμψύχων, καὶ μάλιστα τῆς τῶν ζώων φύσεως τὸ ψυχρόν, καὶ ἀκινησίας μᾶλλον ἢ κινήσεως αἴτιον. Εἰ γάρ που καὶ γίνεται τῇ φύσει γε συμπαρομαρτοῦν, οὐ καθ' αὐτό γε μήν, ἀλλὰ κατὰ συμβεβηκός.

X. Φανερὸν οὖν ἐκ τῶν εἰρημένων, ὅτι ἡ φυσικὴ καὶ ἔμφυτος θερμότης παρὰ φύσιν θερμότητος διενήνοχε πρῶτον μὲν τοῖς αἰτίοις, ἔπειτα τῷ εὐκράτῳ τε καὶ δυσκράτῳ, καὶ ὅλως ὥσπερ τὸ ἄκρον τοῦ μέσου· ὡς γὰρ ἀρετὴ πρὸς

κακίαν, οὕτως εὐκρασία πρὸς δυσκρασίαν· κἀντεῦθεν ἑπομένως τῷ τε εἴδει καὶ τῇ μορφῇ, καθάπερ τὸ ὑγιεινὸν τοῦ νοσώδους διενήνοχε σώματος περί γε μὴν τὸ αὐτὸ ὑποκείμενον ἄμφω, ὡς πρὸς τρόπου τοῖς ἐναντίοις, εἰώθασι γίγνεσθαι, εἴτε πνεῦμα, εἴτε χυμὸς, εἴτε μόριον τοῦ τ' ἂν εἴη, ἐν ᾧ πρὸς ἀλλήλας καὶ ποιοῦσι καὶ πάσχουσι. 2. Τὸ γὰρ ἔμφυτον θερμὸν ἢ εὔκρατον τῷ παρὰ φύσιν θερμῷ, καθάπερ ἄκρῳ μέσον, ἀντίκειται, καὶ ἐναντία ἡ ἔμφυτος θέρμη τῇ παρὰ φύσιν θερμότητι, καθάπερ ἀρετῇ κακία, 12
ὡς μικρῷ πρόσθεν ἐλέγομεν. Τοιαύτη μὲν οὖν ἥ τε κατὰ φύσιν ἥ τε παρὰ φύσιν θερμότης, καὶ τοιαύταις ἀλλήλων διαφοραῖς, ὡς ἐκ πολλῶν ὀλίγα λέγειν, διενηνόχασι.

XI. Ἐπεὶ δ' ὁ πυρετὸς δοκεῖ τε καὶ λέγεται τὸ φυσικὸν θερμὸν εἶναι πρὸς τὸ πυρῶδες μεταβάλλον, φέρε 369
θεωρήσωμεν, εἰ καλῶς δοκεῖ τε καὶ λέγεται· ἔχει γάρ πως φυσικωτέραν θεωρίαν ἡ σκέψις.

XII. Φημὶ δὴ, δυοῖν ἐναντίων πρὸς ἄλληλα δρώντων τε καὶ πασχόντων ἐν τῇ αὐτῇ ὕλῃ, θάτερον μὲν ἐκβάλλεσθαί τε καὶ φθείρεσθαι, θάτερον δὲ ἀντεισάγεσθαι. οὐδὲ γὰρ καὶ ἄμφω δυνατὸν ἐντελεχείᾳ ἐν τῷ αὐτῷ παρεῖναι ὑποκειμένῳ, οὐδ' αὖ τοῦ αὐτοῦ ἀπεῖναι ὑποκειμένου, ἀλλὰ θατέρῳ μὲν ἐπερχομένῳ θάτερον ἀνάγκη τῆς ὕλης παραχωρῆσαι, θατέρου δὲ παραχωροῦντος, θάτερον αὖθις εἰσιέναι καὶ τὴν ὕλην εἰδοποιεῖν. 2. Οὐδέποτε γὰρ, οὐδ' ἐν αὐτῷ τῷ νῦν τοῦ χρόνου τῷ ἀμερεῖ, τὴν δεκτικὴν τῶν ἐναντίων ὕλην τε καὶ οὐσίαν ὑπὸ μηδετέραν οἷόν τε, φύσει τῶν ἐναντίων, εἶναι μορφὴν, οὐδ' αὖ τὰ πλεῖστον ἀλλήλων διεστηκότα, κἂν ὑπὸ τὸ αὐτὸ γένος ᾖ, τὴν ἐν τῷ αὐτῷ φέρει δίαιταν, ἄλλως ὑπ' ἄλλῳ τεταγμένῳ τε καὶ διακειμένῳ· οὐδὲ γὰρ πρὸς τὸν λόγον, καὶ εἰ τὰ μὲν ἔμμεσα, 13
τὰ δ' ἄμεσα εἴη τῶν ἐναντίων. 3. Καὶ περὶ ἀμφοτέρων γὰρ ὁ αὐτὸς ἁρμόζει λόγος, ὅσα γε πρὸς τὴν ὕλην τε καὶ μεταβολήν· καὶ ἄλλως δὲ, τὰ μέσα τοῖς ἄκροις πῶς τὰ αὐτά; 4. Ἐπεὶ δὲ πᾶσα φυσικὴ δρᾶσις ἢ πεῖσις, ἡ ἐν τῷ γίγνεσθαι τὸ εἶναι ἔχουσα κίνησις, κίνησις δὲ ἐν χρόνῳ, τοῦ δὲ χρόνου τὸ μὲν ἀρχὴ, τὸ δὲ μέσον, τὸ δ' ἄκρον καὶ ἔσχατον, ἔτι δὲ καὶ τἀναντία, ἐν οἷς ἡ κίνησις, ἔμμεσα,

πολλῶν ὄντων μεταξὺ τοῖν δυοῖν εἰδῶν τε καὶ ὑποστάσεων, ἀνάγκη μήτ' ἐν τῇ ἀρχῇ τῆς κινήσεως θάτερον μὲν τῶν ἐναντίων φθαρῆναι, θάτερον δὲ ἀντεισαχθῆναι, μήτε μὴν ἐν τῷ μέσῳ· μάτην γὰρ ἂν ἦν ἡ ἀπὸ τῆς ἀρχῆς ἄχρι τοῦ μέσου καὶ τελευταίου, καὶ ἡ ἀπὸ τοῦ μέσου πάλιν ἐπὶ τὸ ἔσχατον κίνησις. 5. Λείπεται τοίνυν μόνον ἐν τῷ τῆς κινήσεως ἄκρῳ τε καὶ ἐσχάτῳ τὸ μὲν τῶν ἐναντίων πάντῃ φθαρῆναι καὶ μηκέτι εἶναι, τὸ δὲ ἀντεισαχθῆναι κατὰ τὸ αὐτὸ νῦν τοῦ χρόνου, ὃ καὶ ὅρος ἐστὶ τῆς κινήσεως ὁ εἰς ὅ· καὶ μεταξὺ δὲ τοῖν δυοῖν ὅροιν, τοῦ τ' ἐξ οὗ, τοῦ τ' εἰς ὅ, πολλὰ τῶν μέσων εἰδῶν ἀνάγκη γίγνεσθαι δήπου, τοῦ μὲν
370 προηγούμενα, τοῦ εἰς ὅ, τῷ δ' ἑπόμενα, τῷ ἐξ οὗ, ἃ οὐ-
14 δέτερον τῶν ἄκρων οὔτ' ἔστιν, οὔτε λέγεται, οἷον φαιόν, ὠχρόν, ἐρυθρὸν καὶ τἄλλα τῶν μέσων, εἰς ἃ πρῶτον μεταβάλλει τὸ ἐκ τοῦ μέλανος εἰς λευκὰ μεταβάλλον, ὃ οὔτ' ἔστιν, οὔτε λέγεται λευκὸν ἢ μέλαν ἁπλῶς, εἰ μήπου τοῖν δυοῖν ἄκροιν παραβαλλόμενον, πρὸς ἐκεῖνο μὲν μέλαν, πρὸς δὲ τοῦτο λευκὸν λέγοιτ' ἄν, ἁπλῶς δὲ οὐκ ἔστιν, εἰ μή τις τὰ εἴδη συγχέειν βούλοιτο. 6. Τὰ αὐτὰ δ' ἂν φαίη τις καὶ περὶ τῶν ἀποστάσεων τῶν αὐτῶν καὶ τῶν ἄκρων πλὴν ὅτι τῶν ἄκρων μὲν ἐκεῖνα τῷ εἴδει, αἱ δ' ἀποστάσεις τῶν αὐτῶν τῷ μᾶλλόν τε καὶ ἧττον καὶ τῇ εὐτομότητι διαφέρουσι. Τὰ αὐτὰ δὴ πάντα κἂν τῷ πυρετῷ νοῶν, οὐκ ἂν ἁμάρτοις. 7. Τοῦ γὰρ ἐπεισάκτου καὶ ἀλλοτρίου θερμοῦ τὸ ἐν ἡμῖν πνεῦμα, ἢ χυμόν, ἢ μόριον, ἅπερ εὔκρατά ἐστι τῇ τοῦ θερμοῦ, ἣν ἐλέγομεν, εὐκρασίᾳ, θερμαινοντός τε καὶ ἀλλοιοῦντος, ἀνάγκη θερμότερον ἑαυτοῦ γίγνεσθαι ἕκαστον, ὡσπερεὶ ἐκ ψυχροῦ ἢ χλιαροῦ μετέβαλεν εἰς θερμόν· ἐπεὶ δὲ τὸ θερμαινόμενον οὔπω τεθέρμασται, τὸ δὲ τεθερμάσθαι ὁ εἰς ὃ τῆς θερμάνσεως ὅρος, δεῖ πάντως τὸ ἐξ εὐκράτου θερμαινόμενον ἄχρι τοῦ τεθερμάσθαι διὰ μέσων ὅτι πλείστων εἰδῶν τε καὶ ἀποστάσεων ἰέναι τῆς παρὰ φύσιν θερμότητος, ὧν οὐδεμία τῷ ἄκρῳ
15 πάντῃ παρόμοιος, οὐδ' ἕξις ἐστιν, οὐδὲ λέγεται. 8. Τὸ δὲ τοιοῦτον μέσον, τὸ δὴ τοῦ σώματος ἀλλοιώσεων, εἴτε θέρμανσις εἴτε ψύχρανσις εἴη, εἴτε καὶ ἄλλη τις τῶν ἐκ τῶν πρώτων ποιοτήτων παρωνύμως γε λεγομένων, παρ' ἰατροῖς

*δυσκρασία λέγεται διὰ τὸ τὴν τῶν ἐναντίων ἐν αὐτῇ μάχην ἐνεστάναι· δυσκρασία μὲν τῷ μὴ ἀνάλογος εἶναι ταῖς φυσικαῖς ἐνεργείαις, διάφορος δὲ τῇ πρὸς τὴν φυσικὴν αὐτῆς σχέσει.* 9. *Ἐν τῷ τοιούτῳ τοίνυν μέσῳ καὶ τὰ τοῦ σώματος μόριά φαμεν εἶναι, ὅτε τὸ σῶμα πυρέττει τὸν ἐπὶ πνεύμασιν ἢ χυμοῖς σηπομένοις ἀναπτόμενον πυρε-* 371
*τόν, ὡς ἐκ τῶν ἔμπροσθεν ῥηθέντων ἐστὶν ἰδεῖν.* 10. *Τῆς δ' ἀλλοιώσεως ἤδη πρὸς τὸ τέλος ἡκούσης, καὶ τῆς τῶν ἐναντίων πρὸς ἄλληλα μάχης γε παυσαμένης, ἥ τ' ἐπιγινομένη κρᾶσις ἴση λέγεται, θατέρου τῶν ἐναντίων ὅλου φθαρέντος, καὶ τὰ μόρια ὑπὸ τὴν τοιαύτην κρᾶσιν εἶναι καὶ ὑπὸ τὸ τεθερμάσθαι φαμέν.* 11. *Παυσαμένης δὲ τῆς ἀλλοιώσεως καὶ τῆς ἴσης ἐκείνης καλουμένης κράσεως ἐπιγενομένης, ἐπεὶ τὸ αἰσθάνεσθαι ἀλλοιώσει τινὶ τῶν αἰσθήσεων γίνεται, οὐκ ἔσται τῆς ἴσης ἐκείνης, ὥσπερ οὐδὲ τῆς φυσικῆς οὐδεμία κράσεως αἴσθησις, οὐδὲ ὀδύνη λυποῦσα* 16
*τὴν αἴσθησιν.* 12. *Γέγονε γὰρ ὡσπερεὶ φυσική τις τῶν μορίων διάθεσίς τε καὶ κρᾶσις, ἧς οὐδεμία παρὰ τοῦ ἔχοντος αἴσθησις, τοῦ μηδεμίαν αὐτοῦ τινος εἰς ἑαυτὸν γίγνεσθαι δρᾶσιν, καὶ ὥσπερ ἕξις τις τοῖς μορίοις ἐμπεφυκυῖα, ὅθεν καὶ τοῦ ὀνόματος ἔτυχεν, ἑκτικὸς πυρετὸς καλουμένη παρ' ἰατροῖς.* 13. *Τούτων τοίνυν οὕτω διωρισμένων, ἐντεῦθεν ἐστὶν ἰδεῖν, ὅτι ὥσπερ οὐκ ἔστι κυρίως εἰπεῖν τὸ μέλαν, ὅτε λευκαίνεται, ταὐτὸν δὲ εἰπεῖν, ὅτε ὑπὸ τὴν κίνησιν ἔτι καὶ ἐν τῷ μεταξὺ ἐστι τῆς κινήσεως, ὅτι μετέβαλεν εἰς λευκόν, τῷ τὸ λευκαινόμενον ἔτι μὴ λελευκάσθαι, καθάπερ οὐδὲ λευκανθὲν καὶ ἐν τῷ εἰς ὃ τῆς κινήσεως ὂν λέγοιτ' ἂν ἀμηγέπῃ μέλαν, τῆς μελανίας πάντῃ φθαρείσης, οὕτως οὐδὲ τὸν ἐπὶ πνεύμασι καὶ χυμοῖς σηπομένοις ἀναπτόμενον πυρετὸν λέγειν δίκαιον παρὰ φύσιν θερμασίαν εἰς πυρώδη μεταβάλλουσαν.* 14. *Τὸ γὰρ μεταβάλλον οὐ μεταβέβληκεν, εἰ μή τις λέγειν ἐθέλει πᾶν τὸ μεταξὺ εἶδος καὶ πᾶσαν ἀπόστασιν πυρώδη καὶ θερμότητα καὶ δυνάμει μόνον οὖσαν, ἐντελεχείᾳ δὲ οὔ· τὸ γὰρ κινούμενον δυνάμει τοῦ πρὸς ὃ κινεῖται, οὐκ ἐντελεχείᾳ· οὐ γὰρ ἂν ἐκινεῖτο, ἀλλ' ἠρέμει, τοιοῦτον ἐντελεχείᾳ ὄν, οἷον τὸ πρὸς ὃ κινεῖται· ἄλλως γὰρ κινούμενον τὸ αὐτό, καὶ μὴ*

17 κινούμενον κατὰ τὸ αὐτὸ καὶ ἐν τῷ αὐτῷ γ' εἴη ἄν, ὅπερ ἀντίφασις· ὅ γε μὴν ἑκτικὸς πυρετὸς ἔστι μὲν ὡς τὸ κατὰ φύσιν θερμὸν εἰς τὸ πυρῶδες μεταβάλλον, ἔστι δὲ ὡς οὔ.
372 15. *Εἰ μὲν γὰρ τὸ θερμὸν ἀντὶ τῆς ποιότητος νοηθείη τε καὶ ληφθείη, οὐκ ἔστι· τὸ γὰρ πυρῶδες ἐκεῖνο θερμὸν οὐδαμῶς ἐστι τὸ κατὰ φύσιν θερμόν· εἰ δ' ἀντὶ τοῦ ὑποκειμένου, καὶ μάλα· τὸ γὰρ ἐν τῷ ἑκτικῷ μεταβάλλον πυρετῷ, ποιόν, ἀλλ' οὐ ποιότης ἐστί, καὶ τὸ τοιοῦτον οὐ θέρμη, θερμὸν δὲ λέγεται, οὐδ' αὖ πυρετός, ἀλλὰ μᾶλλον πυρέσσον· χρῶνται δ' ὁμοίως οἱ ἰατροὶ ταῖς τοιαύταις τῶν λέξεων ἔστιν ὅτε, καὶ οὐκ ἄνευ ἴσως αἰτίας καὶ λόγου. 16. Ἐπειδὴ γὰρ ἐν τῷ μεταξὺ τῆς τοιαύτης ἀλλοιώσεως ἄπειρα δήπου τὰ εἴδη, καθάπερ ἐν τοῖς φυσικοῖς δέδεικται, μὴ τυχόντα ὀνόματος, ἔδει τὸν ἰατρόν, περὶ ἐκείνων λόγον ποιούμενον, τῷ τοῦ ἄκρου, πρὸς ὅπερ ἡ κίνησις, ὀνόματι ταῦτα καλεῖν, περὶ παντὸς ἁπλῶς λέγοντα πυρετοῦ, ὅτι τὸ κατὰ φύσιν θερμόν ἐστι πρὸς τὸ πυρῶδες μεταβάλλον. Ἀληθεύει δὲ μᾶλλον, εἴτις ἐθέλοι λέγειν τὸ τοιοῦτον περὶ τοῦ ἑκτικοῦ, καθάπερ εἴρηται, πυρετοῦ.

XIII. Ἐπιστάσεως δὲ ἄξιον, ὅτι ὁ πυρετὸς οὐκ ἔστιν
18 οὐδενὸς ἢ μόνων τῶν σώματος, ἃ καὶ κυρίως ἐστί τε καὶ λέγεται ἔμψυχα· οὔτε γὰρ τὸ ἐν ἡμῖν πνεῦμα κυρίως, οὔθ' οἱ χυμοί, μόνα δὲ πυρέττει τὰ τοῦ σώματος μόρια, ἅπερ καὶ ὄργανα τῶν παρ' ἡμῖν εἰσιν ἐνεργειῶν, εἰκότως. 2. Ὡς γὰρ ἡ ὑγεία, διάθεσις φυσική τις οὖσα τοῦ ἀνθρωπίνου σώματος, δι' ἧς τελείως ὁ ἄνθρωπος τὰς ἑαυτοῦ προσηκούσας ἐνεργείας ἀποτελεῖ, ἐν τοῖς μορίοις ἐστὶ τοῦ σώματος, ὧν αἱ ἐνέργειαι· χυμοὶ δὲ καὶ πνεύματα ποιητικὰ ταύτης αἴτια, τὰ μὲν ὡς ὄργανον καθόλου καὶ γενικὸν τῆς ψυχῆς, οἱ δὲ ὡς ὕλη τῶν μορίων, ἐξ ὧν αὔξεταί τε καὶ τρέφεται· οὕτω καὶ ἡ νόσος, ἧς εἶδος ὁ πυρετός, διάθεσις παρὰ φύσιν τοῦ ἀνθρωπίνου σώματος, ὑφ' ἧς ἐν ταῖς ἐνεργείαις καθ' αὑτὸ καὶ πρώτως αἰσθητὴ γίγνεται βλάβη, ἐν τοῖς αὐτοῖς ἔσται μορίοις τοῦ σώματος, ὧν αἱ ἐνέργειαι· τὰ γὰρ ἐναντία ἐν τῷ αὐτῷ πέφυκε γίγνεσθαι. 3. Πνεῦμα δὲ καὶ χυμοὶ ποιητικὰ μᾶλλον, ἀλλ' οὐχ ὑλικὰ νόσου καὶ πυρετῶν
373 αἴτια. ἄλλως τε νόσον καὶ ὑγείαν, πάθη τῶν τοῦ ἐμψύχου,

ἢ ἔμψυχα, ὄντα, δεῖ ὡς ἐν ὑποκειμένοις εἶναι τοῖς ἐμψύχοις· μόνα δὲ τῶν ἐν ἡμῖν ὄντων τὰ μόρια ἔμψυχα· πνεύματα γὰρ καὶ χυμοὶ ἄψυχα, μήτε τρεφόμενα, μήτ' ἄλλην τινὰ φυσικὴν ἐνεργείαν ἔχοντα· ὥστε πᾶς πυρετός, εἴτ' 19
ἐφήμερος, εἴτ' ἐπὶ χυμοῖς ἀναπτόμενος σηπομένοις, εἴτε καὶ ἑκτικὸς ἐν τοῖς μορίοις ἐστὶ τοῦ σώματος, κἂν οἱ μὲν γίγνωνται ἔτι καὶ ἐν τῷ γίγνεσθαι τὸ εἶναι ἔχωσιν, ὁ δ' ἑκτικός, γεγονὼς ἤδη, οὐκέτι γίγνεται, οὐδ' ἐν τῷ γίγνεσθαι τὸ εἶναι ἔχει. 4. Ταῦτ' ἄρα καὶ πυρέττειν μέν φαμεν τὰ μόρια, καὶ θερμαίνεσθαί τε καὶ τεθερμάσθαι· τὸ γὰρ πυρέττον ἅπαν ἢ θερμαίνεται, ἢ τεθέρμασται· οὐχ ἅπαν δὲ τὸ θερμαινόμενον ἢ καὶ τεθερμασμένον πυρέσσει τοῦτο τὸ μόριον, ὅτῳ χυμὸς ἢ πνεῦμα πυρετῶν αἴτια, αἰτιά γε μὴν ὡς ποιητικά.

XIV. Ἐκ δὲ τούτων φανερόν, ὅτι τῶν πυρετῶν οἱ μέν εἰσι γιγνόμενοι, οἱ δὲ γεγονότες, ὥσπερ καὶ τῶν νόσων αἱ μέν εἰσι γεγονυῖαι, αἱ δὲ γιγνόμεναι, ὧν τὸ μὲν γέγονε, τὸ δὲ γενήσεται· καὶ οὔπω λέγω, ὅτι καὶ οὔπω ὄντες τινές εἰσιν, ἐσόμενοι δέ, ἐκ τῆς κατὰ τὸ σῶμα διαθέσεως. Ἀλλὰ ταῦτα μὲν ἐν ἄλλοις, ῥηθήσεται δ' ἴσως σὴν χάριν καὶ μετρίως ἐν τοῖς ἑξῆς. 2. Οὕτω μὲν οὖν καὶ περὶ τούτου διώρισται. Καιρὸς δ' ἂν εἴη λοιπὸν ἐπὶ τὰ ἑξῆς τρέψαι τὸν λόγον. Καὶ πρῶτον μὲν περὶ τῶν ἐν ἡμῖν ῥητέον· ὑγρὰ δὲ ταῦτα καὶ πνεύματα καὶ στερεά· ἐπειδή- 20
περ ἀνωτέρω τούτων ἐμνήσθημεν· ἔπειτα καὶ περὶ αἰτίων ἐν γένει, καθ' εἱρμόν τινα τοῦ λόγου προβαίνοντος.

XV. Τριῶν τοίνυν ἐν ἡμῖν ὄντων, στερεῶν, ὑγρῶν καὶ τῆς ἀερώδους οὐσίας, καὶ τῶν μὲν μορίων τοῦ ἡμετέρου σώματος ὄντων τῶν στερεῶν, τῶν δὲ χυμῶν τῶν ὑγρῶν, τοῦ δὲ φυσικοῦ πνεύματος τῆς ἀερώδους οὐσίας, συμβαίνει τὴν παρὰ φύσιν θερμότητα ἄλλοτε μὲν ἐξ ἄλλου τῶν εἰρημένων ἄρχεσθαι, ἐπινέμεσθαι δὲ καὶ συνδιατιθέναι τῷ πεπονθότι τὰ λοιπὰ δύο γένη, εἰ μὴ φθάσειε λυθῆναι πρότερον καὶ διαφορηθῆναι· κἀντεῦθεν τρεῖς ἡμῖν καὶ παρὰ τὴν ὕλην διαφοραὶ τῶν πυρετῶν ἀναφαίνονται. 374
2. Μία μέν, καθ' ἣν ἡ ἀερώδης μὲν οὐσία μόνη τεθέρμασται ἱκανῶς, τὰ δὲ ὑγρὰ καὶ τὰ στερεὰ θερμαίνεται

μὲν καὶ αὐτὰ ἔτι, τεθέρμασται δὲ οὐδέπω· διαφέρει γὰρ οὐ μικρῶς τὸ θερμαίνεσθαι τοῦ τεθερμάσθαι· τὸ μὲν γὰρ γίγνεται, δυνάμει τέ ἐστι ξυμπεφυρμένον ἀεὶ καὶ οὔπω ἐντελεχείᾳ τὸ εἶναι ἔχει, τὸ δὲ γέγονε μὲν ἤδη, καὶ οὔτε δυνάμει ξυμπέφυρται, καὶ ἐνεργείᾳ ἐστίν· ἄλλη δέ, καθ' ἣν τῶν ὑγρῶν μὲν ἡ οὐσία τεθέρμασται, τεθέρμασται δὲ οὔπω οὐθ' ἡ ἀερώδης οὐσία, οὔτε τὰ στερεά· θερμαίνεταί γε μὴν ἔτι καὶ οὔπω τεθέρμασται· τρίτη δὲ καὶ ἐσχάτη,
21 καθ' ἣν τεθέρμασται μὲν ἤδη τὰ στερεά, τὰ δ' ἄλλα θερμαίνεται μέν, οὐ τεθέρμασται δέ. 3. Ἡ προτέρα μὲν οὖν τῶν διαφορῶν τοὺς ἐφημέρους, ἡ δὲ δευτέρα τοὺς ἐπὶ χυμοῖς σηπομένοις ἐναπτομένους, ἡ δὲ τρίτη τοὺς ἑκτικοὺς ἀνέδειξε πυρετούς.

XVI. Γένοιτο δ' ἂν τὰ ῥηθέντα σοι δῆλα, ἐπεξιόντι μὲν καὶ ἅπερ ἡμεῖς εἰς τὴν τούτων σαφήνειαν θήσομεν παραδείγματα, ἐν ᾧ περὶ διαφορᾶς πυρετῶν λέγομεν, οὐχ ἧττον δὲ καὶ τὸ παρὸν ἀναλεγομένῳ παράδειγμα, Ἱπποκράτει καὶ Ἀρεταίῳ προσευρεθέν, τοῖς ἄρτι ῥηθεῖσιν ὡς οἰκειότατον. 2. Προκείσθω γὰρ ἡμῖν εἰς θεωρίαν τὸ βαλανεῖον, καὶ θεωρῶμεν ὅσας ἔχει διαφερούσας ἀλλήλων φύσεις, ἐξ ὧν συνίσταται, καὶ ὅπως ἔχει ἢ δύνατ' ἔχειν πρὸς θέρμανσιν. 3. Οὐκοῦν τρεῖς οὐσίαι διάφοροι τοῦ βαλανείου συστατικοί· τοῖχοι, ὕδωρ, καὶ ὁ ἐντὸς ἐγκεκλεισμένος καὶ ἐμπεριεχόμενος ὑπὸ τῶν τοίχων ἀήρ· ἀκολουθοῦσι δὲ τοῖχοι μὲν τοῖς ἐν ἡμῖν στερεοῖς, χυμοῖς δὲ ὕδωρ, ἀὴρ δὲ πνεύμασι· καὶ θερμαινέσθω ὁ ἐμπεριεχόμενος ὑπὸ τοῦ βαλανείου ἀήρ, μηδενὸς ἄλλου τουτῶν ῥηθέντων ἐκείνῳ συνθερμαινομένου· δυνατὸν δὲ τὸ τοιοῦτον οὐ μόνον τῇ
22 ἐπινοίᾳ, ἀλλὰ καὶ ἐν τῷ γενέσθαι τῷ πράγματι· τεθερ-
375 μασμένου δὴ τοῦ ἀέρος, θερμαίνεται πρῶτον μὲν δὴ τὸ ἐν τῷ βαλανείῳ ὕδωρ· τοῦτο γὰρ λεπτομερεστέρας οὐσίας καὶ εὐπαθεστέρας, ἤπερ ὁ τοῖχος· ἔπειθ' ὁ τοῖχος. 4. Καὶ τοῦτο τῆς προτέρας ἂν εἴη τῶν πυρετῶν διαφορᾶς τὸ παράδειγμα, καθ' ἣν ἐλέγομεν τοὺς ἐφημέρους ἀναφαίνεσθαι πυρετούς, ἀναπτομένης μὲν καὶ τεθερμασμένης ἤδη τῇ παρὰ φύσιν θερμότητι τῆς ἀερώδους οὐσίας, ταὐτὸν δὲ εἰπεῖν τοῦ πνεύματος, τῶν δὲ χυμῶν καὶ τῶν μορίων ἔτι

*θερμαινομένων.* 5. *Πάλιν τεθερμάσθω πρῶτον τὸ ἐν τῷ βαλανείῳ ὕδωρ· οὐκοῦν θερμανθέντος ἐκείνου, θερμαίνεται μὲν αὐτίκα καὶ ὁ ἀὴρ, ἔπειτα δὲ καὶ ὁ ἐμπεριέχων ἐκεῖνον τοῖχος· μήπω δὲ τεθερμάσθω, ἀλλ' ἔτι θερμαινέσθω· καὶ τὸ παράδειγμα τῆς δευτέρας ἂν εἴη τῶν πυρετῶν διαφορᾶς, καθ' ἣν ἐλέγομεν τοὺς ἐπὶ χυμοῖς σηπομένοις ἀνάπτεσθαι πυρετοὺς, τεθερμασμένων μὲν τῶν ὑγρῶν, τῶν δ' ἄλλων ἔτι θερμαινομένων.* 6. *Ἔτι, τεθερμάσθω πρῶτον ὁ τοῖχος τοῦ βαλανείου, καὶ μετὰ τοῦθ' ὁ ἀὴρ καὶ τὸ ὕδωρ ἐκείνῳ ξυνθερμαινέσθω· κἀντεῦθεν ἡ τρίτη καὶ τελευταία τῶν πυρετῶν ἐξεικονισθήσεταί σου διαφορὰν, καθ' ἣν οἱ ἑκτικοὶ πυρετοί, τεθερμασμένων μὲν ἤδη τῶν στερεῶν, τῶν δ' ἄλλων ἔτι θερμαινομένων, συνίστανται.*

XVII. *Φανερὸν μὲν οὖν διὰ τούτων καὶ ὡς τρία μόνα* 23
*τὰ ἐν ἡμῖν, ἐν οἷς ἡ παρὰ φύσιν θερμότης, μόρια, χυμοί, πνεύματα· τὰ αὐτὰ δὲ καὶ παρ' Ἱπποκράτει ἴσχοντα, ἰσχόμενα καὶ ἐνορμῶντα καλεῖται, ἴσχοντα μὲν τὰ μόρια, ἃ καὶ στερεὰ προσαγορεύεται, ἰσχόμενα δὲ οἱ χυμοί, ἐνορμῶντα δέ γε τὰ πνεύματα, ἕκαστον ἐκ τῆς ἰδίας δυνάμεως τὴν προσηγορίαν ἁρμόζουσαν εἰληφός.* 2. *Ἴσχει μὲν γὰρ καὶ κατέχει τὰ στερεά, ἐνίσχεται δὲ καὶ ἐμπεριέχεται ὑπὸ τούτων τὰ ὑγρά τε καὶ διαρρέοντα, ταὐτὸν δὲ εἰπεῖν οἱ χυμοί, ὁρμᾷ δὲ τὰ ἐν ἡμῖν πνεύματα, λεπτομερεστάτης οὐσίας ὄντα καὶ θερμοτάτης, καὶ ῥᾶστα διὰ πάντων χωροῦντα τῶν μορίων τοῦ σώματος.*

XVIII. *Φανερὸν δὲ καὶ ὡς τρία μόνα τὰ γένη τῶν πυρετῶν, καὶ οὔτε πλείω, οὔτε ἐλάττω· ἐφήμεροι δηλαδὴ καὶ οἱ ἐπὶ χυμοῖς ἀναπτόμενοι σηπομένοις, ἔτι δὲ καὶ οἱ ἑκτικοὶ καλούμενοι πυρετοί. δεχόμενά γε μὴν καὶ ταῦτα πλείους διαφορὰς, τήν τε παρὰ τὸ μᾶλλον καὶ τὸ ἧττον* 376
*τῆς παρὰ φύσιν θερμότητος, ἣν δὴ καὶ οὐσιώδη πυρετῶν λέξομεν εἶναι διαφορὰν, καθ' ἣν μεγάλους τε καὶ μικροὺς ὀνομάζομεν πυρετοὺς, καὶ τὴν παρὰ τὸν τῆς κινήσεως τρόπον, καθ' ἣν βραδεῖς τε καὶ ταχεῖς λέγονται πυρετοί, καὶ* 24
*διαλείποντες καὶ μή, ἔτι δὲ καὶ τὴν παρὰ τὰ ξυμπτώματα τῆς παρὰ φύσιν θερμότητος, ἐξ ὧν, ὡς ἐκ σημείων, ἡ διάγνωσις, ὁποῖός ποτ' ἂν ὁ πυρετὸς εἴη, τοῖς ἰατροῖς εἴωθε*

*γίγνεσθαι, καθ' ἣν εἰώθαμεν λέγειν τῶν πυρετῶν τοὺς μὲν ἐξερύθρους, τοὺς δὲ ἐξώχρους, ἄλλους πελίους, καὶ ἄλλους ἄλλως. Ἀλλὰ ταῦτα μὲν ἐν τῷ περὶ διαφορᾶς πυρετῶν εἰρήσεται καὶ σαφέστερον· εἰρήσθω δὲ καὶ νῦν ὀλίγ' ἄττα σὴν χάριν, εἰ καὶ παρεκβατικώτερον τὸν λόγον ποιούμεθα.*

XIX. *Φανερὸν τοίνυν ἐκ τῶν εἰρημένων, ὅτι ῥᾶστα μὲν πάντων ἀνάπτεταί τε τὸ πνεῦμα καὶ τάχιστα διαλύεται, ἧττον δὲ οἱ χυμοί, ἔτι δὲ ἧττον τὰ μόρια. Ταῦτά τοι καὶ ἀπὸ τυχούσης σχεδὸν αἰτίας φαύλης καὶ ἀμυδρᾶς ὁ ἐφήμερος γίνοιτ' ἄν, καὶ ἀπογίνεται δὲ ῥαδίως, τοῦ ἀναφθέντος ῥᾶστα διαφορηθέντος πνεύματος.* 2. *Οἱ δ' ἐπὶ χυμοῖς ἀναπτόμενοι σηπομένοις οὐκ ἀπὸ φαύλης τινὸς αἰτίας γίνονται πυρετοί· στερεωτέρα γὰρ ἡ τῶν χυμῶν φύσις καὶ ἀντιπράττουσα μᾶλλον, ἤπερ τὰ πνεύματα, καὶ ἄλλος ἄλλου στερεωτέραν μᾶλλον καὶ ἀντιπράττουσαν ἔχει φύσιν, ὡς ἐν τοῖς ἑξῆς εὖ ἄγαν εἰσόμεθα, δυσκόλως τε ἀπογίνονται τοῖς αὐτοῖς πάλιν λόγοις, καὶ μᾶλλον ὅσοιπερ*
25 *ἐπὶ στερεώτερον χυμοῦ ἀνάπτονται.* 3. *Οἵ γε μὴν ἑκτικοὶ καὶ δυσκολώτατα γίνονται καὶ δυσκολώτατα ἀπογίνονται· οὐ γὰρ ῥαδίως ἀνάπτεται τὰ μόρια, στερεωτέρας τυχόντα φύσεως, οὔτ' αὖ πάλιν θερμανθέντα, ῥαδίως ἀποβάλλει τὴν θερμασίαν· τὸ γὰρ στερεὸν δυστύπωτόν τε ἅμα καὶ τῆς ἐντυπωθείσης αὐτῷ καὶ μορφῆς καὶ ποιότητος ἄγαν φυλακτικόν, εἰ μή που πρὸς τὴν ἐναντίαν μᾶλλον ῥέπει ποιότητα. Ταῦτ' ἄρα καὶ ἑκτικοὶ κέκληνται πυρετοί, ὡς ἕξεις ὄντες καὶ δυσαπόβλητοι.*

377 XX. *Ἐπιστῆσαι δὲ ἄξιον, ὅτι τριῶν ὄντων ἐν γένει τῶν πυρετῶν, ὥσπερ εἴπομεν, ὁ μὲν ἐφήμερος ὑποδιαιρεῖται πάλιν κατὰ τὴν τῶν αἰτίων διαφοράν, ἅπερ ἐν τῷ πνεύματι τοιαύτην παρὰ φύσιν θερμασίαν πρῶτον ποιεῖ, καὶ οὐ κατὰ τὴν ἐν τῷ πνεύματι κατ' οὐσίαν διαφοράν· τὸ γὰρ πνεῦμα ὁμοιομερές ἐστι πάντη, καὶ οὐ τῆς αὐτῆς ἐστιν ἑτερότητος, ἧσπερ καὶ ὁ χυμός.* 2. *Ὁ δ' ἐπὶ χυμοῖς ἀναπτόμενος πυρετὸς οὐ κατὰ τὴν τῶν αἰτίων διαιρεῖται· ἓν γάρ ἐστιν αἴτιον, τὸ συνεζευγμένον δηλαδή, τὸ τὸν τοιοῦτον ἀποτελοῦν πυρετόν, ἡ ἐν τοῖς χυμοῖς μετα-*

*βολή τε καὶ σῆψις· ἀλλὰ κατὰ τὴν τῶν χυμῶν ἑτερότητα
καὶ διαφορὰν ἡ διάφορος ὕλη τῆς σήψεως γίγνεται.* 3. *Ὁ δ'
ἑκτικὸς πυρετὸς κατὰ μὲν τὰ αἴτια οὐδεμίαν ἐπιδέχεται* 26
*τὴν διαφοράν. ὁ γὰρ αὐτὸς διὰ παντός ἐστι πυρετός,
κἂν ἐκ διαφορῶν γένηται· κατά γε μὴν τὴν τῶν μορίων
ὑγρότητα, φθειρομένην τε καὶ δαπανωμένην καὶ μαραι-
νομένην ὑπὸ τῆς τούτου διαμονῆς, διαφορὰς πολλὰς
ἐπιδέχεται, καθάπερ ἐν τῷ περὶ τούτου λέξομεν λόγῳ.*
4. *Οὕτω μὲν οὖν τρεῖς αἱ κυριώταται τῶν πυρετῶν, αἷς
ἐκ τῆς ἐξ ἡμῖν πρῶτον ὕλης ἡ παρὰ φύσιν ἀνάπτεται θερ-
μασία, διαφοραί, καὶ οὔτε πλείους, οὔτε ἐλάττους· νυνὶ δὲ
περὶ ἑκάστου τούτων λέξομεν ἀκριβέστερον. Ἀλλὰ πρῶ-
τον περὶ αἰτίων ῥητέον ἐν γένει, ἔπειτα περὶ αὐτῶν κατὰ
τὴν ὑπόσχεσιν τοῦ λόγου προβαίνοντος.*

XXI. *Αἴτιον τοίνυν παρ' ἰατροῖς τὸ πρῶτον ὄν, ἀφ'
οὗ γίνεταί τις ἐν τῷ ἀνθρωπείῳ σώματι διάθεσις ἢ δια-
μονὴ διαθέσεως.* 2. *Πρῶτον μὲν οὖν ὂν εἴρηται διὰ τὸ
ἀρχοειδέστερον εἶναι τὸ αἴτιον τοῦ ἰδίου αἰτιατοῦ, καὶ χρόνῳ
μὲν ἔστιν ὅτε, φύσει δὲ ἀεὶ πρότερον ὑπάρχον ἐκείνου·
ἀφ' οὗ δὲ γίνεταί τις ἐν τῷ ἀνθρωπείῳ σώματι διάθεσις,
πρόσκειται πρὸς δὲ καὶ τὸ ἢ διαμονὴ διαθέσεως, τὸ μὲν
ποιητικόν, τὸ δὲ φυλακτικὸν σημαῖνον ἢ νόσου, ἢ τῆς
οὐδετέρας διαθέσεως αἴτιον.* 3. *Δύο γὰρ τὰ αἴτια παρ'
ἰατροῖς, τὸ ποιητικὸν καὶ τὸ φυλακτικόν· οὐχ ἑνὸς δηλαδὴ* 27
*σώματος, ἀλλὰ πλειόνων, ὑγιεινῶν, νοσερῶν τε καὶ οὐδε-* 378
*τέρων, καὶ τούτων πάλιν, τῶν ἁπλῶς τε καὶ ἐν τῷ νῦν,
ὥσπερ καὶ τῶν ἁπλῶς, τῶν ἀεί τε καὶ ἐπὶ τὸ πολύ· τὸ γὰρ
αἴτιον ἐν τῷ πρός τι.*

XXII. *Ἀλλὰ πῶς τὸ φυλακτικὸν αἴτιον τὸ ὂν πρῶ-
τόν ἐστι; προτέρα γὰρ ἡ φυλακτὴ ὑγεία τοῦ φυλακτικοῦ
ταύτης αἰτίου· δεῖ γὰρ εἶναι τὴν ὑγείαν, εἶτα φυλάττεσθαι·
πρὸς δέ, ταῦτα πρὸς ἄλληλα λέγεται· τὸ γὰρ φυλακτικὸν
ὑγείας, φυλακτῆς ὑγείας φυλακτικόν, καὶ τὸ ἀνάπαλιν· τὰ
τοιαδὶ δ' ἅμα τῇ φύσει· οὐκ ἄρα τὸ φυλακτικὸν αἴτιον τὸ
ὂν πρῶτόν ἐστιν.* 2. *Ὑγεία μέν, ἡ τοιαύτη, προτέρα τοῦ
φυλάττοντος ταύτην αἰτίου· ὑγεία δέ, ἡ φυλακτή, ὑστέρα
τοῦ αὐτοῦ φύσει, καὶ οὐ προτέρα. Καὶ τὰ πρὸς ἄλληλα δὲ*

οὐ πάντα ἅμα τῇ φύσει, ἅμα γε μὴν ἅπαντα φύσει τῇ γε νοήσει· ἄνευ γὰρ θατέρου θάτερον οὐ νενόηται.

XXIII. Ἀλλὰ πάλιν πῶς αἴτιον τὸ φυλακτικὸν ὑγείας ἢ νόσου; οὔτε γὰρ ὑλικόν· ἡ γὰρ ὕλη τοῦ ὅλου ἐστὶ μόριον· καὶ φυλάσσει δὲ οὐχ ἡ ὕλη, ἀλλὰ τὸ εἶδος μᾶλλον ἐκείνου, οὗ ἐστιν εἶδος. 2. Πρὸς δέ, τὸ συμβεβηκὸς πῶς
28 ἕξει τὸ ὑλικὸν αἴτιον, τὸ ἐξ οὗ: τὸ γάρ, ἐν ᾧ μόριόν ἐστι, καὶ οὐ φυλακτικὸν αἴτιον, οὔτε ποιητικόν, ἐπείπερ ἀντιδιῄρηται τὸ ποιητικὸν τῷ φυλακτικῷ, οὔτε μὴν εἰδικόν· τὸ γὰρ φυλακτικὸν αἴτιον, περὶ οὗ ὁ λόγος τοῖς ἰατροῖς, ἀλλότριόν τε καὶ ἔξω τοῦ οὗ ἐστι, πάντως φυλακτικόν· τὸ δὲ εἶδος ἴδιόν τε καὶ τοῦ οὗ ἐστιν εἶδος οὐσιῶδές γε μόριον· προσέτι καὶ τοῦ εἴδους εἶδος οὐκ ἔστιν· οὕτω γὰρ ἂν εἰς ἄπειρον ἐκπεσούμεθα· ἀλλ᾽ οὐδὲ τελικόν, ὅτι οὐδὲ τὸ τέλος τῆς ὑγείας ἢ νόσου τὸ φυλακτικὸν αἴτιον, μᾶλλον μὲν οὖν ταῦτα τέλος ἐκείνου καὶ διὰ ταῦτα κἀκεῖνο.

XXIV. Τὸ φυλακτικὸν εἰς τὸ ποιητικὸν ἀνάγεται δή-
379 που, καί πως τῆς τοῦ εἰδικοῦ κεκοινώνηκε φύσεως. Τὸ γὰρ ποιητικὸν καὶ φυλακτικὸν δύναται εἶναι, τῆς ἐπιρροίας ἐκείνου συνεχοῦς οὔσης τῷ ἐπιδεκτικῷ· τὸ γὰρ φῶς ποιεῖ μὲν δυνάμει τὰ χρώματα ἐνεργείᾳ χρώματα, γενόμενα δὲ φυλάττει· καὶ ὁ χυμὸς δέ, μορίῳ τινὶ ἐπιρρέων, θερμαίνει μὲν ἐκεῖνο ἢ ψύχει τῇ ἰδίᾳ ποιότητι, θερμανθὲν δέ γε ἢ ψυχθὲν τοιοῦτον ἔτι φυλάττει, εἰ μὴ ἐκείνου γε χωρισθείη· καὶ πάλιν, ἐπιρρέων τινὶ μορίῳ, ἐμφράττει μὲν τοὺς πόρους ἐκείνου καὶ τὰς ὁδούς, εἶτ᾽ ἐμφραχθείσας φυλάττει, τῷ χωρίῳ ἐμφιλοχωρῶν καὶ μὴ μεταβάς, ἢ καὶ διαφορηθεὶς ἢ αὐτομάτως ἢ καὶ ἐπικουρίᾳ τινί. 2. Ἐς τοῦτο δὲ φέρει καὶ ὃ τοῖς ἰατροῖς ἔθος λέγειν, ὅτι τὰ νοσερὰ αἴτια νόσον ἐμποιοῦσι τῷ σώματι καὶ τὴν αὐτὴν ἔτι διαφυλάττουσιν. 3. Ἀληθὲς μὲν οὖν καὶ πάνυ περὶ τοῦ ποιητικοῦ τῆς νόσου αἰτίου, ὡς, εἰ μὴ χωρισθείη τοῦ πάσχοντος, γένοιτ᾽ ἂν ἐκ ποιητικοῦ καὶ φυλακτικόν· οὐ πάντως αἴτιον ἡ τῆς ἐνεργείας τούτου συνέχεια καὶ ἡ ἀντικειμένου μάχη· ὅθεν καὶ ἀμηγέπῃ τῆς τοῦ εἰδικοῦ κεκοινώνηκε φύσεως, διαφυλάττον τὴν νόσον, ὡς τὸ εἶδος ἐκεῖνο, οὗ ἐστιν εἶδος. 4. Οὐ πάνυ δὲ ἀληθὲς τὸ αὐτὸ λέγειν περὶ τοῦ ποιητικοῦ

*τῆς ὑγείας αἰτίου, ὡς τὴν ὑγείαν ἐμποιῆσαν τῷ σώματι, ἐς τὸ φυλακτικὸν ἔπειτα μεταβάλλοι γ᾽ ἄν. Εἰ γὰρ τῆς ἐνεργείας τούτου συνέχεια γένοιτο, τὸ ὑγιασθὲν ἤδη σῶμα εἰς τὴν ἀντικειμένην διάθεσιν ἔξω θήσεται τῇ ἐξ ἧς ἐπηνώρθωτο κατασκευάσει· αἴτιον δὲ τὸ ποιητικὸν αἴτιον τῆς ὑγείας μᾶλλον ἀνήκειν τῇ νόσῳ ἢ τῇ ὑγείᾳ, τοσοῦτόν τε ἀπὸ θατέρου μέρους τῆς ὑγείας ἀφίστασθαι, ὅσον ἀπὸ θατέρου τῆς αὐτῆς αὖθις ἡ νόσος, ὧν οὐδέτερον ἄν τις εἴποι περὶ τοῦ φυλακτικοῦ τῆς ὑγείας αἰτίου. 5. Τὸ τοίνυν ποιητικὸν καὶ φυλακτικὸν τῆς νόσου γένοιτ᾽ ἂν αἴτιον, ὡς ἐλέγομεν,* 30 *καὶ διὰ τοῦτο πρὸς ἐκεῖνό γε ἀναχθήσεται· τό γε μὴν φυλακτικὸν τῆς ὑγείας, κἂν μὴ ποιητικὸν αἴτιον ᾖ τῆς αὐτῆς ἐπὶ τοῦ αὐτοῦ, πρὸς τὸ ποιητικὸν ὅμως ἀνάγεται· ἐπανορθωτικὰ γὰρ τετύχηκεν ὄντα τῷ γένει τὰ φυλακτικὰ* 380 *τῶν αἰτίων, ὡς καὶ Ἀρεταῖος ἐν τῷ περὶ φυλακτικῶν ἀπεφήνατο.*

XXV. *Ἀπορίας δὲ ἄξιον καὶ πῶς τὸ παρ᾽ ἰατροῖς ἄξιον, τὸ ποιητικόν ἐστι μόνον καὶ τὸ φυλακτικὸν ὑγείας καὶ νόσου, τὰ μὲν ὑλικά, τὰ δὲ εἰδικά, τὰ δὲ ποιητικά, τὰ δὲ τελικά, ἐξ ὧν ἡμῖν ἐγγίγνεσθαι τὴν εἴδησιν τῆς ὑγείας τε καὶ τῆς νόσου. 2. Κυρίως μὲν ταῦτα τὸ ὑλικὸν οὐκ ἔχουσιν αἴτιον τὸ ἐξ οὗ, συμβεβηκότα γε ὄντα, οἷς οὐκ ἔστι τὸ ἐκ τῆς ὕλης γίγνεσθαι. ὕλη γάρ ἐστι τὸ ἐξ οὗ γίνεταί τι ἐνυπάρχοντος, καὶ μόριόν ἐστιν οὐσιῶδες τοῦ ἐξ αὐτῆς γενομένου· ταῦτά τοι καὶ ἡ κυρίως ὕλη μόνης ἐστὶ τῆς συγκειμένης καὶ συνθέτου οὐσίας, οὐ τῶν συμβεβηκότων τινός· ἔχει δ᾽ ὅμως τὸ ὑλικὸν αἴτιον τὸ ἐν ᾧ, τουτὶ δέ ἐστι τὸ ὑποκείμενον, ἐν᾽ ᾧ ὑγεία καὶ νόσος, πλησιέστερόν τε ὂν καὶ πορρωτέρω· προσεχέστερον μὲν τὸ μόριον, πορρωτέρω δὲ ὁ χυμός, ἔτι δὲ πορρωτάτω γε τὸ στοιχεῖον. 3. Διὸ κακῶς λέγουσι τῶν ἰατρῶν οἳ νόσον τινά φασιν ἐξ ὕλης γε γίγνεσθαι, καθάπερ τὸν ἐπὶ χυμοῖς σηπομένοις* 31 *πυρετὸν ἐκ χυμοῦ· οἷον τριταῖον μὲν ἐκ ξανθῆς, τεταρταῖον δ᾽ ἐκ μελαίνης χολῆς, ὥσπερ ἐξ ὕλης, κυρίως γίγνεσθαι· οὐ γὰρ ὑλικὸν ὁ χυμὸς τῶν τοιούτων, ἀλλὰ ποιητικὸν μᾶλλον αἴτιον, ἐξ αὐτοῦ τε γίγνεται τὰ τοιαῦτα, οὐχ ὡς ἐνυπάρχοντος, ἀλλ᾽ ὡς ἀρχὴν κινήσεως ἔχοντος.*

*4. Τὸ ποιητικὸν δὲ μηδὲ τῷ εἴδει ξυμπίπτειν τῷ ὑλικῷ αἰτίῳ πρὸς τῶν φυσικῶν μεμαθήκαμεν· ὥστε ποιητικὰ μόνον, ἀλλ' οὐχ ὑλικὰ τὰ τοιαῦτα τῶν τοιούτων γένοιτ' ἂν ποτε αἴτια. 5. Εἰ δέ που παρ' ἰατροῖς νόσον ἐξ ὕλης γίγνεσθαι λέγοιτο, καταχρηστικῶς λέγεται· καὶ ἀντιδιαιροῦσι δέ, τοῦτο λέγοντες, τὸ ἐκ χυμοῦ νόσημα τοῖς μηδὲν ἔχουσιν αἴτιον, ἢ τοῖς ἔχουσι μέν, δυσκρασίαν δέ, ἢ φαύλην*
381 *διάπλασιν· ὧν οὐδέτερον ὕλη λέγεται, οὐχ ὅτι χυμὸς ὕλη, ἐξ ἧς ἐνυπαρχούσης ὁ πυρετὸς γίγνεται, ἀλλ' ὅτι ὑλικόν τι πρᾶγμα καὶ ὑποκείμενον διαστάσεσι. 6. Παρὰ δὲ ταῦτα καὶ ἄλογον τὸ τὴν ὑγείαν τε καὶ τὴν νόσον ὡς ἐν ὑποκειμένῳ τῷ χυμῷ οἴεσθαι εἶναι, ἵν' ὁ χυμός, ἔτι μένων χυμὸς καὶ μήπω μεταβαλὼν εἰς μόριον, ὑποκείμενον εἴη νόσου τε καὶ ὑγείας κατὰ τὴν ἑαυτοῦ ὕπαρξιν, ὥσπερ τὸ*
32 *μόριον· οὐ γὰρ οὐδεμία γένοιτ' ἂν ἐνέργεια τελεία ἢ ἀτελής, τούτου τίς γένοιτ' ἂν ὑγεία καὶ νόσος; 7. Χυμὸν δὲ μηδεμιᾶς μετέχειν ψυχικῆς ἐνεργείας οὐκ ἔστιν, ὃς ἀμφιβάλλει. Δυνάμει γε μέντοι ὁ χυμὸς ὑποκείμενος ὑγείας καὶ νόσου, ὥσπερ ἐστὶ καὶ δυνάμει τὰ μόρια, εἰς ἃ μεταβάλλει, τροφὴ γινόμενα ἐκείνοις δι' ἀλλοιώσεως, ἢ ὡς ἐξ οὗ τὰ μόρια γέγονεν, ὡς ἐκ δευτέρου στοιχείου. 8. Λέγοιτο δ' ἂν ἔτι νόσος ἐν χυμῷ καὶ ὑγεία, ὡς ἐν ποιητικῷ τούτων αἰτίῳ, καὶ οὐχ ὡς ἐπιδεκτικῷ, καθ' ὃ τὰ ἀποτελέσματα ἐν τῷ ποιοῦντι, καὶ ὁ ἀνδριὰς ἐν τῷ ἀνδριαντοποιῷ. 9. Καὶ αἱ κρίσεις δὲ καὶ αἱ διαπλάσεις καὶ αἱ δυνάμεις, ἃς τῶν ἰατρῶν ἔνιοι ὑγείας καὶ νόσου φασὶν εἰδικὰ αἴτια εἶναι, καταχρηστικῶς ἐκείνων εἰδικὰ αἴτια λέγεται· εἶδος γὰρ εἴδους οὐκ ἔστιν, ὡς μικρῷ πρόσθεν ἐλέγομεν· κράσεις μέντοι καὶ διαπλάσεις εἴδη ὑλικά πως ὑγείας καὶ νόσου αἴτια· οὐ γάρ ἐστιν ἡ κρᾶσις ἢ ἡ διάπλασις ὑγεία καὶ νόσος, ἀλλ' ἡ ἐν ἐκείναις εὐκρασία ἢ δυσκρασία καὶ ξυμμετρία ἢ δυσκρασία καὶ ξυμμετρία ἢ ἀμετρία, ὥστε ὑγεία καὶ νόσος εἴδη εἴδεσι προστιθέμεναι. 10. Καὶ αἱ τῆς ψυχῆς δὲ δυνάμεις μετὰ τὴν ὑγείαν τε καὶ τὴν νόσον ἐν τῷ σώματι χρηστῶς ἢ φαύλως ἐργαζόμεναι, δοκοῦσί πως ἐκείνων εἰ-*
33 *δικὰ αἴτια· τὸ γὰρ ἐπιγιγνόμενόν τῳ δοκεῖ καὶ εἶδος ἐκείνου, ᾧ ἐπιγίγνεται. 11. Πρότερα μὲν οὖν κράσεις καὶ*

διαπλάσεις, μετὰ δὲ ὑγεία καὶ νόσος, καὶ τρίτα γε αἱ δυ-
νάμεις, ἅπαντα εἴδη· ὑγεία γε μὴν καὶ νόσος, τὰ μεταξὺ
τοῖν δυοῖν, τῶν μὲν προτέρων εἰδικά, τῶν δὲ τελευταίων
ὑλικά πως εἰσίν, ὡς εἴρηται, αἴτια. 12. Καὶ μὲν δὴ τὰς
ἐνεργείας οὐδείς ἐστιν ὃς ἀμφιγνοεῖ ὑγείας καὶ νόσου τελικὰ
εἶναι αἴτια· διὰ γὰρ τὴν ἀτελῆ ἡ νόσος ἐνέργειαν, ὥσπερ
καὶ διὰ τὴν τελείαν καὶ εὖ ἔχουσαν ἡ ὑγεία. 13. Ἐναπο-
λαμβάνοντες οὖν τὴν ἀπορίαν φαμέν, ὅτι κἂν ᾖ τὰ τοιαῦτα 382
καὶ ὑλικὰ καὶ εἰδικὰ καὶ τελικὰ ὑγείας καὶ νόσου αἴτια,
λόγος γε μὴν περὶ τούτων εἰδήσεώς τε καὶ ἀπόδειξις οὐκ
ἔστι τῷ ἰατρῷ, οὐδ' ἡ ἰατρὸς λόγον ποιεῖται· λαμβάνει γὰρ
ταῦτα ἀνυποδείκτως παρὰ τοῦ φυσικοῦ φιλοσόφου, καὶ
ὥσπερ ἀρχὰς ἀνυποδείκτους τῆς οἰκείας ὑποτίθησι τέχνης.
14. Περὶ δὲ τῶν ποιητικῶν καὶ φυλακτικῶν αἰτίων ὑγείας
καὶ νόσου λόγον ὅτι πλεῖστον ποιεῖται, καὶ δι' ἀποδείξεως
ἐκ τῶν οἰκείων ἀρχῶν ἀνιχνεύει τε καὶ συλλογίζεται περὶ
τούτων, καὶ εὑρίσκει ὁποῖα ἄττα καὶ ὅσα ἐστί. Ταῦτά τοι
τὸ παρ' ἰατροῖς αἴτιον, τὸ ποιητικόν ἐστι μόνον καὶ φυ-
λακτικὸν ὑγείας καὶ νόσου καὶ τῆς οὐδετέρας διαθέσεως
αἴτιον.

XXVI. Ἰστέον δέ, ὅτι τὸ παρ' ἰατροῖς αἴτιον τριχῶς 34
διαιρεῖται, εἴς τε τὸ ποιητικὸν καὶ τὸ φυλακτικὸν καὶ τὸ
προφυλακτικόν. Καὶ τὸ ποιητικὸν μὲν ταῖς τρισὶν ἁρμό-
ζει διαθέσεσιν, ἤ τοι ὑγείᾳ καὶ νόσῳ καὶ τῇ οὐδετέρᾳ δια-
θέσει· τὸ δὲ φυλακτικὸν ταῖς δυσίν, ὑγείᾳ καὶ νόσῳ· τὸ
δὲ προφυλακτικὸν μόνῃ τῇ οὐδετέρᾳ. 2. Διαφέρει δὲ τῷ
τὰ μὲν κατὰ βραχὺ τὰς ἐπανορθώσεις ποιεῖσθαι, πρὶν
ἀθρόον ἀπαντῆσαι τὸ βλάβος, τὸ δὲ καὶ τοῦ βλάβους,
πλὴν ἀναισθήτως πως, ἀναντήσαντος. ; Τὰ γὰρ φυλακτικὰ
οὐ προφυλακτικὰ τοῦ μέλλοντος ἔσεσθαι κακοῦ καὶ τῆς
νόσου, τὸ εἶναι ἐχούσης ἐν τῷ ἰδίῳ αἰτίῳ, ὃ δὴ τὸ σῶμά πως
διατίθησιν. ἀλλὰ φυλακτικὰ τῆς παρούσης ὑγείας καὶ τοῦ
ὑγιεινοῦ σώματος, ἐν ᾧ οὐδαμῇ οὐδαμῶς οὐθ' ἁπλῶς, οὔτε
περὶ τῆς νόσου οὐδέν. 3. Ταῦτ' ἄρα, τὰ μὲν φυλακτικὰ
τῆς ὑγείας καὶ τῆς παρούσης κατασκευῆς, τὰ δὲ προ-
φυλακτικὰ τοῦ μέλλοντος ἔσεσθαι κακοῦ καὶ τῆς νόσου
πρὸς τῶν ἰατρῶν ὀνομάζεται. 4. Ἐκ δὲ τούτων ἁπάντων

*φανερὸν γέγονεν, ὡς τὸ παρ' ἰατροῖς αἴτιον τὸ πρῶτον ὄν*
35 *ἐστιν, ἀφ' οὗ γίγνεταί τις ἐν τῷ ἀνθρωποίῳ σώματι διάθεσις ἢ διαμονὴ διαθέσεως· ἑξῆς δ' ἂν εἴη λέγειν ὁπόσα καὶ οἷα παρ' αὐτοῖς πάλιν τὰ αἴτια.*

383 XXVII. *Τῶν οὖν αἰτίων εἴθ' ὑγιεινά, εἴτε νοσώδη, εἴτε οὐδέτερα, εἴτ' αὖ πάλιν ποιητικά, εἴτε φυλακτικά, εἴτε προφυλακτικά, τὰ μὲν προκατάρχοντά τε καὶ προκαταρκτικά, τὰ δὲ προηγούμενα, τὰ δὲ συνεζευγμένα πρὸς ἰατρῶν κέκληται.* 2. *Καὶ προκαταρκτικὰ μέν ἐστι τὰ παρὰ τὴν*
3 *οὐσίαν ὄντα τοῦ σώματος, ἔξωθέν τε προσπίπτοντα καὶ ἀλλοιοῦντα τὸ σῶμα μεγάλως καὶ μεταβάλλοντα, ὧν τὰ μὲν ἐξ ἀνάγκης ἀλλοιοῖ τὸ σῶμα καὶ μεταβάλλει, οἷς ἀδύνατον αὐτῷ μὴ πλησιάζειν, τὰ δὲ οὐκ ἐξ ἀνάγκης· ἐξ ἀνάγκης μὲν ταῦτα, ἓξ ὄντα τῷ γένει· ἓν μὲν ἀὴρ καὶ ἅπαν τὸ ὁπωσοῦν περιέχον, ἕτερον δὲ ἠρεμία καὶ κίνησις ὅλου τε τοῦ σώματος καὶ κατὰ μόρια, τρίτον ὕπνος καὶ ἐγρήγορσις, τέταρτον τροφαὶ καὶ πόσεις καὶ ὅλως τὰ προσφερόμενα, πέμπτον τὰ ἐκκρινόμενα καὶ ἐπεχόμενα καὶ ἁπλῶς πλησμονή τε καὶ κένωσις, ἕκτον τὰ τῆς ψυχῆς πάθη, οἷον θυμός, χαρά, λύπη καὶ ὅσα τοιαῦτα.* 3. *Καὶ ταῦτα γὰρ παρὰ τὴν οὐσίαν τοῦ σώματος, ὅτι καὶ ἕτερόν τι ψυχὴ τοῦ σώματος. Τὰ δὲ μὴ ἐξ ἀνάγκης, ὅσα τε ἀπὸ τύχης καὶ αὐτομάτου,*
36 *καὶ ὅσα κατὰ προαίρεσιν, οἷον ξίφος ἢ θηρίον ἢ λίθος ἢ κώνειον ἢ κρημνὸς καὶ τἄλλα τῶν τοιούτων, οἷς ἐξ ἀνάγκης ἐντυχεῖν οὐκ ἔστιν, ἀλλὰ τύχῃ τε καὶ τῷ αὐτομάτῳ καὶ τῇ προαιρέσει πολλάκις ἐπέρχεταί τε καὶ οὐκ ἐπέρχεται.* 4. *Ἄφυκτά γε μὴν καὶ τὰ ἐξ ἀνάγκης, καὶ ἀεὶ τούτοις ἐντυγχάνειν ἀνάγκη, εἴ γε ζῆν μέλλει τὸ σῶμα. Δεῖ γὰρ τὸν ἄνθρωπον, εἴ γε ζῆν μέλλει, καὶ ἐν ἀέρι τὰς διατριβὰς ὅσαι ὧραι ποιεῖσθαι, καὶ κινεῖσθαι παρὰ μέρος, καὶ ἠρεμεῖν ἢ καθ' ὅλον ἢ κατὰ μόρια, καὶ καθεύδειν ὁμοίως, καὶ ἐγρηγορέναι, καὶ ἐσθίειν, καὶ πίνειν, καὶ πληροῦσθαι, καὶ κενοῦσθαι, καὶ χαίρειν ἢ λυπεῖσθαι, καὶ ὀργίζεσθαι ἢ φοβεῖσθαι, καὶ τἄλλα πάσχειν, ὅσα παθήματα τῆς ψυχῆς.* 5. *Προκαταρκτικὰ μὲν οὖν τὰ τοιαδὶ τῶν αἰτίων, ἐξ ἀνάγκης τε ἐπερχόμενα καὶ οὐκ ἐξ ἀνάγκης, ὡς εἴρηται· προηγούμενα δὲ καὶ συνεζευγμένα τὰ κατὰ τὸ αὐτὸ σῶμα,*

οἷον ἐμφράξεις, χυμοὶ καὶ κράσεις καὶ διαπλάσεις. 6. Διαφέ-
ρουσι δὲ ἀλλήλων τῷ τὰ μὲν ἀμέσως ἀποτελεῖν τὴν διά- 384
θεσιν, ὡς ἡ σῆψις τὸν πυρετόν, τὰ συζευγμένα· τὰ δὲ
ἐμμέσως, ὡς ἡ στέγνωσις ἢ καὶ ἡ ἔμφραξις τὸν πυρετὸν
διὰ μέσης τῆς σηπεδόνος, τὰ προηγούμενα. 7. Τά γε μὴν
προκατάρχοντα τῶν αἰτίων ἐνίοτε μὲν ἀμέσως ἀποτελεῖ τὴν
ἣν ἀποτελοῦσι διάθεσιν, κἂν τούτῳ τοῖς συνεζευγμένοις 37
αἰτίοις ξυνέρχεται, ὥσπερ ἡ τοῦ περιέχοντος θέρμη ἢ καὶ
ὑπερβάλλουσά τις κίνησις. ἔστιν ὅτε μηδενὸς μεσολαβοῦν-
τος τοῦ δι' οὗ, πυρετὸν ἀφ' ἑαυτῶν ἀνῆψαν καὶ ἀπετέλε-
σαν, ὡς ἐπί τινων ἐστὶν ἰδεῖν σπανιώτατα γινόμενον πυρε-
τῶν· ἔστι δὲ ὅτε καὶ ἐμμέσως ἢ μόνου μεσολαβοῦντος τοῦ
συνεζευγνυμένου αἰτίου, ἐν ᾧ καὶ προηγουμένου τόπον
ἐπέχει, ὡς ἐπὶ τῶν πλείστων ἐφημέρων ἐστὶν ἰδεῖν καὶ ἐπ'
ὀλίγων τῶν ἐπὶ χυμοῖς πυρετῶν, ἢ καὶ ἀμφοτέρων τοῦ τε
προηγουμένου καὶ τοῦ συνεζευγμένου μεσολαβούντων, ὡς
ἐπί τινων ἐφημέρων καὶ ἐφ' ὅτι πλείστων τῶν ἐπὶ χυμοῖς
γίνεται πυρετῶν. 8. Παράδειγμα τοῦ προτέρου ἐπὶ μὲν
τῶν ἐφημέρων, ὅθ' ἡ τοῦ ἡλίου θερμότης ἢ κίνησις ἢ
ἄλλο τι τῶν τοιούτων τὸ ἐν ἡμῖν ἀμέσως πνεῦμα συνάψει,
τούτου δὲ μεσολαβοῦντος, τὴν ἐφήμερον ἀποτελέσει διά-
θεσιν, ἐπὶ δὲ τῶν ἐπὶ χυμοῖς πυρετῶν, ὅθ' ἡ τοῦ ἡλίου
θερμότης ἢ σφόδρα κίνησις ἢ τροφὴ φαύλη καὶ τὰ τοιαῦτα
τὸν χυμὸν μὲν ἀλλοιώσει καὶ διαφθείρει, καὶ ἁπλῶς ἢ τὴν
κρᾶσιν ἢ τὴν διάπλασιν, ἑνὸς δὲ τούτων μεσολαβοῦντος,
ἔπειτα τὸν ἐπὶ χυμοῖς ἀνῆψε καὶ ἀπετέλεσε. 9. Παράδειγμα
τοῦ δευτέρου ἐπὶ μὲν τῶν ἐφημέρων, ὅθ' ἡ τοῦ περιέχον- 38
τος οὑτινοσοῦν ψύξις πυκνώσει μὲν τὸ δέρμα, διὰ δὲ τῆς
τούτου πυκνώσεως τὸ πνεῦμα ἀνάψει, καὶ διὰ τῆς τούτου
πάλιν ἀνάψεως τὴν ἐφήμερον διατελέσει διάθεσιν· ἐπὶ δὲ
τῶν ἐπὶ χυμοῖς πυρετῶν, οἰκεῖον μὲν καὶ τὸ ἐπὶ τοῦ ἐφημέ-
ρου ῥηθὲν προσεχῶς, εἰ διὰ τῆς τοῦ δέρματος πυκνώσεως
καὶ τῆς τοῦ χυμοῦ ἀνάψεως ἡ τοῦ περιέχοντος ψύξις τῶν
τοιούτων τινὰ πυρετῶν ἀποτελέσει, οἰκεῖα δὲ καὶ ἐν οἷς οὐχ 385
ἓν μόνον, ἀλλὰ καὶ πλείω τῶν προηγουμένων λάβοις ἂν
αἰτίων. Ἐν γὰρ τοῖς τοιούτοις τῶν πυρετῶν ὡς ἐπὶ τὸ
πολὺ πολλὰ τῶν τοιούτων ἐμπίπτει προηγούμενα αἴτια.

10. *Εἰσὶ δὲ οἳ τῶν ἰατρῶν προκατάρχουσαν μὲν καὶ προ-
καταρκτικὴν αἰτίαν φασὶ τοῦ νοσήματος τὴν διὰ μέσων
ἄλλων προηγουμένων αἰτίων ἀποτελέσασαν τὸ νόσημα, τὴν
δὲ διὰ μέσης τῆς συνεζευγμένης μόνης, κἂν ἐσωτερική τις
ᾖ, κἂν ἔξωθεν πρός τῳ πίπτει σώματι, προηγουμένην,
ἀλλ' οὐ προκαταρκτικὴν αἰτίαν εἶναί φασιν, ὥσπερ καὶ τὴν
ἀμέσως ἥντιναοῦν ἀποτελοῦσαν τὸ νόσημα συνεζευγμένην
ἀεί, διαφέρουσαν δ' ὅμως τῆς κυρίως προηγουμένης τε καὶ
συνεζευγμένης τῷ τὰς μὲν ἐν τῷ σώματι εἶναι, τὴν δ'
ἔξωθεν προσπίπτειν τῷ σώματι.* 11. *Καλῶς δ' ἂν καὶ
ἀμφότεροι γέγονεν, εἴπερ οἱ μὲν τὴν τῶν αἰτίων φύσιν
39 πρὸς ἄλληλα, οἱ δὲ τὴν τῶν αὐτῶν πρὸς τὸ νόσημα σχέσιν
τε καὶ ἀπόστασιν θεωροῦντες, διῄρουν τὰ αἴτια.* 12. *Το-
σαῦτα μὲν οὖν καὶ τοιαῦτα τὰ αἴτια, προκαταρκτικά τε ὄντα
καὶ προηγούμενα καὶ συνεζευγμένα, καθάπερ εἴπομεν. Σὺ
δέ μοι νόει, καὶ ὅτι τούτων πάλιν τὰ μὲν καθ' αὐτό, τὰ
δὲ κατὰ συμβεβηκός ἐστιν αἴτια τῶν ὧν ἐστιν αἴτια· καθ'
αὑτὸ μέν, ὅσα τὴν ποιητικὴν ἐν ἑαυτοῖς ἔχοντα δύναμιν,
ἢ δυνάμει, ἢ ἐνεργείᾳ, κατ' ἐκείνην ἀεὶ καθ' αὑτὸ τὴν
αὐτὴν ἀποτελεῖ διάθεσιν ἐν τῷ σώματι· οἷον, εἰ βούλει,
τὸ πέπερι καὶ τὸ ὄπιον, τὸ μὲν ἀεὶ θερμαῖνον καθ' ἣν
ἔχει δυνάμει θερμότητα, τὸ δὲ ψυχραῖνον τῇ ἣν καὶ δυνάμει
καὶ ἐνεργείᾳ κέκτηται ψύξει· κατὰ συμβεβηκὸς δέ, ὅσα μὴ
καθ' ἣν ἔχει δύναμιν, ὅπως ἂν ἔχοι, ἀλλὰ κατ' ἄλλο τι
τῶν ἐπισυμβαινόντων ταῖς ἐνεργείαις, τὰς διαθέσεις ἐργά-
ζονται· ὥσπερ τὸ ψυχρὸν ὕδωρ θερμαίνει μὲν τὸ σῶμα,
ἀλλ' οὐ καθ' αὑτό· οὐδὲ γὰρ ψυχρότητος καθ' αὑτὸ τὸ
θερμαίνειν, ἀλλὰ κατὰ συμβεβηκός· κατὰ συμβεβηκὸς δέ,
ὅτι τοὺς πόρους καὶ τὰς ὁδοὺς καταπυκνῶσαν τοῦ σώμα-
386 τος, ὡς πρὸς τρόπον ψυχρῷ, δι' ὧν διαπνεῖται τὸ σῶμα,
καὶ διαφορεῖται τὸ ἐν ἡμῖν ἐμφωλεῦον θερμόν, ἐκώλυσε
τὴν τοῦ θερμοῦ πρὸς τὰ ἔξω πτῆσίν τε καὶ φοράν, κἀντεῦθεν
40 τὸ σῶμα θερμότερον ἀπετέλεσεν ἑαυτοῦ.* 13. *Ὁμοίως δὲ
καὶ τὸ θερμὸν ὕδωρ ψύχει μέν, ἀλλ' οὐ καθ' αὑτό· ἐπεὶ
καὶ οὐ θερμότητος καθ' αὑτὸ τὸ ψυχραίνειν, ἀλλὰ κατὰ
συμβεβηκὸς δέ, ὅτι τοὺς πόρους καὶ τὰς ὁδοὺς ἀραιῶσαν
τοῦ σώματος, ὡς πρὸς τρόπον θερμῷ, δι' ὧν τὸ ἐν ἡμῖν*

ἔμφυτον διαφορεῖται καὶ διαπνεῖται θερμόν, ῥᾳδίαν τὴν ἐκείνου πρὸς τὰ ἔξω φορὰν εἰργάσατο, κἀντεῦθεν τὸ σῶμα τῇ τοῦ θερμοῦ διαφορήσει ψυχρότερον ἑαυτοῦ ἀπετέλεσεν.

XXVIII. Ἐπιστῆσαι δὲ ἄξιον, ὅτι οὐ μόνον ταῦτα τὰ ῥηθέντα αἴτια τῶν νοσημάτων γίνεται αἴτια, ἀλλὰ καὶ αὐτὰ τὰ νοσήματα νοσημάτων ἑτέρων ἐστὶν ὅτε γένοιτ' ἂν αἴτια. Ἐκ γὰρ τοῦ ἐφημέρου, ὥσπερ τινὸς αἰτίου, πυρετὸς ἔστιν ὅτε γίγνεται καὶ σηπεδονώδης ἀμέσως καὶ ἑκτικός, καὶ ἐκ σηπεδονώδους αὖ πάλιν ὡς ἐπὶ τὸ πλεῖστον ὁ ἑκτικός. Εἰ δ' ἐξ ἑκτικοῦ κατὰ τὸ ἀνάπαλιν δυνατὸν γενέσθαι ποτὲ σηπεδονώδη τε καὶ ἐφήμερον, καὶ ἐκ σηπεδονώδους πάλιν ἐφήμερον, ἴσως ἐν τοῖς ἑξῆς θεωρήσομεν. 2. Τοσαῦτα μὲν οὖν ἐν τῷ παρόντι περὶ τῶν αἰτίων ἐν γένει τε καὶ καθόλου. Ἑξῆς δὲ περὶ τῶν αἰτίων εἰπεῖν ἀνάγκη, δι' ὧν 41
οἱ πυρετοὶ γίγνονται· ἀγνοουμένων γὰρ τῶν αἰτίων, ἐξ ὧν οἱ πυρετοὶ γένοιντ' ἄν, οὔτ' ἀκριβῶς ἂν εἰδείη τις, τίς πότ' ἐστιν ὁ πρὸ ὀφθαλμῶν πυρετός, οὔτε τὰ συνοίσοντα φάρμακα· ποιητικὰ δὲ ταῦτα ὑγείας, καὶ φθαρτικὰ πυρετοῦ καὶ τῶν αἰτίων ἐκείνου· οὔθ' εὑρεῖν οὔτ' εἰσηγήσασθαι τέχνῃ τινὶ καὶ μεθόδῳ δυνήσαιτ' ἄν, ὃς δὴ τῆς θεραπευτικῆς μεθόδου σκοπός ἐστιν ἐξοχώτατός τε καὶ τιμιώτατος.

XXIX. Λέγωμεν τοίνυν, ὅτι τῶν πυρετῶν ἅπαντες, καὶ οἱ ἐφήμεροι, καὶ οἱ ἐπὶ χυμοῖς ἀναπτόμενοι σηπομένοις, προσέτι δὲ καὶ οἱ ἑκτικοί, τοῖς προκαταρκτικοῖς αἰτίοις ἀποτελοῦνται καὶ γίγνονται, κἂν οἱ μὲν ἀμέσως, οἱ δ' ἐμμέσως, καὶ μᾶλλόν τε καὶ ἧττον, ὡς δειχθήσεται, γίγνωνται 387
2. Ἐφήμεροι μὲν γὰρ ἀμέσως μᾶλλον ὑπὸ τῶν προκαταρχόντων γίγνονται, ὡς ἐπὶ πολὺ μὲν οἷον προηγουμένου μόνου ἐπεχόντων τόπον, ὅθ' ὑπὸ ἡλιοκαΐας ἢ κινήσεως ἢ θυμοῦ ἢ ἄλλου του τῶν τοιούτων, πρώτως τὸ ἐν ἡμῖν ἀναφθὲν πνεῦμα διὰ μέσης καρδίας κατὰ τὸ συνεχὲς παντὶ μορίῳ τοῦ σώματος τὴν παρὰ φύσιν ἐκείνην διαδώσει θέρμην. 3. Ἔστι γὰρ πρῶτον ἡ ἡλιοκαΐα ἢ κίνησις προηγουμένου τόπον ἐπέχουσα, εἶτα τὸ ἀναφθὲν πνεῦμα τὸ συν- 42
εζευγμένον αἴτιον τοῦ ἐφημέρου, καὶ τρίτον αὐτὸς ὁ ἐφήμερος πυρετὸς τὸ ἀποτέλεσμα τῶν αἰτίων· ἔστι δὲ ὅτε, μεταξὺ τῶν προκαταρχόντων αἰτίων καὶ τοῦ συνεζευγμένου,

προηγουμένου παρεμπίπτοντος αἰτίου, ὅταν τὸ μὲν περιέχον ψυχρὸν τὸ δέρμα πυκνώσῃ, ἡ δὲ τοῦ δέρματος πύκνωσις τὸ πνεῦμα ἀνάψῃ, μὴ ἑλκομένης εἴσω τῆς ἐμψυχούσης τε καὶ ῥιπιζούσης τὸ κατὰ φύσιν θερμὸν ἀερώδους οὐσίας· διαπνεῖται γὰρ ὅσαι ὧραι τὰ τῶν ζώων σώματα, τῶν μὲν ἀτμωδῶν καὶ λιγνυωδῶν περιττωμάτων εἰς τὰ ἐκτὸς ἀποχεομένων, ἀντεισερχομένης δὲ τῆς ἀερώδους οὐσίας καὶ τὸ ἔμφυτον ῥιπιζούσης θερμόν. Πυκνωθέντος δὲ τῇ τοῦ περιέχοντος ψύξει καὶ τοῖς ἄλλοις, ὅσα πυκνοῦν εἴωθε, τοῦ δέρματος, ἀνάγκη τὸ πνεῦμα ἀνάπτεσθαι κατὰ τὸν λόγον, ὃν εἴπομεν, κἀντεῦθεν τὸν ἐφήμερον γίνεσθαι πυρετόν. 4. Ἔσται γὰρ οὕτω πρῶτον μὲν αἴτιον ἡ τοῦ ὕδατος ἢ τοῦ ἀέρος ψυχρότης προκαταρκτικὸν οὖσα αἴτιον, εἶθ' ἡ τοῦ δέρματος πύκνωσις προηγούμενον αἴτιον, τρίτον δὲ τὸ ἀναφθέντα πνεῦμα τῆς ἐφημέρου διαθέσεως αἴτιον, καὶ τέταρτον αὐτὸς ὁ ἐφήμερος πυρετὸς τὸ ἀποτέλεσμα τοῦ
43 αἰτίων. 5. Διαφέρει δὲ οὐθέν, εἴτε, τῆς στεγνώσεως καὶ πυκνώσεως φαύλης οὔσης καὶ ῥᾷστα διαλυθείσης, ὁ ἐφήμερος γένοιτο μόνος καὶ ἀπογένοιτο πυρετός, μηδεμιᾶς ἑτέρας ἐπιγενομένης ἐν τῷ σώματι διαθέσεως· εἴτε, καὶ μὴ
388 διαλυθείσης, ἢ πρώτως ἢ καὶ μετὰ τὸ πνεῦμα οἱ ἐν ἡμῖν ἀναφθῶσι χυμοὶ ἢ καὶ τὰ μόρια, καὶ τοὺς σηπεδονώδεις ἢ καὶ ἑκτικοὺς ἀποτελέσωσι πυρετούς· οὐδὲν γὰρ τοῦτο πρὸς τὸν λόγον, ὃς τὸν ἐφήμερον ἐκ τοῦ περιέχοντος ἔστιν ὅτε διὰ μέσης τῆς τοῦ δέρματος στεγνώσεως ἢ πυκνώσεως λέγει γίγνεσθαι. 6. Οἱ δ' ἐπὶ χυμοῖς ἀναπτόμενοι σηπομένοις γίγνονται μὲν καὶ αὐτοὶ ὑπὸ τῶν προκαταρκτικῶν αἰτίων ἀεί, οὐ μὲν ὡς προηγουμένων αἰτίων τῶν προκαταρχόντων ποτέ, καθάπερ ἐπί τινων ἐφημέρων, ἀλλὰ διά τινος ἢ τινων τῶν αἰτίων τῶν προηγουμένων τε καὶ συνεζευγμένων· γίνονται γὰρ ὑπὸ προσεχῶν καὶ συνεζευγμένων αἰτίων ἀεί, τῶν χυμῶν καὶ τῶν ἐν αὐτοῖς σήψεων, οὐδέποτε δὲ ὡς ὑπὸ προηγουμένων τῶν προκαταρκτικῶν. 7. Καὶ τούτῳ διαφέρουσιν οἱ ἐφήμεροι τῶν ἐπὶ χυμοῖς πυρετῶν, ὅσον ἐν τοῖς αἰτίοις, τῷ τοὺς μὲν καὶ ὑπὸ τῶν προκαταρχόντων αἰτίων, ὡς προηγουμένων, γίγνεσθαι τοὺς ἐφημέρους· τοὺς δὲ ὑπὸ τῶν αὐτῶν μὲν ἀεί, οὐδέποτε δὲ

*ὡς προηγουμένων, ἀλλὰ διὰ μέσων τινὸς ἢ τινων τῶν*
*προηγουμένων αἰτίων, τοὺς ἐπὶ χυμοῖς πυρετούς.* 44

XXX. *Παραιτοῦμαι δὲ ἐνταῦθα τὸν Ἀρεταῖον καὶ*
*ἑτέρους, ἰδίαν εἰπόντας διάγνωσιν τῶν ἐπὶ χυμοῖς πυρετῶν*
*καὶ οὐκ ἀχώριστον τὸ μηδὲν τῶν προκαταρκτικῶν αἰτίων*
*ἡγήσασθαι τῶν τοιούτων πυρετῶν, ὅτι καὶ οὐδετέρῳ τῶν*
*ἄλλων γενῶν τοῦθ' ὑπάρχει, διὰ τὸ τοὺς μὲν ἐφημέρους*
*ἅπαντας ἐπὶ ταῖς προκαταρκτικαῖς αἰτίαις συνίστασθαι, τοὺς*
*δὲ ἑκτικούς, ὅταν ἄνευ τούτων γεννῶνται, μηδὲ ἐξ ἀρχῆς*
*εἰσβάλλειν, καίτοι μηδένος οἵου τ' ὄντος, οὐ πυρετοῦ μό-*
*νον, ἀλλ' οὐδὲ νοσήματος οὑτινοσοῦν, ἄνευ τινὸς τῶν προ-*
*καταρχόντων ἄρχεσθαι.* 2. *Ἀλλὰ ταῦτα μὲν ἀκριβέστερον*
*ἴσως κἀν τοῖς ἑξῆς θεωρήσομεν. Νῦν δ' ἐπειδὴ οὐχὶ περὶ*
*ἑνὸς εἴδους, ἀλλὰ περὶ πόλλων τε καὶ διαφερόντων λέγομεν*
*πυρετῶν, δίκαιον ἂν εἴη φάναι πρῶτον περὶ τῆς διαφορᾶς*
*αὐτῶν, εἶθ' οὕτω καὶ περὶ τῶν ἄλλων, καθ' εἱρμόν τινα*
*προβαινούσης τῆς ὑποθέσεως.*

XXXI. *Διαφορὰ τοίνυν πυρετῶν ἡ μὲν οὐσιώδης, ἡ*
*δ' ἐπουσιώδης· καὶ οὐσιώδης μὲν ἡ ἐκ τῆς οὐσίας αὐτῆς* 389
*τῶν πυρετῶν γινομένη, ἐπουσιώδης δὲ ἡ ἐκ τῶν ἐπισυμβαι-*
*νόντων τῇ οὐσίᾳ τῶν αὐτῶν, προσεχῶς τε καὶ πόρρω λαμ-*
*βανομένη.* 2. *Οὐσία μὲν γὰρ πυρετῶν ἡ παρὰ φύσιν*
*θερμότης, καθάπερ εἴρηται· ἡ γὰρ οὐσία τούτων τὸ μᾶλ-* 45
*λον ἐπιδέχεται καὶ τὸ ἧττον· ἔστι δὲ καὶ ἐν ὑποκειμένῳ*
*συμβεβηκός τι οὖσα, καὶ μὴ δυναμένη καθ' αὑτὴν εἶναι*
*ἢ καὶ ἐν τῷ ποιητικῷ ταύτης αἰτίῳ.* 3. *Πρὸς δὲ καὶ τρό-*
*πον ἔχει κινήσεως τῇ τοῦ, ἐν ᾧ ἐστι, φύσει τε καὶ ποιότητι,*
*εἴθ' ὑποκείμενον, εἴτε αἴτιον εἴη. Ἔτι δὲ καὶ συμπτώ-*
*ματά τινα ἀπεργάζεται.* 4. *Εἰκότως αἱ μὲν τῶν διαφορῶν*
*οὐσιώδεις εἰσί τε καὶ λέγονται, οὐ παρὰ τὸ μᾶλλόν τε καὶ*
*ἧττον τῆς παρὰ φύσιν θερμότητος λαμβανόμεναι, καθ'*
*ἃς μικρούς τε καὶ μεγάλους ὀνομάζομεν πυρετούς, οὐ κυρίως*
*μὲν ἐπὶ πολλοῦ πράγματος ὄνομα ποιότητος ἐπιφέροντες,*
*ὅμως δ' οὖν εἰθισμένοι τοῦτο ποιεῖν οὐκ ἐπὶ πυρετῶν μό-*
*νων, ἀλλὰ καὶ ἐπὶ ἄλλων μορίων, ἐν ποιότητι μὲν ἐχόν-*
*των τὴν ὕπαρξιν, ὀνομαζομένων δὲ μεγάλων καὶ μικρῶν·*
*αἱ δὲ ἐπουσιώδεις αἱ λοιπαὶ πᾶσαι διαφοραί, αἵ τε παρὰ*

τὴν ὕλην καὶ τὸ ὑποκείμενον, ἐν ᾧ ἡ παρὰ φύσιν θερ-
μότης καὶ αἱ παρὰ τὸν τῆς κινήσεως τρόπον, ἔτι δὲ καὶ
παρὰ τὰ ξυμπτώματα τῆς παρὰ φύσιν θερμότητος· ταῦτα
γάρ, ἥ τε ὕλη, ὅ,τε τῆς κινήσεως τρόπος, καὶ τὰ ξυμπτώ-
ματα ἐπισυμβέβηκε τῇ παρὰ φύσιν θερμότητι, καὶ οὐ κατ'
οὐσίαν ὑπάρχει ταύτῃ. 5. Διὰ τοῦτο καὶ τὰς ἐκ τούτων
46 λαμβανομένας τῶν πυρετῶν διαφορὰς ἐπουσιώδεις εἶναί
φαμεν καὶ οὐ κατ' οὐσίαν, κατ' οὐσίαν οὔσης τῆς πρώτης
διαφορᾶς ἣ διὰ τὸ μᾶλλόν τε καὶ τὸ ἧττον τῆς παρὰ φύσιν
θερμότητος λαμβάνεταί τε καὶ λέγεται, καθ' ἣν μεγάλους
καὶ μικροὺς φαμεν πυρετοὺς, ὥσπερ εἴρηται· πάσας δὲ
ταύτας τῶν πυρετῶν τὰς διαφορὰς τῶν πρὸ ἡμῶν τις ἀκρι-
βῶς τε ἅμα καὶ σαφῶς ἐδήλωσε λέγων.

# III.

# ΠΑΛΛΑΔΙΟΥ
## ΠΕΡΙ
# Π Υ Ρ Ε Τ Ω Ν
## ΣΥΝΤΟΜΟΣ ΣΥΝΟΨΙΣ.

---

### Προοίμιον. Edit. Bern. p. 2

Σκόπον ἔχομεν ἐν τῷ παρόντι συγγράμματι περὶ τῆς τῶν πυρετῶν διαφορᾶς σύντομον ἐκθέσθαι παράδοσιν, καὶ πρῶτον εἰπεῖν τὴν οὐσίαν τῶν πυρετῶν, καὶ τὰς διαφορὰς αὐτῶν, τάς τε οὐσιώδεις καὶ ἐπουσιώδεις, τάς τε γενικωτέρας καὶ εἰδικωτέρας· εἶτα τὰς αἰτίας αὐτῶν καὶ τὰς σημειώσεις. ἀλλά γε πρό γε τούτων εἴπωμεν, τί ἐστι πυρετός.

### α΄. Τί ἐστι πυρετός. 4

Πυρετὸς τοίνυν ἐστὶ θερμασία παρὰ φύσιν ἀπὸ καρδίας ἀρχομένη καὶ διὰ τῶν ἀρτηριῶν ἐπὶ πᾶν τὸ σῶμα ἡπλωμένη, αἰσθητῶς βλάπτουσα τὴν ἐνέργειαν.

### β΄. Τίς ἡ οὐσία πυρετοῦ. 6

Ἡ δὲ οὐσία τοῦ πυρετοῦ ἐστιν ἡ παρὰ φύσιν θερμότης. ἡ δὲ θερμότης ποιότης τίς ἐστι· πᾶσα δὲ ποιότης ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον. τὸ δὲ μᾶλλον καὶ τὸ ἧττον τοῦ εἴδους ἐξαλλαγὴν οὐ ποιεῖ.

### γ΄. Περὶ τῶν διαφορῶν τῶν πυρετῶν.

1. Γράφει δὲ ὁ Γαληνὸς ἐπὶ λέξεως οὕτως· Αἱ διαφοραὶ τῶν πυρετῶν, αἱ μὲν οἰκειόταταί τε καὶ κυριώταται κατὰ τὴν οὐσίαν αὐτῶν εἰσιν, αἱ δ᾽ ἄλλαι κατά τι τῶν συμβε-

*βηκότων. 2. Καὶ λέγομεν, ὅτι τῶν πυρετῶν αἱ διαφοραὶ*
8 *διτταί· αἱ μὲν οὐσιώδεις, αἱ δὲ ἐπουσιώδεις. καὶ οἰκειοτάτας καὶ κυριωτάτας καὶ πρώτας διαφορὰς καλεῖ ὁ Γαληνὸς τὰς ἀπὸ τοῦ εἴδους τὰς παρὰ τὸ μᾶλλον καὶ τὸ ἧττον τῆς παρὰ φύσιν θερμότητος. 3. Καὶ αὗται μὲν αἱ πρῶται διαφοραὶ εἰσάγουσιν ἡμᾶς πρὸς σημείωσιν τοῦ ὑποκειμένου σώματος, δι' ὧν ὑπαγορεύεται ἡμῖν ἡ ποιότης τῆς ὑποκειμένης καὶ πλεοναζούσης ὕλης δι' ἁφῆς τοῦ τῆς ἀρτηρίας σώματος· ἢ γὰρ θερμοτέρα ἐστίν, ἢ δακνώδης καὶ δριμυτέρα καὶ τὸ ἀνάπαλιν, ἐν οἷς αἱ οὐσιώδεις καὶ πρῶται διαφοραί. 4. Ἐπουσιώδεις δὲ διαφορὰς πυρετῶν καλεῖ τὰς ὑπὲρ τῆς ὕλης, λέγω δὴ τὰς συμβεβηκυίας ἐπὶ τῇ οὐσίᾳ, τουτ' ἔστιν ἐπὶ χυμοῖς τισιν. ἀλλ' ἐπειδὴ ἡ ποιότης τῶν πυρετῶν ἐν ὑποκειμένῳ θεωρεῖται, εἰκότως δὴ καὶ δευ-*
10 *τέραν διαφορὰν τέθεικε τὴν ἀπὸ τῆς ὕλης. 5. Καὶ ἐπειδὴ διάφορός ἐστιν ἡ ὕλη ἡ ποιοῦσα καὶ κινοῦσα τοὺς πυρετούς, διάφορον γενήσεται καὶ τὸ εἶδος τῆς κινήσεως αὐτῶν. ἢ γὰρ θερμοτέρα ἐστὶ καὶ λεπτὴ καὶ εὐέξαπτος, ὡς ἐπὶ τῆς πίσσης καὶ ἐλαίου καὶ ξηρῶν καὶ λεπτῶν ξύλων, ἢ ψυχροτέρα καὶ παχεῖα καὶ δυσέξαπτος, ὡς ἐπὶ τῶν ὑγροτέρων ξύλων καὶ τῆς λοιπῆς ὕλης ἁπάσης ὑποκειμένης τῷ πυρί. 6. Πρὸς γὰρ τὴν ποιότητα καὶ ποσότητα τῆς ὑποκειμένης καὶ πλεοναζούσης ὕλης γενήσονται καὶ οἱ πυρετοί, οἱ μὲν σφοδροί, οἱ δὲ ἀμυδροί, οἱ δὲ ὀξεῖς, οἱ δὲ χρόνιοι, ἐν οἷς αἱ οὐσιώδεις καὶ αἱ ἐπουσιώδεις διαφοραὶ τῶν πυρετῶν. 7. Εἰπόντες τοίνυν τὰς οὐσιώδεις καὶ ἐπουσιώδεις διαφορὰς τῶν πυρετῶν, εἴπωμεν καὶ τὰ γένη τούτων.*

12 *δ'. Πόσα γένη τῶν πυρετῶν.*

*1. Ἰστέον ὅτι τῶν πυρετῶν τρία εἰσὶ τὰ γένη· τὰ μὲν γὰρ αὐτῶν ἐπὶ ὑγροῖς γίνονται καὶ ἐξάπτονται, τὰ δὲ ἐπὶ στερεοῖς, τὰ δὲ ἐπὶ πνεύμασι, περὶ ὧν ὁ Ἱπποκράτης λέγει ἴσχοντα, ἰσχόμενα καὶ ἐνορμῶντα, ἴσχοντα μὲν καλῶν τὰ στερεά, ἰσχόμενα δὲ τὰ ὑγρά, ἐνορμῶντα δὲ τὰ πνεύματα. 2. Ὁ δὲ Γαληνὸς ἀναφέρει ὅτι ἀναμέμικται ἔν τε ταῖς ἀρτηρίαις ἁπάσαις διὰ πολλῶν ὀπῶν ἅμα πνεούσαις ἡ ἀερώδης οὐσία τῷ αἵματι καὶ κατὰ τὴν καρδίαν οὐδὲν ἧττον,*

*ὡς ἂν σύῤῥους ὑπάρχουσα πάσαις αὐταῖς.* 3. *Ἄρχεται μὲν* 14
*οὖν ἡ παρὰ φύσιν αὐτὴ θερμότης, ἥνπερ καὶ πυρετὸν ὀνομάζομεν, ἄλλοτε ἐξ ἄλλου τῶν εἰρημένων, καὶ εἰ μὲν οὐ φθάνῃ λυθῆναι, τῷ χρόνῳ ἐπινέμεται καὶ συνδιατίθησι τῷ πεπονθότι τὰ λοιπὰ δύο γένη.* 4. *Συνεκθερμαίνεται γὰρ ἀεὶ τῷ πεπονθότι θερμανθέντι τὸ συνεχές, ἄχρις ἂν ἐπὶ τὴν καρδίαν ἡ διάθεσις ἀφίκηται καὶ λυμαίνῃ αὐτῆς τὸ ἔμφυτον θερμόν· καὶ ῥάστη μὲν ἡ ἐκ τῶν ὑγρῶν εἰς τὸ πνεῦμα μετάληψις τῆς θερμότητος, ἧττον δ' ἑτοίμως τῷ πνεύματι συνεκπυροῦται τὰ ὑγρά, καὶ μέν γε καὶ τὸ στερεὸν σῶμα τοῖς ὑγροῖς τε καὶ ἀερώδεσιν ἑτοιμότερον μεταδίδωσι τῆς θερμασίας, ἢ αὐτὸ παρ' ἐκείνων λαμβάνει.* 5. *Πᾶσα μὲν γὰρ ἡ λεπτομερὴς οὐσία ῥᾷον ἀναλλοιοῦται τῆς παχυμεροῦς, καὶ λεπτομερεστάτη μὲν ἡ τοῦ ἀέρος οὐσία, παχυμερεστάτη δὲ ἡ τῶν στερεῶν σωμάτων, μεταξὺ* 16
*δ' ἀμφοῖν ἡ τῶν ὑγρῶν· καὶ πρῶτον μὲν τὰ πνεύματα ἑτοιμότερον μεταλαμβάνουσι τῆς θερμότητος, δεύτερον δὲ τὰ ὑγρά, καὶ εἰς ὕστερον τὰ στερεά.* 6. *Συνεκθερμαίνεται τὰ ὑγρὰ ἐν τῇ καρδίᾳ, καὶ τῷ τῆς ἀρτηρίας ἀέρι τὸ αἷμα, καὶ τῷ αἵματι ὁ ἀήρ, καὶ οὕτω πυρούμενα πάσχουσι καὶ ποιοῦσι πρὸς ἄλληλα [κατὰ] τὴν ἐπιτηδειότητα τοῦ ποιοῦντος καὶ τοῦ πάσχοντος.* 7. *Οὐδὲν γὰρ τῶν αἰτίων ἄνευ τῆς τοῦ πάσχοντος ἐπιτηδειότητος ἐνεργεῖν πέφυκε.*

### *ε'. Ὁποῖα συμβαίνει πλεονάζοντος τοῦ αἵματος.* 18

1. *Σκεπτέον οὖν ἐπὶ πάντων τούτων τὴν ὑποκειμένην καὶ πλεονεκτοῦσαν ὕλην, εἰ θερμή ἐστι καὶ λεπτή, ἢ ψυχρὰ καὶ παχεῖα, καὶ εἰ σεσημμένη ἢ ἀσαπής, καὶ εἰ ἐκτὸς τῶν* 20
*ἀγγείων ἐστὶν ἢ ἐντός, καὶ εἰ ἐν ἑνὶ μορίῳ πλεονάζει ἢ ἐν ὅλῳ τῷ σώματι.* 2. *Καὶ εἰ μέν ἐστι θερμὴ καὶ λεπτὴ καὶ σεσηπυῖα, ποιεῖ τὰς ὀξεῖς πυρετούς· εἰ δὲ ψυχρὰ καὶ παχεῖα, ποιεῖ τοὺς χρονίους· εἰ δὲ πάντῃ ἐστὶν ἀσαπὴς ἡ ὕλη, πυρετὸν μὲν οὐδόλως ἐξάψει, ἕτερον δὲ εἶδος ποιήσει νοσήματος.* 3. *Καὶ γυμνάσωμεν τὸν λόγον ἐπὶ τῶν χυμῶν, καὶ πρῶτον μὲν ἐπὶ τοῦ αἵματος· ὁπηνίκα γὰρ πλεονάζῃ καὶ παρασπαίρῃ ἐν τοῖς ἀγγείοις ἢ ἐν ὅλῳ τῷ σώματι καὶ*

ἔστιν ἀσαπές, ποιεῖ πληθώραν· εἰ [δέ γε σαπῇ, ποιήσει]
22 σύνοχον τὸν ἐπὶ σήψει· εἰ δὲ καὶ ἑνὶ μορίῳ πλεονάζῃ καὶ ἔστιν ἀσαπές, ποιήσει τὰ ἐρυθρήματα μετὰ ὄγκου· εἰ δέ γε σαπῇ, ποιήσει τὸ ἀπόστημα.

## ϛʹ. Ὁποῖα συμβαίνει πλεοναζούσης χολῆς.

Ὁμοίως καὶ ἐπὶ τῆς χολῆς· εἰ μὲν πλεονάζῃ ἐν τοῖς ἀγγείοις καὶ ἀναχυθῇ ἐν ὅλῳ τῷ σώματι καὶ ἔστιν ἀσαπής, ποιήσει ἴκτερον· εἰ δέ γε σαπῇ, εἰ μὲν ἐν τοῖς ἀγγείοις, ποιήσει καῦσον πυρετόν· εἰ δὲ ἔξω τῶν ἀγγείων, ποιήσει τὸν διαλείποντα τριταῖον· εἰ δὲ ἐν ἑνὶ μορίῳ πλεονάζῃ καὶ
24 ἔστιν ἀσαπής, ποιήσει τὸν λεγόμενον ἕρπητα· εἰ δὲ πάλιν σαπῇ, ποιήσει ἕρπητα μετ᾽ ἀναβρώσεως.

## ζʹ. Ὁποῖα συμβαίνει πλεονάζοντος τοῦ μελαγχολικοῦ χυμοῦ.

Ὡσαύτως δὲ καὶ ἐπὶ τοῦ μελαγχολικοῦ χυμοῦ ζητητέον. εἰ μὲν ἐν ὅλῳ τῷ σώματι πλεονάζῃ καὶ ἔστιν ἀσαπής, ποιήσει τὸν μέλανα ἴκτερον· εἰ δὲ πλεονάσας σαπῇ καὶ ἔστιν ἔξω τῶν ἀγγείων, ποιήσει τὸν τεταρταῖον. εἰ δὲ ἐν ἑνὶ μορίῳ πλεονάζῃ καὶ ἔστιν ἀσαπής, ποιήσει σκίρρους·
26 εἰ δέ γε σαπῇ, ποιήσει καρκινώματα ἢ φαγεδαινώματα ἢ γαγγραινώματα. καὶ ταῦτα μὲν ὑπὸ τοῦ μελαγχολικοῦ χυμοῦ.

## ηʹ. Ὅσαι διαφοραὶ τοῦ φλέγματος, καὶ τούτου πλεονάζοντος, τί συμβαίνει.

1. Ἐπὶ οὖν τοῦ φλέγματος τέσσαρές εἰσι διαφοραί· ἔστι γὰρ τὸ ὑαλῶδες, τὸ ὀξῶδες, τὸ ἁλυκόν, καὶ τὸ γλυκύ.
2. Καὶ τὸ μὲν ὑαλῶδες καὶ ὀξῶδες ποιεῖ τὰ ἀνεκθέρμαντα
28 ῥίγη καὶ τὰς ἠπιάλους πυρετούς· τὸ δ᾽ ἁλυκόν, ὅταν μὲν σαπῇ, ποιεῖ τὸν ἀμφημερινόν· τὸ δὲ γλυκὺ φλέγμα, ὡς κατὰ φύσιν ὑπάρχον, οὐδὲν τούτων ποιήσει. Ἰστέον δ᾽ ὅτι ἅπαντες οἱ προειρημένοι χυμοί, εἰ μὴ σαπῶσιν, εἶδος πυρετοῦ οὐ ποιοῦσι.

### *θ΄. Διὰ πόσας αἰτίας ἀνάπτονται οἱ πυρετοί.*

1. *Ἀνάπτονται δὲ οἱ πυρετοὶ διὰ πέντε αἰτίας· ἢ διὰ πρόσθεσιν ἐπιτηδείας ὕλης, ἢ διὰ κίνησιν, ἢ διὰ στέγνωσιν, ἢ διὰ σῆψιν, ἢ διὰ προσομιλίαν ἑτέρου θερμοῦ.* 2. *Καὶ διὰ μὲν πρόσθεσιν ἐπιτηδείας ὕλης, ὡς* 30
*ὅταν [θερμόν τι] προσενεχθῇ ἀνθρώπῳ θερμὴν ἔχοντι τὴν κρᾶσιν. οἷον πέπερι, νᾶπυ, σκόροδον, καὶ τὰ τούτοις ὅμοια καὶ ἀναδιδομένη ἡ τούτων ποιότης ἐς τὴν καρδίαν ἐκπυρώσει τὸ ἐν αὐτῇ ἐνεὸν ἔμφυτον θερμὸν καὶ ἐξάψει πυρετόν.* 3. *Διὰ δὲ κίνησιν διχῶς· ἢ γὰρ ψυχικὴν ἢ σωματικήν· καὶ ψυχικὴν μέν, ὡς ἐπὶ θυμῷ καὶ φροντίδι· σωματικὴν δέ, ὡς ἐπὶ ἀμέτρῳ κόπῳ.* 4. *Διὰ στέγνωσιν διχῶς· ἢ διὰ γλισχρότητα καὶ παχύτητα τῶν χυμῶν, ἢ διὰ* 32
*ψύξιν τοῦ περιέχοντος καὶ ξηρότητα, ὡς ὅταν ἐμφραχθῶσι καὶ πυκνωθῶσιν οἱ ἄδηλοι πόροι τοῦ σώματος, καὶ γίνεται ἀδιαπνευστία τοῦ βάθους καὶ ἐξαφθῇ ὁ πυρετός.* 5. *Διὰ σῆψιν δέ, ὡς ὅταν ἡ ὑποκειμένη καὶ πλεονεκτοῦσα ὕλη σαπῇ ἐν τῷ βάθει καὶ διαδοθῇ τῇ καρδίᾳ καὶ ἀνάψῃ πυρετόν.* 6. *Διὰ δὲ προσομιλίαν ἑτέρου θερμοῦ, ὡς ὅταν ἐν ἡλίῳ θερμανθῇ ἡ κεφαλὴ ὑπὲρ πολλά, καὶ τὸ δικτυοειδὲς πλέγμα, καὶ διὰ τῶν ἀρτηριῶν μεταδοθῇ τῇ καρδίᾳ καὶ* 34
*ἐξάψῃ τὸν πυρετόν.*

### *ι΄. Περὶ σημείων εἰσβολῆς πυρετοῦ.*

1. *Σημεῖα δὲ εἰσβολῆς πυρετοῦ ταῦτα· ἡ ἐκ τοῦ βάθους ἀναδιδομένη θερμασία, χάσμη, σκορδινισμός, ναυ-* 36
*τίαι, ἔμετος, καταφορὰ πρὸς ὕπνον, βήχιον μικρόν, ὑπότραχυ, ἄκρων κατάψυξις· καὶ ταῦτα μὲν τὰ ἔξωθεν γνωρίσματα.* 2. *Ἀπὸ δὲ τῆς τῶν σφυγμῶν κινήσεως διαγινώσκεται ἡ εἰσβολὴ τοῦ πυρετοῦ ἔκ τε τῆς σμικρότητος καὶ τῆς ἀνωμαλίας καὶ τοῦ διαλείπειν.* 3. *Καὶ ἐν μὲν τῇ ἀρχῇ τῆς εἰσβολῆς τοῦ παροξισμοῦ κατεπείγει μᾶλλον ἡ συστολὴ τοῦ σφυγμοῦ μετά τινος ἀνωμαλίας καὶ σμικρότητος· ἐν δὲ τῇ ἀναβάσει μοχθηροί πως γίνονται, ἐπαυξα-* 38
*νομένης τῆς διαστολῆς μέχρι τελείας ἀκμῆς.* 4. *Ἐπιτεινομένης δὲ τῆς θερμασίας, πρῶτον τὸ μέγεθος αὔξεται, εἶτα προσλαμβάνεται δὲ καὶ τὸ τάχος. Ὅταν γὰρ ἱκανῶς ἐκ-*

πυρωθῇ ὁ πυρετός, μεγάλους ἅμα τε καὶ ταχεῖς ἐργάζεται τοὺς σφυγμούς· εἰ δὲ πλέον, τοὺς πυκνούς.

### ια'. Πῶς γίνονται ἱδρῶτες ἐπὶ τῶν πυρετῶν.

Ἕπονται δὲ τοῖς πυρετοῖς ἱδρῶτες τρόπῳ τοιούτῳ· ὁπόταν οἱ ἀτμοὶ ἤγουν ὁ ἀὴρ κρατηθῇ ἔνδον τοῦ σώματος, καὶ διάπυρος γενόμενος ὑπὸ τῆς θερμότητος διαχέει τὰ περιεχόμενα ὑγρὰ ἐν ὅλῳ τῷ σώματι, καὶ προσπίπτων πρὸς τοὺς πόρους τοῦ σώματος ἐξωθεῖ τὰ περιεχόμενα περιτ-
40 τώματα καὶ ποιεῖ τοὺς ἱδρῶτας· οὕτω γὰρ οἱ ἀτμοὶ συνιστάμενοι ὑπὸ τὸ ὕδωρ ἀναλύονται, ὡς ἐπὶ τῶν ἑψομένων ὑδάτων ἔστιν ἰδεῖν.

### ιβ'. Ποίῳ τρόπῳ γίνονται αἱ χάσμαι πρὸ τῶν πυρετῶν.

1. Χασμῶνται δὲ πρὸ τῶν πυρετῶν οἱ νοσοῦντες καὶ διατονοῦνται, τῶν ἀτμῶν ἤγουν πνευμάτων ἀθρόως ἐκ τῶν ἔνδοθεν κινουμένων, καὶ ἐπὶ τοὺς σιαγονίτας μῦς ἀναφερομένων, καὶ βίᾳ διατεινόντων αὐτούς. 2. Ὥσπερ γὰρ ἐκ τῶν λεβήτων ἀτμὸς ἀνέρχεται πολὺς ἐφεψομένου
42 τοῦ ἐν αὐτοῖς ὕδατος, οὕτω καὶ ἐκ τῶν ἔνδοθεν τοῦ σώματος ἀνέρχεται ἀτμὸς διατείνων καὶ διϊστῶν καὶ συστρέφων τοὺς μύας τοῦ στόματος· εἰώθασι γὰρ τὰ νεῦρα χλιαινόμενα καὶ θερμαινόμενα διΐστασθαι. Καὶ οὕτω μὲν ἡ χάσμη ἀποτελεῖται.

### ιγ'. Πῶς γίνονται πόνοι τῆς κεφαλῆς.

Γίνονται δὲ καὶ οἱ πόνοι τῆς κεφαλῆς ἐπὶ τῶν πυρεττόντων, ὅταν αἱ φλέβες πλησθεῖσαι καὶ ταθεῖσαι ὑπὸ τῶν πνευμάτων τοὺς πόνους ἐπιφέρουσι τῇ κεφαλῇ τῇ βίᾳ καὶ τάσει
44 τῶν ἀναπνεομένων καὶ συνεχομένων ἔνδον πνευμάτων.

### ιδ'. Περὶ ἐφημέρων πυρετῶν τε καὶ τῆς αὐτῶν διαγνώσεως.

1. Εἰρηκότες οὖν τὰ γένη καὶ τὰ εἴδη τῶν πυρετῶν, εἴπωμεν καὶ περὶ τῶν ἐφημέρων, συνόχων, καύσων, ἐκτικῶν καὶ μαρασμῶν. 2. Καὶ λέγομεν ὅτι μὲν ἐφήμεροι

*πυρετοὶ τοῦ πνεύματος αὐτοῦ μόνου ὑπάρχουσι παθήματα
ἐπὶ προκαταρκτικῇ τινι αἰτίᾳ γινόμενοι, οἷον κόπῳ, μέθῃ,
φροντίδι, καὶ ἀγρυπνίᾳ καὶ ἀπὸ προσκόμματος τοῦ βου-
βῶνος.* 3. *Διαγινώσκονται δὲ οὗτοι πρῶτον μὲν ἀπὸ [τῶν]* 46
*σφυγμῶν, δεύτερον δὲ ἀπὸ τῶν οὔρων. καὶ ἀπὸ μὲν τῶν
σφυγμῶν, ὅτι ἐπ' αὐτῶν ἀτμωδεστέρα φαίνεται καὶ ἔνυδρος
ἡ ἁφὴ τοῦ σώματος [τῆς] ἀρτηρίας, καὶ οἱ σφυγμοὶ εἰς
τάχος ἐπιδίδονται, τὴν κατὰ φύσιν σώζοντες ὁμαλότητά τε
καὶ τάξιν.* 4. *Ἀπὸ δὲ τῶν οὔρων, τὰ μὲν ἐναιωρήματα,
τὰ δὲ ὑπόστασιν ἔχοντα· εὔχροα δὲ πάντα, καὶ πάντων
αὐτῶν ἄπεστι τὰ κακοήθη συμπτώματα.* 5. *Ἴδιον δὲ τῶν
ἐφημέρων πυρετῶν καὶ τὸ μετὰ νοτίδος τινὸς ἢ ἱδρώτων* 48
*ἀποπαύεσθαι τὴν παρακμὴν τῆς τούτων θερμασίας· καὶ
ταῦτα μὲν χωρὶς τῶν ἁπτομένων πυρετῶν ἐπὶ χυμοῖς τισι
ζέουσιν ἢ σαπεῖσιν, ἢ μορίου φλεγμονῆς καὶ στεγνώσεως.*

## *ιε'. Περὶ τῆς τῶν συνόχων πυρετῶν διαγνώσεως.*

1. *Τῶν δὲ συνόχων πυρετῶν γένος διττόν· οἱ μὲν γὰρ
αὐτῶν γίνονται ἐπὶ ζέσει τοῦ αἵματος ἐν τῇ κοίλῃ φλεβί·
οἱ δὲ ἐπὶ σήψει. καὶ οἱ μὲν ἐπὶ ζέσει τοῦ αἵματος ὀλιγοχρο-
νιώτεροί εἰσι καὶ ἀκινδυνώτεροι, οἱ δὲ ἐπὶ σήψει πολυχρω-* 50
*νιότεροι τοὐναντίον καὶ ἐπικινδυνώτεροι.* 2. *Τούτων δὲ αὖ
τῶν συνόχων ὁ σύμπας χρόνος εἷς ἐστι παροξυσμός, ἤτοι
διὰ παντὸς ὁμότονος ἢ μειούμενος ἢ αὐξανόμενος ἄχρι
κρίσεως, ἄνευ περιόδων τινῶν, καὶ οὐδείς ἐστιν ἐπ' αὐτῶν
ὁ πεπονθὼς τόπος ἐξαίρετος.* 3. *Ἀλλ' οἱ κατὰ τὰς μεγίστας
τε καὶ θερμοτάτας ἀρτηρίας καὶ τὰς φλέβας ἁπάσας χυμοὶ
καὶ μάλισθ' ὅσοι διὰ σηπεδόνα ὠμῶν χυμῶν τινων ἢ διὰ
ζέσιν ἀνάπτουσι πυρετὸν ἕνα σύνοχον ἀπ' ἀρχῆς ἄχρι τέλους
ἀδιάλειπτον, ἕως τοσούτου παραθερμαίνοντά τε καὶ δια-* 52
*καίοντα τὸν ἄνθρωπον, ἄχριπερ ἂν οἱ γεννῶντες αὐτὸν
χυμοὶ δαπανηθῶσιν ἢ πεφθῶσιν ἢ πάθωσι τὸ συναμφό-
τερον.* 4. *Διαγινώσκονται καὶ οὗτοι ἐκ τῶν σφυγμῶν καὶ
τῶν οὔρων. Ἀπὸ μὲν τῶν σφυγμῶν, καθ' ὃ ἐπὶ μὲν τοῦ
ἐπὶ ζέσει μεγάλοι τέ εἰσιν οἱ σφυγμοὶ καὶ ταχεῖς, καὶ
κατεπείγει μᾶλλον ἡ διαστολὴ εἰς τὸ εἰσαγαγεῖν τὴν καρδίαν*

καθαρὸν ἀέρα καὶ εὐκρατῶσαι αὐτῆς τὸ ἔμφυτον θερμόν. 5. Τὸ δὲ οὖρον ἐπὶ τούτων διάπυρόν τέ ἐστι καὶ καταβεβαμμένον. 6. Ἐπὶ δὲ τοῦ ἐπὶ σήψει τοὐναντίον κατεπείγει μᾶλλον ἡ συστολὴ τοῦ σφυγμοῦ διὰ τὸ ἐξωθῆσαι τὴν ὑποκειμένην σῆψιν ἐν τῷ βάθει, καὶ δακνῶδές τι τῇ ἀφῇ τῶν
54 δακτύλων ὑποπίπτει [ἐπὶ] τῷ σώματι τῆς ἀρτηρίας. 7. Τὸ δ' οὖρον ἐπὶ τούτοις λευκότερόν τε καὶ σεσηπὸς φαίνεται· καὶ ταῦτα μὲν τῶν συνόχων πυρετῶν γνωρίσματα· διέλθωμεν λοιπὸν καὶ περὶ τοῦ καύσου, καὶ ἑκτικοῦ, καὶ μαρασμοῦ.

## ιϛ'. Περὶ καύσου πυρετοῦ.

1. Ὁμοίως δὲ καὶ καῦσός ἐστι πυρετὸς διακαής, ἀνενδότως διακαίων, καὶ καταναλίσκων τὰ ἐν τῷ σώματι ὑγρά· τὸ δὲ σύμπαν σῶμα τῶν καμνόντων θερμόν τε καὶ ἐκπυρούμενον ἐντεῦθεν γίνεται, καὶ διακαίεσθαι τὴν κεφαλὴν δοκοῦσιν οἱ κάμνοντες, χαίρουσι καὶ ἥδονται τοῖς ψυχροῖς, καὶ οἱ ὀφθαλμοὶ δὲ αὐτῶν ἐρυθρώτεροι μετὰ ξηρότητός
56 τινος, καὶ ἡ γλῶσσα τραχεῖα καὶ μέλαινα. 2. Γίνονται δὲ οἱ καῦσοι διὰ ἐρυσιπελατώδη φλεγμονὴν πνεύμονος, καὶ διὰ σηπεδόνα χολωδῶν χυμῶν εἰς ἄμετρον ζέσιν ἀφικνουμένων. λύεσθαι δὲ φιλοῦσι δι' αἱμορραγίας, ὥς φησι Γαληνός· οὐκ ἄδηλον δέ σοι τὰς ἐν τοῖς καύσοις αἱμορραγίας γίνεσθαι διὰ τὴν ἐπικρατοῦσαν ξανθὴν χολήν, ἥτις μεμιγμένη τῷ αἵματι διακαίουσα τοῦτο καὶ σὺν αὐτῷ ἀναφερομένη πρὸς τὴν κεφαλήν, ῥήσσει τὰς ἐν ῥινὶ φλέβας. 3. Οἱ δὲ σφυγμοὶ θερμοὶ καὶ ταχεῖς γίνονται ὑπερζεούσης τῆς χολῆς· τὰ δὲ οὖρα ἐπὶ τούτων θερμότερά ἐστι καὶ καταβεβαμμένα ἐκ τῆς χολῆς· ὁ δὲ Ἱπποκράτης λέγει, ὅτι οἱ πλεῖστοι τῶν πυρετῶν ἀπὸ χολῆς γίνονται.

58

## ιζ'. Περὶ ἑκτικοῦ πυρετοῦ.

1. Ὁ δὲ ἑκτικὸς πυρετός ἐστιν ἀχώριστος, ἐκτήκων καὶ δαπανῶν τὴν ἐν ἑκάστῳ μορίῳ παρεσπαρμένην ὑγρότητα σύμφυτον· ἕπεται ὡς τὰ πολλὰ τοῖς ὀξέσι καὶ καυσώδεσι πυρετοῖς μηκυνθεῖσι· γίνεται δέ ποτε καὶ κατὰ προσπάθειαν τινος μορίου κυρίου. ἐπὶ τούτου ἐπίτασίς ἐστι θερμότητος καὶ ψυχρότητος, καὶ σῶμα κατάξηρον ἐκτετηκὸς καὶ αὐχμῶ-

*δες· οἱ δὲ σφυγμοὶ πυκνοί, διακαίοντες καὶ διαβιβρώσκον-
τες τὴν ἁφήν. 2. Ἴδιον δὲ ἐκτικοῦ πυρετοῦ τὸ μετὰ τὴν
τροφὴν ἐπαύξεσθαι τὴν θερμασίαν, ὡς ἐπὶ τῆς τιτάνου·
ἐπιβλισκομένου γὰρ ἐπ' αὐτῆς τοῦ ὕδατος, ἐπαύξεται μᾶλ-* 60
*λον καὶ ἀναζέει ἡ ἐν αὐτῇ ὑποκειμένη θερμότης.*

## ιη'. Περὶ μαρασμοῦ πυρετοῦ.

1. *Ὁ δὲ μαρασμός ἐστι πυρετὸς ἀδιάλειπτος, βληχρός,
ἐκδαπανῶν καὶ καταμαραίνων τὰ στερεὰ τοῦ σώματος μό-
ρια. ἕπεται δὲ ὡς ἐπίπαν τῷ προειρημένῳ πυρετῷ· μη-
κυνθεὶς γὰρ οὗτος καὶ καταναλώσας τὴν ἐν τοῖς μορίοις
ὑγρότητα, ἀφικνεῖται ἐπ' αὐτὴν τὴν καρδίαν, καὶ τὸ ἐν* 62
*αὐτῇ ὂν σύμφυτον θερμὸν καταδαπανῶν, ποιεῖ τὸν μα-
ρασμόν.* 2. *Ἐπὶ τούτων γὰρ κατάβλησις τῶν φυσικῶν
δυνάμεων γίνεται, καὶ κατάπτωσις τοῦ παντὸς σώματος·
τῆς γὰρ ἐμφύτου θερμότητος κατασβεννυμένης, ξηραίνεται
καὶ μαραίνεται τὸ σύμπαν σῶμα μὴ τρεφόμενον, δίκην
δένδρου στερηθέντος τῆς ἰκμάδος, μαρανθέντος τε καὶ
ξηρανθέντος ἐσχάτως· ἐπὶ τούτων οἱ ὀφθαλμοὶ τῶν καμνόν-
των κοῖλοι γίνονται, λήμας ἔχοντες, βλέφαρα παραπλη-
σίως τῶν νυσταζόντων, δέρμα λεῖον, ξηρὸν καὶ τεταμένον,* 64
*σφυγμοὶ ἀμυδροὶ καὶ σκληροί, τῶν ὅλων δυνάμεων ἐσχά-
τως καταβληθεισῶν.*

## ιθ'. Περὶ ἀμφημερινῶν πυρετῶν.

1. *Μετὰ δὲ τὰ γένη τῶν συνόχων πυρετῶν τῶν ἐντὸς
τῶν ἀγγείων ἐχόντων τὴν ὕπαρξιν, εἴπωμεν λοιπὸν περὶ
τῶν ἐκτὸς τῶν ἀγγείων ἐχόντων τὴν ὑποκειμένην καὶ πλεο-
νεκτοῦσαν ὕλην, λέγω δὴ ἀμφημερινῶν, τριταίων, τεταρ-* 66
*ταίων.* 2. *Καὶ οἱ μὲν ἀμφημερινοὶ πυρετοὶ φλεγματι-
κωτέροις καὶ ψυχροτέροις ἕπονται χυμοῖς, καὶ ψυχροτέραις
καὶ ὑγροτέραις φύσεσί τε καὶ κράσεσιν, οἷον γέρουσί τε καὶ
παισί, καὶ βίοις ἀργοῖς, καὶ ὥραις καὶ διαιτήμασι καὶ τοῖς
ψυχροῖς καὶ ὑγροῖς χωρίοις.* 3. *Οὗτοι δὲ γίνονται καὶ παρ-
οξύνονται ἐπὶ φλέγματι σηπομένῳ· τὸ γὰρ σαπὲν φλέγμα
ὑπὸ φύσεως ὠθούμενον, καὶ διὰ τῶν αἰσθητικῶν ὀργάνων
ἔξω σώματος φερόμενον, ἄρχεται ἀπὸ καταψύξεως τῶν*

ἄκρων, καὶ φρίκη πᾶσα δυσεκθέρμαντόν τε ἔχει, καὶ πολυ-
68 χρόνιον τὴν ἐπὶ τὴν ἀκμὴν ἀνάβασιν, διά τε τὴν ψυχρό-
τητα καὶ γλισχρότητα τοῦ ὑποκειμένου χυμοῦ· διὰ ταῦτα
βραδύτερός τί ἐστιν ἐν ταῖς εἰσβολαῖς καὶ ἐν ταῖς ἀνα-
βάσεσι τῶν παροξυσμῶν. 4. Πανταχόθεν δὲ κατὰ τοὺς
πόρους ἰσχόμενος θλίβει τε καὶ βαρύνει τὴν δύναμιν· ὑπο-
70 τύφεται γὰρ καὶ ὑποκρύπτεται καὶ δυσέξαπτον καὶ καπνώ-
δες γίνεται, ὡς ἐπὶ τῶν ὑγροτέρων ξύλων τὸ πῦρ ἐστιν
ἰδεῖν. 5. Οἱ δὲ σφυγμοὶ τούτων μικροί, ἀμυδροί, ἀραιοί
τε καὶ ἀνώμαλοι γίνονται, καὶ τὸ διάλειμμα φαυλότερον
τῶν ἄλλων ἐστίν. 6. Οὖρα δὲ λευκὰ καὶ λεπτά, ἢ παχέα
καὶ θολερά, ἢ ἐρυθρά, ὡς ἐπὶ τὸ πολύ. Καὶ ταῦτα μὲν
τοῦ ἀμφημερινοῦ τὰ γνωρίσματα.

## κ΄. Περὶ ἀκριβοῦς τριταίου.

72 1. Ὁ δὲ ἀκριβὴς τριταῖος γίνεται καὶ παροξύνεται ἐπὶ
πλήθει καὶ σήψει τῆς ξανθῆς χολῆς· αὐτὴ δὲ πλημμυροῦσα
καὶ ὑπὸ τῆς φύσεως ὠθουμένη ἔξω τῶν ἀγγείων, ἅτε δὴ
καυσώδης οὖσα καὶ διὰ τῶν αἰσθητικῶν ὀργάνων ἔξω φε-
ρομένη, καταδάκνει τε καὶ σφοδρὸν τὸ ῥῖγος καὶ τὸν πυρε-
τὸν ποιεῖ. 2. Τὸ δὲ μέγιστον μῆκος τοῦ παροξυσμοῦ ἐστιν
ὡρῶν δέκα καὶ δύο, [καὶ] ἐκλύεται καὶ λήγει εἰς καθαρὸν
διάλειμμα. 3. Ἕπεται δὲ θερμοτέραις καὶ χολωδεστέραις
φύσεσί τε καὶ κράσεσι, καὶ βίῳ ἐπιπόνῳ, καὶ ὥρᾳ καὶ χώρᾳ
καὶ ἡλικίᾳ καὶ διαίτῃ θερμῇ καὶ ξηρᾷ. 4. Οὖρα δὲ θερμὰ
καὶ ἐκχολούμενα· γίνεται δὲ ἐπὶ τούτων καὶ χολῆς ἔμετος
74 καὶ διαχωρήματα παρόμοια· καὶ νύττεται ὑπὸ τοῦ χρωτός·
ὀλιγοχρονιώτερος δέ ἐστι τοῦ προειρημένου. 5. Οἱ δὲ σφυγμοὶ
ἐπὶ τούτων μεγάλοι τε καὶ πυκνοὶ καὶ ταχεῖς γίνονται.

## κα΄. Περὶ ἡμιτριταίου ἀκριβοῦς.

Ὁ δὲ ἀκριβὴς ἡμιτριταῖος καλούμενος, σύνθετός ἐστιν
ἐκ τριταίου διαλείποντος, καὶ συνεχοῦς ἀμφημερινοῦ, ἐπὶ
χολῇ καὶ φλέγματι σηπομένοις συνιστάμενος, φυλάττων ἐν
τοῖς παροξυσμοῖς ἀμφοτέρων τῶν χυμῶν τὰ ἰδιώματα τῆς
κινήσεως· καὶ τοῦ μὲν ἀμφημερινοῦ καθ' ἑκάστην παρ-
76 οξύνοντός τε καὶ κειμένου· τοῦ δὲ τριταίου μίαν παρὰ μίαν.

### κβ΄. Περὶ ἀκριβοῦς τεταρταίου.

1. Τὸ δὲ τρίτον γένος τῶν διαλειπόντων πυρετῶν ὁ
ἀκριβής ἐστι τεταρταῖος, πολυχρονιώτερος καὶ ἐπὶ μόνῳ
γινόμενος τῷ μελαγχολικῷ χυμῷ, ψυχρῷ καὶ ξηρῷ τὴν
κρᾶσιν ὑπάρχοντι. 2. Ἡ εἰσβολὴ δὲ τούτου ὀστοκοπῶδες
ῥῖγος ἐπιτεταμένον καὶ κρυερόν· καὶ κατὰ βραχὺ ὑποστύ-
φεται, καθάπερ τις λίθος ἢ ὄστρακον· ἐπειδὰν δ᾽ ἐξαφθῇ
τις ἐξ αὐτοῦ φλόξ, οὐδὲν ὑπολείπει, εἰ μή τι καπνῶδες ἐν 78
τῷ παροξυσμῷ· ἐκκενοῦται γὰρ καὶ διαφορεῖται τὸ ἐξαφθὲν
τοῦ κινηθέντος χυμοῦ μελαγχολικοῦ, καὶ οὕτω γίνεται
διάλειμμα καθαρόν. 3. Ἕπεται δὲ ξηροτέραις καὶ ψυχρο-
τέραις φύσεσί τε καὶ κράσεσι καὶ ὥραις καὶ χώραις καὶ ἡλι-
κίαις καὶ διαίταις, ταῖς τὸν μελαγχολικὸν χυμὸν γεννώσαις.
4. Οἱ δὲ σφυγμοὶ ἐπὶ τούτων μικροὶ καὶ μοχθηροί, βρα-
δεῖς καὶ σκληροί· οὖρα δὲ ἐν μὲν τῇ ἀρχῇ λεπτά, προϊόντος
δὲ τοῦ νοσήματος καὶ παρακμάσαντος, παχύτερα γίνεται.

### κγ΄. Πῶς γίνονται οἱ διαλείποντες πυρετοί.

1. Οἱ δὲ διαλείποντες πυρετοὶ γίνονται αἰτίᾳ τοιαύτῃ,
ὡς ἡνίκα ἡ ὕλη ὑπὸ τῆς φύσεως ὠθουμένη κινηθῇ πρὸς 80
ἔκκρισιν· ταύτης δὲ κινουμένης μέρος φέρεται πρὸς τὴν
καρδίαν καὶ νωθρεύει ταύτης τὸ ἔμφυτον θερμόν· τούτου
δὲ ἀναθολουμένου καὶ νωθρευομένου ἐξάπτεται ὁ πυρετός.
2. Τοῦτο δὲ γίνεται τῆς φύσεως προνοουμένης καὶ ἐπινοου-
μένης τὸν πυρετὸν πρὸς τὸ ἀναλῶσαι καὶ καταδαπανῆσαι τὰ
πρόσω ῥηθέντα καὶ λυποῦντα αἴτια· καὶ εἰ μὲν κατισχύῃ διὰ
τοῦ ἑνὸς παροξυσμῷ καταναλῶσαι πᾶσαν τὴν πλεονεκτοῦ-
σαν ὕλην, καὶ ἐπιδαπανῆσαι μέρος αὐτῆς, τὸ διάλειμμα
ποιεῖ, καὶ ἄνεσιν προσλαμβάνουσα κινεῖ ἕτερον παροξυσμόν, 82
ἢ καὶ ἕτερον σκόπον ἔχουσα διὰ τὸ κατὰ μέρος δαπανῆσαι
καὶ ἐξατμίσαι, ἢ ἀποτεφρῶσαι πάντα τὰ ὑπολειφθέντα καὶ
θλίβοντα αὐτὴν αἴτια.

### κδ΄. Πῶς γίνονται αἱ φρίκαι.

1. Πῶς δὲ προηγοῦνται αἱ φρίκαι καὶ οἱ τρόμοι ἐπὶ
τῶν παροξυσμῶν καὶ πῶς ἄρχονται οἱ πυρετοί, διεξερχώμεθα.

2. Γίνονται δὲ αἱ φρίκαι διχῶς, ἢ γὰρ διὰ τὸ ποσὸν τῆς
ὑποκειμένης καὶ πλεοναζούσης ὕλης, ἢ διὰ τὸ ποιόν· τῶν
γὰρ φυσῶν ἤγουν τῶν πνευμάτων ἀθρόως ἐκ τῶν ἔνδοθεν
κινουμένων, καὶ εἰς ὅλον τὸ σῶμα διαδραμόντων, καὶ οἱονεὶ
84 ψυξάντων τὸ αἷμα, διὰ παντὸς τοῦ σώματος αἱ φρίκαι γί-
νονται. 3. Τῆς γὰρ ὕλης ὑπὸ φύσεως κινουμένης καὶ οἱονεὶ
ὠθουμένης, οἱ μύες καὶ τὰ νεῦρα ψυχόμενα καὶ δακνόμενα
φρίττουσι, καὶ ποιοῦσι τὴν φρίκην· εἰώθασι γὰρ καὶ δακνώ-
δεις χυμοὶ καὶ ἀτμοὶ διὰ τῶν αἰσθητικῶν ὀργάνων δια-
φερόμενοι τὰς φρίκας καὶ τὰ ῥίγη ἐκγεννᾶν.

## κε΄. Πῶς γίνονται οἱ τρόμοι.

Γίνονται δὲ καὶ οἱ τρόμοι τρόπῳ τοιῷδε· τὸ αἷμα,
φοβούμενον τὴν παροῦσαν φρίκην, συννεύει πρὸς ἑαυτὸ
καὶ ἀποφεύγει πρὸς τὰ θερμότερα μέρη τοῦ σώματος·
τούτου δὲ ἀναθολουμένου καὶ καθισταμένου ἐκ τῶν ἀκρω-
86 τηρίων ἐπὶ τὸ βάθος, τὰ σπλάγχνια καὶ τὰ στερεὰ τρέμουσι
καὶ συγκλονεῖται βίᾳ τὰ πέρατα τοῦ σώματος.

## κς΄. Πῶς ἕπονται ταῖς φρίκαις οἱ πυρετοί.

1. Ἕπονται δὲ ταῖς φρίκαις οἱ πυρετοὶ προνοίᾳ τῆς
φύσεως· ἡ γὰρ προνοητικὴ φύσις ἔνδον οὖσα, ὥσπερ ἰατρὸς
ἀγαθός, προνοουμένη τοῦ σώματος ἐπινοεῖ τὸν πυρετόν,
88 πρὸς τὸ ἐξάψαι καὶ καταδαπανῆσαι τὰ ἐπικείμενα καὶ λυ-
ποῦντα αὐτὴν αἴτια. 2. Ἐπειδὰν γὰρ ἀθροισθῇ τὸ πλεῖστον
τοῦ αἵματος εἰς τὸ βάθος, διαπλασιάζεται τὸ ἐν τῇ καρδίᾳ
ἐνεὸν ἔμφυτον θερμὸν καὶ διάπυρον γενόμενον ἐξάπτει τε
καὶ ἐξαπλοῖ τὸν πυρετὸν διὰ τῶν ἀρτηριῶν ἐπὶ τὸ ὅλον σῶμα.

## κζ΄. Τίς ἐστιν ὁ ἠπίαλος πυρετός.

1. Ὁ δὲ ἠπίαλος πυρετός ἐστιν, ὅταν ἅμα καὶ ῥιγῶσι
καὶ πυρέττωσιν οἱ κάμνοντες, καὶ ἀμφοτέρων αἰσθάνονται
90 κατὰ τὸν αὐτὸν χρόνον ἐν παντὶ μορίῳ τοῦ σώματος.
2. Τοῦτο δὲ γίνεται διὰ τὴν τοῦ χυμοῦ γένεσιν· τὸ γὰρ
ὑαλῶδες καὶ ὀξῶδες φλέγμα τὸ ὑποκειμενόν ἐστι· ὅταν μὲν
ἐπικρατῇ τὰ τῆς σήψεως, πυρέττουσι μᾶλλον· ὅταν δὲ τὰ

*τὰ τῆς ὠμότητος, ῥιγῶσι, καὶ διὰ τὸ ὑπάρχειν αὐτὰ ἠπισαπῆ ἀμφότερα ποιεῖν εἰώθασι.*

### *κη΄. Ἐκ τοῖς διαλείμμασι τῶν πυρετῶν ποῦ ἐστι τὰ αἴτια.*

*Ἀποροῦσι δέ τινες λέγοντες ἐν τοῖς διαλείμμασι τῶν
πυρετῶν ποῦ ἐστι τὰ αἴτια; πρὸς δὲ τούτους φαμέν, ὅτι
ἐν τοῖς μυσίν εἰσι κεκρυμμένα, καὶ ἐν τῷ καιρῷ δὲ τοῦ* 92
*παροξυσμοῦ ὑπὸ τῆς φύσεως ἐλέγχονται.*

### *κθ΄. Τῶν πυρετῶν τὸ θηραπευτικόν.*

1. *Ἐπὶ τούτων δὲ ἁπάντων τῶν νοσημάτων χρὴ ἀκριβῶς ἐπίστασθαι τὸν ἐπιστήμονα ἰατρὸν καὶ γινώσκειν τήν τε φύσιν καὶ τὴν κρᾶσιν τῶν καμνόντων, καὶ τὴν ἰδέαν τῶν πυρετῶν, καὶ τὴν ἑκάστου νοσήματος γένεσιν καὶ κίνησιν καὶ ἀρχὴν καὶ ἀνάβασιν καὶ ἀκμὴν καὶ τὰς ἀναλογίας αὐτῶν τῶν παροξυσμῶν καὶ τὰς τῶν περιόδων ἀνταποδόσεις.*
2. *Καὶ πρῶτος μὲν καὶ κοινὸς σκοπός ἐστιν ἐπὶ πάντων* 94
*τῶν νοσημάτων, ὡς ἀπέριττον καὶ εὔπνουν εἶναι τὸ σῶμα·
δεύτερος δὲ ἐφεξῆς τὸ πρὸς τὴν δυναστεύουσαν αἰτίαν
ἀπομάχεσθαι· πᾶν γὰρ ἔργοκ ἰατροῦ ἐπανορθωτικόν ἐστι
τῶν περὶ τὸ σῶμα σφαλμάτων. [ἐν τούτοις γὰρ αἱ διαφοραὶ τῶν πυρετῶν.]*

### *λ΄. Ἀνακεφαλαίωσις.* 96

1. *Γράφει δὲ ὁ Ἱπποκράτης ἐπὶ λέξεως οὕτως· πυρετοὶ οἱ μὲν δακνώδεές εἰσι τῇ χειρί, οἱ δὲ οὐ δακνώδεες μέν, ἐπαναδιδόντες δέ, οἱ δὲ πρηέες, οἱ δὲ ὀξέες μέν, ἡσσώμενοι δὲ τῇ χειρί· οἱ δὲ περικαέες, οἱ δὲ διὰ παντὸς βληχροί, ξηροί, ἀμυδροί· οἱ δὲ πεμφιγώδεες ἰδεῖν δεινοί· οἱ δὲ πρὸς τὴν χεῖρα νοτιώδεες.* 2. *Καὶ δακνώδεας τῇ χειρὶ καλεῖ ὁ
Ἱπποκράτης τοὺς ἐπὶ σήψει τῶν χυμῶν γινομένους πυρε-* 98
*τούς.* 3. *Οὐ δακνώδεας μέν, ἐπιδίδοντας δέ, τοὺς ἐπὶ στεγνώσει τῶν ἀδήλων πόρων τοῦ δέρματος· ἐπὶ τούτων κατ' ἀρχὰς ἐπιβάλλοντός τινος τοὺς δακτύλους ἐπὶ τὸν σφυγμόν, οὐχ εὑρίσκει αὐτὸν δακνώδη, εἰς ὕστερον δὲ ἀναδίδοται τῇ ἁφῇ ἡ ποιότης τῆς ὑποκειμένης καὶ πλεο-*

*νεκτούσης ὕλης. 4. Πρηέας δὲ λέγει τοὺς ἐπὶ πνεύμασι γινομένους, λέγω δὴ τοὺς ἐφημέρους. 5. Καὶ ὀξέας μέν, ἠρσωμένους δὲ τῇ χειρί, τοὺς ἐπὶ κόποις, οἳ κατ' ἀρχὰς μὲν ὀξεῖς φαίνονται, χρονιζούσης δὲ τῆς χειρὸς πραεῖς γίνονται. 6. Περικαέας δὲ εὐθέως, τοὺς ἐπὶ χολῇ καυσώδεις πυρετοὺς λέγει. 7. Βληχρούς, ξηροὺς καὶ ἀμυδροὺς δὲ καλεῖ τοὺς ἑκτικούς. 8. Πεμφιγωδέας δὲ ἰδεῖν δεινούς, οἱ μὲν τοὺς ἀπὸ τῆς ἡλικίας λέγουσιν εἶναι, οἱ δὲ τοὺς ἀπὸ φλυκταινῶν τινων γινομένους· ἄλλοι δὲ τοὺς ἐπὶ τῶν φρενιτικῶν. 9. Πρὸς τὴν χεῖρα νοτιώδεας δὲ λέγει τοὺς ἐπὶ ζέσει τοῦ αἵματος γινομένους πυρετούς. Ἐν οἷς αἱ διαφοραὶ τῶν πυρετῶν.*

# IV.

## ΞΕΝΟΚΡΑΤΟΥΣ
## ΠΕΡΙ
## ΤΗΣ ΑΠΟ ΤΩΝ ΕΝΥΔΡΩΝ ΤΡΟΦΗΣ.

---

### ΚΕΦΑΛΑΙΟΝ Α.

α'. Πεποίηται μὲν ἡ νηχαλέα φύσις σιτίων ἄθυρμα I.
ταῖς εὐτραπέζοις ἀπολαύσεσι· μέγα δ' ὄφελος κἀν ταῖς καθ' ὑγιείαν διαίταις.

β'. Ἐξαλλάσσονται δὲ παρὰ συγκρίσεις ἰχθύες· ἐπεὶ οἱ μέν εἰσι σκληρόσαρκοι, οἱ δὲ ἁπαλόσαρκοι. Καὶ σκληρόσαρκοι μέν, φάγροι, συνόδοντες, βούγλωσσοι· καὶ οἱ πλατεῖς, ὡς ψῆτται, ῥόμβοι. Ἁπαλόσαρκοι δέ, κίχλαι, κόσσυφοι, φυκίδες, καὶ οἱ ὅμοιοι, εὐδιαφόρητοι καθεστῶτες. Μέσοι δέ, ὀνίσκοι, βάκχοι, σκιαδεῖς.

γ'. Ἔτι οἱ μὲν πετραῖοι, οἱ δὲ πελάγιοι· τροφιμώτε- II.
ροι δὲ οἱ πελάγιοι. Οἱ δὲ παρ' αἰγιαλῶν ὄχθαῖς ἢ ὑδροχόων ἐκροαῖς κακόχυμοι καὶ ἄστομοι. Καὶ τὰ πελάγη δὲ διαφέρει· μέτριοι μὲν γὰρ οἱ κατὰ τὸν Ἀδρίαν, οἱ δε κατὰ τὸ Τυρρηνικὸν ἥδυτατοι.

δ'. Καὶ ἔαρος μὲν οἱ πλεῖστοι διὰ τὸ ᾠοτοκεῖν ἀμεί- III.
νους, ὡς τρίγλαι· θέρους δὲ φάγροι καὶ συνόδοντες. Φθινοπώρου δὲ ἧπατοι παραιτητέοι, κακόχυμοι ὄντες· κεστρεῖς δὲ καὶ λάβρακες τρυφερώτεροι.

ε'. Παρὰ δὲ ἡλικίας οἱ μὲν βραχεῖς καὶ νέοι, εὔφθαρτοι· IV.
οἱ δὲ κητώδεις, δύσχυμοι καὶ σκληροὶ καὶ κακοστόμαχοι· οἱ δὲ μέσοι, μέσως εὐδιοίκητοι.

ϛ'. Παρὰ δὲ τὰ μέρη διαλλάττουσιν. Ἐπὶ τοῖς οὐ- V.
ραίοις, οἷς κινοῦνται, γεγυμνασμένοι, εὔτροφοι, τρυφεροί· κατὰ δὲ τὴν νηδύν, ἅτε λιπώδεις, ἐπιπολαστικοί, καὶ πρὸς

VI. *ἐκκρίσεις εὔθετοι· κατὰ δὲ τὰ νῶτα σκληρόσαρκοι· κεφαλαὶ δὲ πάντως, διὰ τὸ ἁλμυρὸν καὶ λιπῶδες, ἄτροφοι καὶ δυσδιοίκητοι. Πάνυ δ᾽ εὐέκκριτοι μυραίνης τε καὶ φάγρου, καὶ μάλιστα τριγλῶν.*

*ζʹ. Παρὰ δὲ σκευασίας, ὀπτοὶ μέν, τροφιμώτεροι, δυσδιαχώρητοι δέ· ἑφθοὶ δέ, ὀλιγότροφοι, ῥᾷστα διαχωροῦντες.*

*ηʹ. Καὶ θαλάσσιοι μὲν εὔστομοι, εὐκάρδιοι, πρὸς ἀναδόσεις ῥᾷστοι, πλαδαρᾶς καὶ μαλθακῆς σαρκὸς ποιητικοί· [ποιοῦσι γὰρ] εὐχρόου αἵματος γόνιμοι, λαπακτικοὶ γαστρός.*

*θʹ. Ποτάμιοι δὲ καὶ λιμναῖοι κακοστόμαχοι, παχυμεροῦς ὕλης δραστικοί, δυσδιάκριτοι· ὧν τινες οὐκ ἀποδέουσι τῆς θαλαττίας ὕλης, καθάπερ ὁ Νειλαῖος κορακῖνος καὶ ἐν Ῥήνῳ πέρκη καὶ ἐν Τιβέρι λάβραξ, ὃς ἐστιν ἐπιστιγμένος, καὶ οἱ ἐν Ἀνίωνι λίμνῃ τε τῇ κατὰ Φαλερνοὺς ὁμοφυεῖς ἰχθύες. εὔχυλον γὰρ καὶ εὐπρόσφορον ἡ ἐκεῖ δίδωσι δίαιτα. Πάντων δὲ προκριτέον ἰχθύων τούς τε ἀβρόμους καὶ μὴ περιμέλους, εὐχύλους τε καὶ συμμέτρους.*

VII. *ιʹ. Τῶν δὲ ἰχθύων ἃ μέν ἐστι νηχαλέα, ἃ δὲ σελάχη, τὰ δὲ μαλάκια, τὰ δὲ ὀστράκια· ὧν αὗται ποιότητες·*

*ιαʹ. Ἀφύα βραχύτατόν ἐστι, συναγελαστικόν, λοπάδι σκευαζόμενον.*

*ιβʹ. Ἀλώπεκες, ἵππουροι, θρίσσαι, λέρος. Οἳ δὲ ἐκ πελάγους φεύγουσιν εἰς ποταμόν, δύσχυλοι, οὐκ εὐστόμαχοι, δύσπεπτοι. ὀλιγότροφοι.*

*ιγʹ. Ἀχάρνης, σκληροφυής, δύσφθαρτος, οὔτ᾽ εὐστόμαχος, οὔτ᾽ εὔχυλος.*

*ιδʹ. Βελόναι, ῥάμφος κερατώδεις, οὐκ εὐστόμαχοι, κακόχυλοι, ἄτροφοι, δύσφθαρτοι.*

*ιεʹ. Βῶκες, ἰουλίδες, τράγουροι, οἱ πρὸς ἐνίων σαῦροι καλούμενοι, χάνναι, καὶ πᾶν τὸ τηγάνῳ ἁρμόζον, εὔστομον, οὐκ εὐστόμαχον, οὐκ εὔφθαρτον, ἐπιπολαστικὸν κοιλίας, ἄτροφον.*

VIII. *ιϛʹ. Ἐρυθρῖνος εὔστομος, στατικὸς κοιλίας, σκληροπαγής, τρόφιμος· ἐντατικὸς πρὸς συνουσίαν, εἴ τις αὐτὸν ἐν οἴνῳ πνίξας πίοι.*

ιζ΄. Θράνις ἢ ξιφίας κητώδη ἐστὶ καὶ τεμαχίζεται. ἄστομος δ' ἐστί, ψαφαρός, δυσκατέργαστος, πολύτροφος, βρομώδης. Δι' ὃ μετὰ σινάπιος ἐσθίεται καὶ λοπάσι· κρεῖττον δὲ τὸ ὑπογάστριον.

ιη΄. Θύννος καὶ θυννίς, κολίας, ὄρκυνος, πηλαμύς, σκόμβρος, οὐκ εὐστόμαχοι, κακόχυμοι, φυσώδεις, ψαφαροί, δυσέκκριτοι, τρόφιμοι· ὧν τρυφερωτέρα ἡ πηλαμύς, ἄστομος δὲ καὶ ἄχολος ὁ κολίας, ἡ δὲ θυννὶς ὑποτέτακται, δύσπεπτος δὲ ὁ θύννος.

ιθ΄. Σύες, βάτραχοι, κέφαλοι, ἠλακατῆνες, χελιδόνες, IX.
οὐρανοσκόποι, γαλεοί, κύνες, καὶ οἱ ὅμοιοι, κακόχυμοι, βρομώδεις, ἀργῆς καὶ ὁλκίμου ὕλης γόνιμοι.

κ΄. Εὐτράπεζοι δὲ σαργοί, μελάνουροι, κάνθαροι, εὐστόμαχοι, εὔχυλοι, εὐδιοίκητοι, τροφώδεις τε, καὶ πρὸς τὰς ἐκκρίσεις εὖ ἔχουσι.

κα΄. Σάλπαι αἱ πελάγιαι, δριμεῖαι, εὔστομοι, δύσφθαρτοι, εὔχυλοι, δυσδιαφόρητοι, τροφώδεις, εὐέκκριτοι. Αἱ δ' ἀπ' αἰγιαλῶν σκληρόσαρκοι, κακόχυλοι, ἄστομοι.

κβ΄. Βούγλωσσοι, ψῆττοι, σκληρόσαρκοι, δύσφθαρτοι, εὔχυλοι, εὐέκκριτοι.

κγ΄. Γλαῦκος μετὰ λάβρακος (ἔοικε γὰρ πάντα αὐτῷ), ἧττον· προφέρει δὲ σκάρου.

κδ΄. Ἔλλοψ, εὐστόμαχος, γλυκύχυλος, τρόφιμος, εὐ- X.
έκκριτος.

κε΄. Ἥπατος ἢ μαζέας, τρυφερὸς μέσως, εὔθρυπτος, λελυμένος, εὔστομος, δύσπεπτος δὲ καὶ τρόφιμος καὶ εὐέκκριτος.

κϛ΄. Κεστρεὺς πελάγιος, ἄριστος, εὔστομος, δριμύς, οὐκ ἀπολείπων λάβρακος, εὐδιαχώρητος καὶ οὗτος πρὸς τῷ τροφίμῳ· ποταμοῖς δὲ διαυγέσι καὶ καθαροῖς νηξάμενος, ἀναχαλᾷ τὴν θαλάττιον σκληρότητα ἀπὸ τῆς τοῦ γλυκέος ἐπικράσεως. Ὁ δ' ἐν θολεραῖς καὶ στάσιμον ἐχούσαις ὕδωρ λίμναις, βρομωδέστερος, δυσδιοικητότατος· πρὸς γὰρ τῆς ἰλύος πιαινόμενος πάνυ ἀργὴν ἔχει τὴν σάρκα· μεγεθούμενος δὲ σκληροῦται. Καλοῦσι δέ τινες καὶ πλῶτα τὸν κεστρέα.

XI. κζ'. Κίθαρος καὶ ῥόμβος πλατεῖς εἰσιν. Ὁ ῥόμβος στερεός, δύσφθαρτος· χρὴ δὲ τὸν μέγαν προεωλίσαντα ἡμέραν ἑψεῖν, δυσκατέργαστον ὄντα καὶ εὔτροφον. Ὁ δὲ κίθαρος κακόχυμος καὶ οὐκ εὐστόμαχος, δύσφθαρτος, εὐέκκριτος.

κη'. Κίχλαι, κόττυφοι, φυκίδες, ἁπαλόσαρκοι, εὔχυλοι, εὐδιαφόρητοι, ἄτροφοι, πρὸς διαχώρησιν ἐπιτήδειοι.

XII. κθ'. Κόρακος σκληρόσαρκος (καὶ μᾶλλον αὐξανόμενος) βρομώδης, δυσδιοίκητος, εὐστομίας ἀποδέων, φαύλης γόμιμος ὕλης· ὧν ὁ μείων ἡδύτερος.

λ'. Λάβραξ ἐξαλλάσσεται, ὅσον αὔξεται σκληρότερος
XIII. γινόμενος· ἄριστος ὁ μείων, ἡδύς, εὐστόμαχος, εὔχυλος, τρυφερόσαρκος, γλυκύχυλος, τρόφιμος, εὐδιοίκητος, εὐέκκριτος. Τάδε μὲν περὶ πελαγίου· ὁ δ' ἐν δοξαμεναῖς, ἐναντίον τούτοις, ὡς καὶ ἐπὶ τῶν ἄλλων ἰχθύων συμβαίνει. ἄστομοι γὰρ οἱ σύγκλειστοι. Ὁ δὲ ποταμίοις καὶ ψυχροῖς ὕδασιν ὑποδύνων ἐκ τῆς θαλάττης, εὔστομος, τρυφερός· ὁ δ' εἰς λίμνας μεθιστάμενος ἰλυώδεις καὶ τεναγουμένας, πιαινόμενος, ἄστομος.

XIV. λα'. Ὀνίσκος, [οὐ] δριμύς, εὔχυλος, δυσδιοίκητος, εὐδιαχώρητος, τρόφιμος.

λβ'. Σκόρπαιναι, σκληρόσαρκοι· διὸ χαίρουσι σκευαῖς· εὔστομοι, εὔθετοι πρὸς ἐκκρίσεις.

λγ'. Σκιαδεύς, εὔστομος, εὔχυλος, εὐδιοίκητος, οὐκ ἄγαν τρόφιμος εὐέκκριτος.

λδ'. Σκάρος, εὔστομος, δυσδιαφόρητος, εὔφθαρτος διαχωρητικός· ὁ δὲ ἀρτιάλωτος καὶ μὴ ζωγρείοις ἐγκεκλεισμένος, πολλοῖς ἐγκάτοις εὔστομος, ἐπιπολαστικός, εὔφθαρτος.

XV. λε'. Συνόδους, σκληρόσαρκος μέν, οὐκ ἀτρύφερος δέ, εὔχυμος, εὐδιοίκητος, τροφώδης μέσως, καὶ εὐέκκριτος.

λς'. Τρίγλα, ἐπιφανεστάτη ὄψων, εὐστόμαχος, εὔχυλος, εὔστομος, πλακώδης σάρξ, δύσφθαρτος, μετρία πρὸς ἐκκρίσεις. Διαφέρει δὲ ἡ πελάγιος τῆς πετραίας, διάπυρρος οὖσα κινναβάρει καὶ χρυσῷ· πωγωνοφόρος δ' ἐστί· λείπονται δὲ τούτων οἱ παραιγίαλοι.

λζ'. Φάγρος, σκληρόσαρκος, δύσφθαρτος, οὐκ εὐέκκριτος.

λη'. Χρύσοφρυς, λευκόσαρκος, στερεός, σύγκριτος, εὔχυλος, εὐδιοίκητος, τρόφιμος, οὐ δυσέκκριτος.

λθ'. Γόγγρος, οὐκ εὔστομος, οὐδὲ κακόχυμος, μετρίως δ' εὔπεπτος, τροφώδης, πρὸς ἐκκρίσεις δὲ ἄμεμπτος.

[ΠΕΡΙ ΤΩΝ ΚΗΤΩΔΩΝ ΖΩΩΝ.

μ'. Φῶκαι, φάλαιναι, δελφῖνές τε καὶ ζύγαιναι, καὶ τῶν θύννων οἱ μεγάλοι, καὶ πρὸς τούτοις οἱ κύνες, ὅσα τ' ἄλλα τοιαῦτα τῶν κητωδῶν εἰσι, σκληράν τε καὶ κακόχυμον καὶ περιττωματικὴν τὴν σάρκα ἔχουσι. Διὰ τοῦτο προταριχεύοντες αὐτὰ εἰς χρῆσιν ἄγουσιν.]

## ΚΕΦΑΛΑΙΟΝ Β.

### ΠΕΡΙ ΚΝΙΔΗΣ.

μα'. Κνίδαι ἢ ἀκαλῆφαι, εὔστομοι, κακοστόμαχοι δὲ XVI.
οὐ μετρίως, ὀπταὶ δὲ τῶν ἑφθῶν ἐπιτηδειότεραι. Λυτικαὶ κοιλίας, οὐρητικαί· οὐρητικώτεραι δὲ αἱ μετὰ τὴν κάθαρσιν, αἱ φύουσαι πρὸς ταῖς ψήφοις· πιλη θεῖσαι καὶ συστραφεῖσαι πάνυ ὀλίγοις ἁλσί, πασθεῖσαί τε ὀπῷ ὀλίγῳ, μετρίως εἰσὶ σιτηραί. τῇ δὲ ὀπτήσει παρεῖσαι δι' ὀβελῶν ἢ καρφῶν, ἐπὶ ἀνθράκων μαλακῶν κλη ματίνων, ὥστε ἐναργῶς ἄρασθαι. Μετὰ γλυκέος δὲ ἢ οἰνομέλιτος, ἀναπείθουσαι γεῦσιν, εὔπεπτοι καὶ εὐέκκριτοι. Αἱ δ' ἐν γλυκεῖ καὶ ἐλαίῳ ἑψόμεναι μετὰ τῆς ἄλλης ἀρτύσεως, τὸ μὲν γλίσχρον καὶ ὁλκιμον φυλάττουσι, πλήσμιοι δὲ οὖσαι καὶ δύσπεπτοι, τὴν κοιλίαν ἀναχαλῶσι μᾶλλον.

## ΚΕΦΑΛΑΙΟΝ Γ.

### ΠΕΡΙ ΟΣΤΡΑΚΙΩΝ.

μβ'. Βαλάνων μὲν ἄρισται αἱ θέρους λαμβανόμεναι, XVII.
ἐπιτήδειοι πρὸς βρῶσιν αἳ γίνονται ὅπου ἐπιμίγνυται γλυκὺ ὕδωρ· τρόφιμοι δ' εἰσὶ καὶ γλυκεῖαι, πλέον δ' εἰσὶν αἱ ἐντρεφόμεναι πέτραις· ἥδισται γὰρ καὶ τροφώδεις, εὐλέαντοι, πολύχυλοι πρὸς κοιλίας μάλαξιν ἐπιτήδειοι, στομάχῳ προσηνεῖς, εὔστομοι, ἁπαλαί, κινητικαὶ οὔρων. Τὸν χυλὸν αὐτῶν ἁπλοῦν ἀμεταποίητον. Τὸ δὲ ἀφέψημα αὐτῶν ἐστι διαχωρητικόν. Αἱ δὲ μὴ ἐν πέτραις, δριμεῖαι καὶ φαρμακώδεις, δραστικαὶ κοιλίας πλέον, ἔλαττον δὲ τῶν οὔρων.

XVIII. μγ΄. Γλυκυμαρίδες προφέρουσι τῶν μὴ τραχειῶν χημῶν, μειονεκτοῦσι δὲ τῶν πελωρίδων. εἰσὶ δὲ εὐέκκριτοι, εὐστόμαχοι. Σκληρὸν δ' ἐστὶν αὐτῶν τὸ σαρκῶδες, οὐ μὴν ἄτροφον. Οὐρητικώτεροι δ' εἰσὶ μᾶλλον τῶν πελωρίδων. Ὠμαὶ δὲ καὶ ὀπταὶ σκληροποιοῦνται· ἑψηθεῖσαι δὲ καὶ ἀρτυθεῖσαι, εὔστομοί εἰσι. Γίγνεται δὲ καὶ γένη πελωρίδων τε καὶ χημῶν διάφορα· διάφοροι δ' αἱ ποικίλαι καὶ στρογγύλαι, ὡς αἱ ἐν Δικαιαρχίᾳ ἐν τῷ Λουκρίνῳ λάκκῳ, καὶ αἱ ἐν τῷ ἐν Ἀλεξανδρείᾳ λιμένι· γλυκεῖαι γὰρ καὶ εὔχυλοι. Αἱ δ' ὑπὲρ Φάρον καὶ τὸν Δίολκον, τήν τε γέφυραν καὶ τὴν νῆσον, ἐπιμήκεις, τραχεῖαι, βαλάνοις ἐοικυῖαι δρυΐναις, ἐμφερῶς φηγοῖς τὸν ἔχινον φερόμεναι· λευκαὶ δ' εἰσὶ καὶ σκληραὶ καὶ δριμεῖαι.

XIX. μδ΄. Κτένες κράτιστοι οἱ εὐμεγέθεις, κοῖλοι, τὴν χρόαν μελάντεροι. Ἀκμάζουσι δ' ἦρος καὶ θέρους· τότε γὰρ αὔξονται μάλιστα πρὸς σελήνην. Διάφοροι δ' οἱ ἐν Μιτυλήνῃ πάντων μεγέθει, φύσει, εὐχυλίᾳ. Φέρει δ' ὁμοίους τούτοις ὁ Ἰόνιος κόλπος κατ' Ἰλλυρίδα καὶ Σαλῶνας καὶ Λάτιον. Φέρει δὲ καὶ Χίος, καὶ συχναὶ τῶν νήσων, καὶ Ἀλεξάνδρεια. Ὁ δὲ Πόντος φέρει μὲν πολλούς, βραχεῖς δὲ καὶ δυσαυξεῖς. Γλυκεῖς δ' εἰσὶ καὶ εὐπεπτότεροι τῶν ὀστρέων. Διαχωρητικοὶ δ' εἰσὶ μετ' ὄξους καὶ ὀποῦ, διὰ τὸ ποσῆς γλυκύτητος μετέχειν, ἣν ἀποβάλλουσιν ὀπτώμενοι.

XX. με΄. Ὁμοίως δὲ καὶ οἱ λευκοὶ λύουσι κοιλίαν, κἂν παλαιοὶ ὦσιν, ἢ νεαροί· ὀλίγον δ' εἰσὶ κινητικοὶ τῶν οὔρων. Οὐκ εὔφθαρτοι δ' οἱ πυξίζοντες, καθάπερ τὰ ὄστρεα. Κρείττους δὲ οἱ ἑφθοὶ τῶν ὀπτῶν πρὸς τὸ ὑπακτικὸν τῆς γαστρός· οἱ δ' ὀπτώμενοι ἀχυμότεροι δυσέκκριτοί τε. Ὑποληπτέον δ' ἔλαττον ἔχειν τὸ ἄτοπον τοὺς ἐν τοῖς ἑαυτῶν ὀστράκοις ὀπτωμένους, εὐτροφωτέρους τε καὶ ταρακτικοὺς ἧττον. Εὐστομώτεροι δὲ οἱ ὀπτοὶ καταρρανθέντες ἀκράτῳ, εὐστόμαχοι, εὔπεπτοι, προκριτέοι τῶν ὀστρακίων. Καὶ οἱ ταριχευόμενοι δὲ κοιλίαν οὐ ταράσσουσι· τηροῦσι δὲ τὴν φυσικὴν γλυκύτητα ἐν ἅλμῃ μένοντες· οὐρητικοὶ δ' εἰσίν. Εἰσὶ δὲ οἱ λευκοὶ καὶ πλατεῖς γλυκύτεροι· σκληροὶ δὲ οἱ [λευκοί· οἱ δὲ] πυρροί, βρομώδεις καὶ οὐρητικοί, οἱ δὲ ποικίλοι, μέσοι. Καὶ ποσὰ δὲ αὐτῶν ἐμφέρει φυκίοις· ἰδίᾳ δὲ

θοθέντα, δύσπεπτα μέν, οὔρων δὲ κινητικά. Ἐσθιόμενοι δὲ οἱ κτένες ἐπαρκοῦσι τοῖς ῥυπαρὰ καὶ ἐσχαρωμένα περὶ κύστιν ἔχουσιν ἕλκη, ἀποκαθαίροντες.

μς. Κήρυκες σκληρότεροι μέν εἰσι πορφύρας, παρὰ XXI.
μεγέθη δὲ καὶ τόπους διαφέρουσι. Τρισσὰς δ᾽ ἔχουσι δυνάμεις, τοῦ τε ὀστράκου καὶ τραχήλου καὶ μήκωνος. Ἡ μὲν γὰρ ψαφαρά ἐστιν, ἰχθυώδης, στατικὴ κοιλίας, καὶ πλέον, εἰ ὀπτηθείη· ταρακτινωτέρα δ᾽ ἡ ἑφθή. Οἱ δὲ τράχηλοι αὐτῶν λύουσι κοιλίαν· δύσπεπτοι δ᾽ εἰσί. Χρὴ δὲ διὰ νάπυος, ἢ ὄξους, ἢ ὀποῦ, ἢ πεπέρεος, ἐπανορθοῦσθαι αὐτοὺς ἐσθιομένους. Τὸ δὲ ἀπ᾽ αὐτῶν ὕδωρ διαχωρητικὸν κοιλίας, θερμὸν πινόμενον. σὺν δὲ τῇ μήκωνι ἑψόμενον, κιρρότερον καὶ ἰλυῶδες. Ὅλοι δὲ καθεψηθέντες, στατικώτεροι καὶ διψώδεις γίγνονται. Ἔνιοι δὲ ἑψήσαντες αὐτούς, λεαίνουσιν ἐμφερῶς ἀκαλήφαις ἀρτύοντες γίγνονταί τε εὔστομοι. Ἀνατολικῆς δὲ σελήνης, πλήρεις· λεπτοὶ δὲ θέρους εἰσί.

μζ. Πορφύραι δὲ αἱ μείζους σκληρότεραι· καὶ τοὺς XXII.
ἑαυτῶν δὲ μέρεσιν οὐ μετρίαν διαφορὰν ἔχουσι. Τράχηλοι μὲν γὰρ δυσκατέργαστοι, δυσδιαχώρητοί τε καὶ δύσφθαρτοι, εὐστόμαχοι, ὀλιγόχυμοι, μόλις διαλυόμενοι τῇ μασήσει. Οἱ δὲ πυθμένες, ἢ μήκωνες, μαλακοί, ἰχθυωδέστεροι, εὐκατέργαστοι, διαχωρητικοί, διουρητικοί, ἱδρωτικοί, σιελοποιοί· πλεονάσαντες δέ, χολερώδεις, ναυτιώδεις, μελάνων ἐπιπολαστικοί.

μη´. Τὰ δὲ κολούλια, ἢ κορύφια, τῶν ὁμογενῶν, ὁπόσα στρομβοειδῆ, πάντων ἐστὶν ἐπιτηδειοτάτη ἡ προσφορὰ αὐτῶν, ὠμῶν τε καὶ σκευαστῶν, ἑψήσει καὶ ὀπτήσει. χυμὸν ἀνίησιν εὔστομον, εὐστόμαχον, κοιλίας ὑπαγωγόν, γλυκύν, κινητικὸν οὔρων. Μικρόσαρκα δὲ ἀνὰ λόγον κοχλίαις. Ἀπεργάζεται δὲ καὶ στόματος εὐωδίαν, πρὸς οἰνοποσίαν τε εὔθετα. ζεσθέντα τρόφιμα, ὀπτὰ δὲ σκληρά. Ἡ δὲ μήκων αὐτῶν στατικωτέρα, τρόπον κηρύκων.

μθ. Κοχλίαι, σκληροί, δυσκατέργαστοι. Τὰ δὲ τού- XXIII.
των εἴδη, τὸ μὲν ἐπίμηκες, ὅτῳ καὶ σάλπιγγος δίκην ἐμφυσῶσι· τὸ δὲ στρογγύλον, ᾧ τοὔλαιον ἀναχέουσι. Τούτων δ᾽ οἱ μὲν ὑπερμεγέθεις ἄβρωτοι, διὰ τὸ βρομῶδες καὶ σκληρὸν καὶ χολερικόν, πολύσαρκόν τε καὶ κηρῶδες. Τῶν

δὲ βραχέων ἐνίους προσφορὰ πείθει μετ᾽ ὀξυμέλιτος, ἢ χλωροῦ πηγάνου καὶ ὄξους καὶ πεπέρεος. Οἱ δὲ πενταδάκτυλοι, ὀξυπύθμενοι, καὶ ὑπ᾽ ἄλλων κληζόμενοι Ἕλικες, ἢ Ἀκτινοφόροι, ἀσαρκώτεροι μέν εἰσι παρὰ τοὺς ἄλλους κοχλίας, πλήσμιοι δὲ καὶ ἐπιπολαστικοί. Προβρεχόμενοι δὲ ὀπῷ καὶ ὄξει, πρὸς βρῶσιν ἐπιτηδειότεροι, ἐκταράξαι κοιλίαν εὔθετοι. Κοχλίαι πάντες θαλάττιοι τοὺς τραχήλους γλυκυτέρους ἔχουσιν· εἰσὶ δὲ ψαφαροί, εὔχυλοι, εὔφθαρτοι, κοῦφοι παρὰ τοὺς χερσαίους· ἰχθυωδέστεροι γὰρ καὶ μαλακώτεροι πρὸς ἔκκρισιν, εὐωδέστεροι, εὐστόμαχοι κατὰ τοὺς πυθμένας. Κοχλίαι δύσπεπτοι, παραφρακτικοί, ὄξει καὶ ὀπῷ ἢ νάπυϊ ἐσθιόμενοι, ἔτι δὲ εὐζώμῳ.

XXIV. ν΄. Λεπάδες βραχεῖαί εἰσιν· ἐν τισι δὲ μείζους, ὡς ὀστρέων δοκεῖν μὴ ἐναλλάττειν· μέγισται δὲ ἐν Ἰνδικῇ, ὡς καὶ τὰ ἄλλα πάντα. Σκληραὶ δ᾽ ἄλλως καὶ ὀλιγόχυμοι, δυσκατέργαστοί τε καὶ δυσέκκριτοι· ἑφθαὶ δὲ συναρτυόμεναι, εὔστομοι.

XXV. να΄. Μύακες, ἁλμυροί, βρωμώδεις· βοηθοῦνται δὲ ὀπῷ Κυρηναϊκῷ πηγάνῳ τε καὶ ὄξει. Ταρακτικοὶ δὲ κοιλίας καὶ διουρητικοί, οὐκ εὔστομοι, δύσπεπτοι, ἐμφρακτικοί, παχέος αἵματος φλέγματός τε γόνιμοι, καὶ μᾶλλον οἱ πρόσφατοι. Διὸ κατεργαστέον αὐτοὺς τοῖς δριμέσι, νάπυϊ, εὐζώμῳ, καρδάμῳ. Ὀπτοὶ δυσδιαχώρητοι, πολύδιψοι, βαρεῖς· οἱ δὲ ἑψηθέντες καὶ τριβέντες καὶ ἀρτυθέντες, ἧττον ὄντες βρωμώδεις, τὰ ἴσα ποιοῦσι τοῖς στρομβώδεσι.

νβ΄. Μυΐσκαι στρογγυλώτεραι μέν εἰσι μυάκων, μικρότεραι δὲ καὶ δασεῖαι, ὄστρακά τε λεπτὰ φέρουσαι, τὰς σάρκας τε ἁπαλώτεραι καὶ γλυκύτεραι, τοὺς χυμοὺς διαφορώτεραι. Οἱ αὐτοὶ δ᾽ ἀτροφώτεροι, δηκτικοὶ στόματος καὶ φάρυγγος, ἀναδάκνοντες τὴν κατάποσιν, καὶ τὴν φωνὴν δασύνοντες, ἢ ἀποκόπτοντες τῶν πολλοὺς φαγόντων, ξηρᾶς τε κινητικοὶ βηχὸς καὶ βράγχης. Οὐκ ἀγαθοὶ δὲ οἱ ἀμμώδεις, ἢ ἐν ὀστράκοις κεραμιῶν, οἵ τε ἀπὸ τῶν πετρῶν ἢ φυκίων· δριμεῖς γὰρ οἵδε.

XXVI. νγ΄. Ὄστρεα τὰ πελάγια, σπάνια καὶ ἀχρεῖα, διὰ τὸ μὴ θεωρεῖσθαι ὑπὸ ἡλίου· γίνεται δὲ καὶ μικρομεγέθη, πικρά τέ εἰσι καὶ οὐκ ἐδώδιμα, διὰ τὸ δηκτικὸν τῆς κοιλίας.

*Χαίρει γὰρ ἐπικιρναμένῃ γλυκέσι θαλάσσῃ· γλυκυχύλους προσαύξοντα σάρκας. Διὸ κάλλιστα τὰ κατὰ τὰς ἐκβολὰς τοῦ Νείλου ἐν Αἰγύπτῳ, καὶ ἐν Ἐφέσῳ κατὰ τὴν εἰσβολὴν τοῦ Καΰστρου, ἃ εἰς καταβόλους τίθεται ὡς σπέρματα, καὶ αὔξεται· ἔαρι δὲ ἐμπίπλανται παχυνόμενα λευκῷ χυμῷ γαλακτώδει. Κατά τε πόλιν Βρεντέσιον, Ταρακῶνα Ναρβῶνα, Δικαιαρχίαν ἐν Λουκρίνῳ λάκκῳ, Χελιδονίας, Λευκάδα, Ἄκτιον, καὶ κόλπον Λιβυκόν, τοῦτον τὸν τρόπον γίνεται.*

*νδ'. Πελωρίδες, ἢ μελαινίδες, κάλλισται αἱ ἐμφερεῖς ὀστρέοις, ἐν τέλμασιν, ἰλύϊ τε βορβορώδει, ὅπου μίγνυται ὕδωρ γλυκύ. Αἱ δὲ ἐν βυθῷ, σπάνιαι καὶ ἀηδέστεραι. Ταύταις χρῶνται ἐζωμοποιημέναις πρὸς λύσιν κοιλίας χρησίμως. Πεπτικαὶ δ' εἰσὶ καὶ διαχωρητικαὶ μετρίως.*

*νε'. Αἱ δὲ πίνναι, τόπων μὲν ἕνεκεν ἐπιτήδειοι, ἁπαλαί, εὔτροφοι, αἱ ἐκ τῶν τεναγωδῶν λαμβανόμεναι, καὶ ἐκ τῶν ἐπικιρναμένων γλυκεῖ ὕδατι καὶ ἀκύμονι. Τῷ τε γὰρ μὴ βλάπτεσθαι πρὸς τῶν κυμάτων ἁπαλαὶ μένουσιν· οἵ τε πιννοφύλακες, κοινωνοῦντες τῆς τροφῆς, ἐν τοῖς γαληνιζομένοις εὐαγροῦσι τῇ πίννῃ, καὶ μᾶλλον ὑπὸ τοῖς πετρώδεσι καὶ πηλώδεσιν ὑφεστήκασι. Μεγέθους δ' ἕνεκα, αἱ μικραὶ τῶν μειζόνων ἁπαλώτεραι. Ὥρας δὲ ἐαρινῆς καὶ θέρους ληφθεῖσαι, τῶν κατὰ τὰς ἄλλας παρὰ μέγα διαφέρουσι· πρὸς γὰρ τῇ εὐτροφίᾳ καὶ γλυκεῖαι τηνικαῦτα γίνονται. [Μεγέθους δὲ ἕνεκεν, αἱ μὴ μεγάλαι κρείττους.] Αἱ δὲ μέσαι, μαλακήν, λευκήν, γλυκεῖαν ἔχουσι σάρκα. Τράχηλοι μὲν γὰρ αὐτῶν, σκληροί, δύσπεπτοι, δυσδιαίρητοι, δύσφθαρτοι· τὸ δὲ σῶμα τῶν τραχήλων εὐφθαρτότερον ἔχουσιν. Ἑψῶνται δὲ γλυκεῖ, ἐλαίῳ, μέλιτι, καὶ οἴνῳ ὁμοίως. Καὶ τῶν ἐξ ὕδατος ἀνεζεσμένων μετὰ νάπυος ἔξω τῶν κογχυλιωδῶν φύσεως ἡ χρῆσις. Ὀπταὶ δὲ σκληρότεραι τῶν ἑφθῶν, καὶ μᾶλλον αἱ τῷ οἴνῳ ἐρραμέναι· ἄμεινον δὲ δι' ὀποῦ καὶ ὄξους, ἢ νάπυος. Τῶν δὲ ἐν οἴνῳ καὶ ὄξει βραχεισῶν ἁπαλωτέρα ἡ σάρξ, φυσώδης δέ.* XXVII.

*νς'. Στρόμβοι δέ, σκληροί, δυσκατέργαστοι, μᾶλλον δ' οἱ τῶν ὠτίων μείζους. Μετὰ νάπυος δὲ καὶ ὀποῦ πρόσφοροι, λειοτριβηθέντες ἐν ὄξει.* XXVIII.

νζ. Σωλῆνες ἢ αὐλοί, ἢ δόνακες ἄρρενές εἰσι καὶ θήλειαι, αἳ καλοῦνται ὄνυχες· διαφορὰν δ' ἔχουσι. Καθαρτικαὶ γάρ εἰσιν αἱ θήλειαι, οὔρων κινητικαί, ὑγραίνουσι. Σκευάζονται δὲ ἀνοιγόμενοι. Οἱ δὲ πρόσφατοι καὶ μεγάλοι, μέλανες, ῥαβδωτοὶ καθ' ἑτερόχροιαν, ἄρρενες ταρακτικοὶ οὔρων. Ἀλυπότατοι δὲ μετὰ ἁλῶν καὶ ὄξους· μοχθηροὶ δὲ καὶ ἐπιπολαστικοὶ μετ' ἐλαίου καὶ ἁλῶν ληφθέντες· ἐμφερῶς τευθίσι πρόσφατοι μόνον παρασκευάζονται. Κράτιστοι δ' οἱ μείζους καὶ παχύτεροι, ὀπτοί· οἱ δ' ἐλάχιστοι, γλυκεῖς· γλυκύτεραι δ' αἱ θήλειαί εἰσι, μονόχροοι. Ἀκμάζουσι δὲ θέρους. Ταριχηροὶ δὲ ἀηδεῖς.

XXIX. νη'. Τήθεα γίγνονται ἐν βορβόρῳ καὶ φυκιοφόροις ἀκταῖς· εὑρίσκεταί τ' ἐν βρύοις καὶ πράσοις καὶ φυκίοις. Ἔοικε δὲ φυτῷ θαλαττίῳ μύκητι· δυσέκρυπτον δὲ ταῖς χερσὶν ἐναπολείπει ποιότητα. Μάλιστα δ' αὐτῶν τὰ δερματώδη ἀκατέργαστά ἐστιν. Ἐπαρκεῖ δὲ τοῖς νεφροὺς ἢ στόμαχον κακουργουμένοις, καὶ τεινεσμώδεσι, καὶ ἰσχιαδικοῖς, τῇ τε ἄνω κοιλίᾳ, μετὰ πηγάνου διδόμενα. Τέμνεται δὲ καὶ πλύνεται ὀπῷ τε Κυρηναϊκῷ καὶ πηγάνῳ, ἅλμῃ τε καὶ ὄξει συναρτύεται, ἢ μετ' ὄξους, ἢ προτρόπου, σὺν ἡδυόσμῳ χλωρῷ. Κάλλιστα δὲ τὰ ἐν Σμύρνῃ τῆς Ἀσίας. Αἴγυπτος δὲ οὐδόλως φέρει.

XXX. νθ'. Τελλῖναι, ἢ ξιφύδρια, διαχωρητικὰ κοιλίας. Γίνονται δὲ ἐν ἀμμώδεσι χωρίοις καὶ κυμαίνουσιν αἰγιαλοῖς. Αἱ δὲ ποτάμιαι μείζους καὶ πολυχυμότεραι, ὡς αἱ ἐν Αἰγύπτῳ. Αἱ δὲ ἑψηθεῖσαι, γλυκεῖαι· ὧν ὁ ζωμὸς λύει κοιλίαν. Μεμυκυῖαι δὲ ἁλὶ πάσσονται, καὶ διὰ τῶν ὀστράκων ἕλκουσιν ἰκμάδα. Πλύνονται ψυχρῷ, καὶ μετ' ὀξελαίου καὶ ἡδυόσμου, ἢ καὶ πηγάνου ἐσθίονται. Τοῖς δὲ βουλομένοις λύειν κοιλίαν μετὰ λαχάνων λιτῇ ἀρτύσει σκευάζονται. Ἀκμαῖαι δὲ βρωθεῖσαι ἔαρος κάλλιστοι.

XXXI. ξ'. Τῶν δὲ χημῶν τὰς τραχείας γλυκυμαρίδας ἔνιοι καλοῦσιν, οἱ δὲ κόγχας· αἳ καὶ μῆκος ἔχουσιν, ἔλαττον δὲ τῶν κατ' Αἴγυπτον γινομένων. Καὶ κατὰ μὲν τὴν τμῆσιν τραχύτητας ἔχουσι προσεοικυίας τῶν δρυΐνων βαλάνων πυέλοις· κατὰ μῆκος δ' εἰσὶ ῥαβδωταί, ἐπαναστάσεις διαφόρους τῶν ἄλλων ἔχουσαι. Αἱ θαλαττίζουσαι δὲ τὴν γεῦ-

σιν, σκληρόσαρκοι καθεστῶσαι, δίδονται τοῖς ἀσθενέσι· τὸ δ᾽ ἀπ᾽ αὐτῶν ὕδωρ ἐπιτήδειον στομάχῳ, κοιλίας τε ὑποβιβασμῷ, καὶ πρὸς οὖρα. Αἱ δὲ ταριχευθεῖσαι ἐφελκύσαι δύνανται στόμα κατὰ τὴν βρῶσιν, καὶ μᾶλλον μετὰ νάπυος, ἢ ὄξους καὶ πηγάνου. Αἱ δὲ λεῖαι χῆμαι παρὰ μέγα διαφέρουσι τῶν τραχειῶν. Αὗται δ᾽ εἰσὶν αἱ πλατὺ τὸ ὄστρακον ἔχουσαι καὶ διαυγές· εὔπεπτοι, εὔτροφοι, εὔχυμοι, γλυκεῖαι, οὐκ ἀπηνεῖς στομάχῳ. Ὀπῷ δὲ καὶ νάπυϊ ἐσθίονται, καὶ λιπάδι καὶ ὀπταί. ἑφθῶν δὲ ὁ ζωμὸς λύει κοιλίαν.

ξα΄. Αἱ δὲ γλυκυμαρίδες χαριέστεραι τῶν λειοστράκων κογχῶν, ἧττους δὲ πελωρίδων. Διαλλάττουσι δὲ κατὰ τόπους τοῖς εἴδεσιν, ὡς πελωρίδες, καὶ χυμῷ καὶ ποικιλίᾳ καὶ σχηματισμῷ. Αἱ μὲν γὰρ ἐν τῷ ἐν Ἀλεξανδρείᾳ λιμένι ἄρισται· αἱ δὲ περὶ τὸν Διολκον καὶ Φαρον καὶ γέφυραν, ἐπιμήκεις καὶ τραχεῖαι.

ξβ΄. Τὰ δὲ καλούμενα ὠτία γίνονται πρὸς πέτραις. XXXII.
Σκληρὰ δ᾽ ἐστί, δύσπεπτα, ἄστομα, κακοστόμαχα, διαχωρητικά. Ἀπὸ τηγάνου δὲ προσφέρονται· οὐ γὰρ ἄλλως ἡδύνονται. Γίνονται δὲ μεγάλα ἐν Ἰλλυρίᾳ κατὰ τὸν Ἰόνιον κόλπον. ἐσθίονται δὲ ὀπῷ, ὄξει, πηγάνῳ.

## ΚΕΦΑΛΑΙΟΝ Δ.

### ΠΕΡΙ ΙΧΘΥΩΝ ΤΑΡΙΧΗΡΩΝ ΚΗΤΩΔΩΝ.

ξγ΄. Οἱ δὲ τάριχοι, κοινῶς μέν εἰσιν εὔστομοι, κακόχυ- XXXIII.
λοι δέ, κακοστόμαχοι, λεπτυντικοί, καὶ ταρακτικοὶ κοιλίας. Ταρίχων δὲ οἱ μὲν σκληρόσαρκοι, οἱ δὲ φύσει ὑγροπαγεῖς καὶ ἁπαλοί, οἱ δὲ μέσως· καὶ οἱ μὲν σαρκώδεις, οἱ δὲ ἐμπίμελοι· καὶ οἱ μὲν παλαιοί, οἱ δὲ μέσοι, οἱ δὲ πρόσφατοι. Ὧν οἱ μὲν παλαιοὶ ἐπιτεταμένοι, οἱ δὲ νεαλεῖς ὑποβεβηκότες, οἱ δὲ μεσοχρόνιοι σύμμετροι. Καὶ οἱ μὲν ἄγαν πίονες ἐπιπολαστικοί, οἱ δ᾽ ἧττον, ἐκείνων θρεπτικώτεροι. Τῶν δ᾽ ἄλλων οἱ σκληρόσαρκοι, δύσφθαρτοι· οἱ ἁπαλώτεροι φθείρονται ῥᾳδίως.

ξδ΄. Κολίαι, εὔστομοι, κινητικοὶ κοιλίας· κράτιστοι δὲ XXXIV.
οἱ Ἰβηρικοί.

ξε΄. Πηλαμὺς μικρὰ γίνεται ἐν Μαιώταις· εὔστομος, εὔφθαρτος, εὐέκκριτος.

ξϛʹ. *Κύβιον, πηλαμὺς μετὰ τεσσαράκοντα ἡμέρας ἀπὸ Πόντου ἐπὶ Μαιῶτιν λίμνην ὑποστρέφουσα, εὔστομος, εὔχυλος.*

ξζʹ. *Τὸ δὲ ὡραῖον καλούμενον ἡδύ, εὔτροφον, ἄδιψον.*

ξηʹ. *Τρίτυμον, δύσφθαρτον, στερεώτερον τοῦ κυβίου, τἄλλα δὲ ἐμφερές.*

ξθʹ. *Ὄρκυνος πηλαμύς ἐστι μεγάλη, μὴ ὑποστρέφουσα ἐπὶ τὴν λίμνην· ἐμφερὴς δὲ τῷ τριτόμῳ, πλὴν δυσφθαρτότερος· διὸ ὑπομένει παλαίωσιν.*

οʹ. *Ἀπόλεκτον ψαφαρώτερόν ἐστι τοῦ τριτόμου, εὐστομίᾳ λειπόμενον, εὐδιοίκητον, πεπτικόν.*

οαʹ. *Σάρδα, πηλαμύς ἐστιν ἐπιμήκης ὠκεάνιος, εὔστομος, δριμύτητι κυβίου προφέρουσα, κινητικὴ ὀρέξεως, πρὸς ἐκκρίσεις εὐόλισθος.*

οβʹ. *Σκόμβρος εὔστομος, δύσφθαρτος, δίψους ποιητικός· κράτιστος δὲ ἐν Παρίῳ.*

XXXV. ογʹ. *Τὰ δὲ ἐκ θύννων γινόμενα ταρίχη συχνὴν πρὸς ἄλληλα διαφορὰν ἐνδείκνυται. Ἃ μὲν γὰρ αὐτῶν ἐστι εὐδιοίκητα, ἃ δὲ δυσοικονόμητα. Αὐχὴν μὲν γὰρ αὐτῶν γίνεται ὠμοτάριχος· ἔστι δὲ εὔστομος, δύσφθαρτος, διὰ τὸ ἀπίμελον· κράτιστος δὲ ὁ Κυμαῖος. Κοιλία δὲ τοῦ θύννου πρόσφατος μέν, ἐδώδιμος (οὐχ ὑπομένει γὰρ πρὸς παλαίωσιν), εὐστόμαχος ὡς ἐν ταρίχει, εὔχυλος, εὐδιάφθορος, ἐπιπολαστικὴ δὲ διὰ τὸ πιμελῶδες. Τὰ δὲ λοιπὰ μέρη, μελάνδρυα καλούμενα διὰ τὴν ἐμφέρειαν πρὸς τὰς μελαινούσας τῆς δρυὸς ῥίζας, παρορμητικὰ ὀρέξεως νάπυος παραπλοκῇ, τοῦ δ' ὑπογαστρίου δυσφθαρτότερα, τῷ πιμελῆς ἀπηλλάχθαι.*

οδʹ. *Τάδε μὲν κυρίως καὶ συνήθως κλήζεται ταρίχη, καί τοι συχνῶν καὶ πολυτελῶν ἄλλων ἰχθύων κατὰ τοὺς νήσους ἁλιζομένων· τρίγλαι γὰρ καὶ φάγροι σκληροί. Οἱ δ' ἐκ τῆς Ἰνδικῆς κομιζόμενοι εἰσὶ μὲν κητώδεις, οὐκ ἐνάριθμοι δὲ τοῖς καθαριωτέροις θαλαττίοις.*

## *ΚΕΦΑΛΑΙΟΝ Ε.*

### *ΠΕΡΙ ΤΩΝ ΠΟΤΑΜΙΩΝ ΚΑΙ ΛΙΜΝΑΙΩΝ ΤΑΡΙΧΩΝ.*

οε'. Τῶν δὲ ποταμίων καὶ λιμναίων ταρίχων φέρει XXXVI. μὲν ὁ Νεῖλος κητώδεις σίμους τε καὶ φάγρους. οἳ διὰ τὸ καταπιμελέστατον ζεσθέντες ἐσθίονται διὰ νάπυος· πλείονες δὲ ληφθέντες ἐπιπολάζουσι.

ος'. Τῆς δὲ μέσης ὕλης ἐκ μὲν τοῦ κεστρέως ταριχεύονται, οἱ μὲν κατὰ ῥάχιν ἀνατμηθέντες, καλούμενοι Μενδήσιοι· οἱ δὲ ὑγιεῖς, Ἀλυκάτοι. Οἱ δὲ ἐν κεράμοις ταριχευόμενοι βωρεῖς, οἳ καὶ ὠμοὶ ἐσθίονται, ἀποδαρέντος τοῦ δέρματος καὶ ἀποτιλθέντος. Εἰσὶ δὲ τῶν κεστρέων καὶ οἱ ἀκρόπαστοι καλούμενοι, ἡδεῖς· καὶ ὀπτοὶ ἐσθίονται, καθάπερ καὶ οἱ Ἀλυκάτοι τε καὶ οἱ Μενδήσιοι.

οζ'. Καὶ τῶν κορακίνων δὲ οἱ ταριχευόμενοι καλοῦνται ἡμίνηροι, καὶ αὐτοὶ ὀπτανοὶ ἐσθιόμενοι· ὀπώρας τέ τινος δίκην φέρουσιν, οὐκ ἀεὶ ὄντες, ἀλλὰ πρὸς τὸν χειμῶνα γινόμενοι.

οη'. Καὶ ἄλλα δέ τινα ἐλάχιστα γίνεται ταρίχια, ὠμόφαγα, οὐ σπουδαῖα μέν, ἡδεῖαν δέ τινα κνῖσαν ἐξάγοντα, ἅπερ μετὰ λαχάνων δριμέων ἐσθίονται· ὧν πρὸς τὸ ἐντελὲς τῆς πραγματείας χρὴ μνησθῆναι. Καλεῖται δὲ ἃ μὲν κορακινίδια, ἃ δὲ βωρίδια, ἃ δὲ κολίδια, ἃ δὲ τυφλίδια, ἃ δὲ ἀβραμίδια· ἅπερ πάντα κακοστόμαχά τ' εἰσὶ καὶ δύσφθαρτα καὶ κοιλίας ὑπαγωγά.

# V.

## ΕΚ ΤΩΝ ΜΑΡΚΕΛΛΟΥ ΤΟΥ ΣΙΔΗΤΟΥ ΙΑΤΡΙΚΩΝ ΠΕΡΙ ΙΧΘΥΩΝ.

---

*Εὖ δὲ καὶ εἰναλίων ἐδάην φύσιν ἰήτειραν,*
*ἤμασι παντοίοισιν ἐμὸν νόον ἐξερεείνων.*
*ὡς αὐτός τ' ἐνόησα καὶ ἄλλων μῦθον ἄκουσα·*
*ὧν τε ἐγὼ πληθὺν ἠδ' οὔνομα πάντ' ἀγορεύω.*
*Βένθεα κητώεντα πολυσκοπέλοιο θαλάσσης*
*ἰχθύες ἀμφινέμονται ἀπείριτοι, ἀργινόεντες,*
*παμμέλανες, περκνοί, καὶ αἰόλον εἶδος ἔχοντες.*
*Φάγροι τε, γλαῦκοι τε, πρέποντες, βούφθαλμοί τε,*
*καὶ κέφαλοι, θύννοι τε, καὶ ἀργύφεοι λάβρακες.*
*Θοῦροί τε, σκιαδεῖς τε, καὶ ἥπατοι ἀγκυλόδοντες*
*καὶ σαργοί, γλᾶνές τε, καὶ ἀργινόεντες ὀνίσκοι,*
*χρύσαφοι, ἠδὲ λόφες, καὶ πηλαμύδες, καὶ ἀχάρναι,*
*καὶ κεστρεῖς, ἐρυθροί τε, καὶ ἀκταῖοι μελάνουροι,*
*γόγγροι, ἐγχέλυές τε, καὶ αἰνομόροι σμύραινοι,*
*βῶκες, καὶ περόναι, καὶ πετρήεντες ἴουλοι,*
*καὶ πέρκαι, τρίγλαι τε, πολύστικτοί τε χελῶναι,*
*μορμύρος αἰγιαλεύς τε, καὶ ὠκυπέτεια χελιδών,*
*κυκλοτερεῖς ῥόμβοι τε, καὶ ἐκτάδιον βούγλωσσον,*
*καὶ σκάροι ἀνθεμοέντες, ἐρευθήεσσά τε φυκίς,*
*καὶ βατίδες, κίχλαι τε, καὶ ἀργιόδους καρακῖνος,*
*ἵπποι τε, βάτραχός τε, καὶ ὀξύκομοι κόκκυγγες,*
*καὶ τρυγών, ἅρπη τε, καὶ ἠϊόεις κόλλουρος,*
*σκόρπιοι, ἠδὲ λύκοι, καὶ σηπίαι, ἠδὲ τραγίσκος,*
*καὶ σπάρος ὀξυόδους, καὶ κωβιὸς ἠϋκάρηνος,*
*τυφλῖνοι, ναρκή τε, καὶ ἡδείη ἀκαλήφη,*
*καὶ φθεῖρες, σμαρίδές τε, καὶ ἀνθήεις βασίλισκος,*

*τρηχαλέη ῥίνη τε, καὶ ἀργινόεις ἀλιπνεύμων,*
*καὶ τυτθαὶ μαινῖδες, ἀτὰρ κύνες, ἠδὲ λαγωοί,*
*καὶ κρεῖοι συνόδοντες, ἰδὲ ξιφίαι, θρανίαι τε,*
*καὶ μύες εὐθώρηκες σάλπη τ' ἀνθήεσσα,*
*ἠδὲ λέων, τευθίς τε, καὶ ἀστακοὶ ἠϋκέρωτες,*
*καὶ ξανθαὶ καρῖδες, ἐρευθήεις τε πάγουρος,*
*καὶ σαῦροι, χάννοι τε καὶ ὀρφέες, ἠδὲ γαρίσκοι·*
*κάραβος ὀκρυόεις, καὶ εὐόνυχες κήρυκες,*
*καὶ λεπάδες, χῆμαί τε, καὶ ὀξυέθειρες ἐχῖνοι,*
*πουλύποδές τε πολυπλόκαμοι, κόχλοι τε φαεινοί,*
*ὄστρεά τε, γλαφυραί τε πελωρίδες, ἠδὲ χαρῖνοι,*
*τελλῖναι, βάλανοί τε, πετρηγενέες τε μυΐσκοι,*
*καὶ γαῦροι δελφῖνες, ἀεὶ ναύτῃσιν ἑταῖροι,*
*φῶκαί τε, κριοί τε, καὶ αἰόλα κήτεα πόντου.*
*τῶν ὁπόσων ἰήματ' ἔχει φύσις, οὐδέ τι νούσων*
*ῥιγεδανῶν ἀλέγουσι βροτοὶ χραισμήϊ' ἔχοντες*
*ἐξ ἁλός, ἐκ γαίης τε, καὶ ἠέρος εὐρυπόροιο.*

### *ΠΕΡΙ ΤΡΙΓΛΗΣ ΕΠ' ΑΝΘΡΑΚΟΣ.*

*Τρίγλα μὲν ἀνθεμόεσσα πυρὸς ῥιπῇσι καεῖσα*
*σὺν μέλιτι ξανθῷ, κυαναυγέας ἄνθρακας ἕλκει*
*ῥιζόθεν, οἳ πνείουσι φόβον κρυεροῦ θανάτοιο.*

### *ΠΕΡΙ ΤΡΥΓΟΝΟΣ ΚΑΙ ΑΛΛΩΝ ΕΠΙ ΠΛΗΓΗΣ ΘΑΛΑΣΣΙΟΥ ΔΡΑΚΟΝΤΟΣ.*

*Τύμματα δ' εἰναλίοιο πελιδνήεντα δράκοντος,*
*τρυγόνος ὀξείης τε, καὶ ἀμφιβίου σμυραίνης,*
*ἴαται πυρωπὸν ἀνελκόμενον χροὸς ἧπαρ·*
*τεύχει δ' ἐν γλαφυρῷ μέθυος πλήθοντι πνιγεῖσα,*
*κεῖνο ποτὸν βαρύθοντα τόκον σβέννυσι γυναικῶν.*
*Ζωμὸς ἀποσσεύει δὲ μιαιφόνα φάρμακα φώτων*
*δαισαμένων, βρώμη δὲ πέλει χαριεστάτη ἄλλων*
*εἰναλίων μερόπεσσι μετὰ σκάρον ἰχθυμέδοντα,*
*τοῦ δριμεῖα χολὴ μέλιτος μετὰ φάεα θέλγει,*
*ὀξὺ σέλας φορέουσα λιπαυγέσιν ὀφθαλμοῖσιν·*

σπληνὶ δ' ἐπ' ὀκρυόεντι πλατυνόμενον βούγλωσσον
σφιγκτῷ σὺν τελαμῶνι, νοσηφόρον αἴνυται ἄχθος.
Δευόμενον δὲ κάρηνον ἐϋγλήνου κεφάλοιο
ἁλμυροῦ ἐν χύτρῃ κεραμηΐδι καὶ λιβάδεσσι
κιρνάμενον μέλιτος λυκαβηττίου εὔκυκλον ἕδραν
ἀλθαίνει συκῆσι περίδρομον ὀφρυοέσσαις.
Πηλαμύδος χαροπῆς τε κάρη καὶν ἴκελα τεύχει·
πέρκης δ' αὖ περὶ σαρκὶ κυλινδόμενον μελάνωπον
σηπεδόνα κρατέει, πυρὸς ἄσθματι ἰσοφαρίζον.
Σὺν χλοεροῖς λαχάνοις δὲ καθεψαμένου γλαύκοιο
ζωμὸς ἄγει γάλα λευκὸν ἐελδομένῃσι τιθήναις
πινόμενος, τῆθαι δὲ φίλαι τότε νηπιάχοισι
ἕλκουσιν πόμα λαρὸν ἐϋγλαγέων ἀπὸ μαστῶν.
Ἧπαρ δ' αὖ τε χολή τε φιλοσκοπέλου θύννοιο
οὐκ ἐῷ ὄρνυσθαι θαμινὰς τρίχας ἐν βλεφάροισιν,
νυσσούσας εὖτ' ἄν κε τριχηλάβῳ ἐξερύσειας.
Εἰναλίου δ' ἵπποιο χολὴ ἀτάλαντος ὑαίνης.
Ζωοῦ δ' ἑψομένου μεγάλου ἐνὶ τεύχεϊ γόγγρου
παλλαδίου πλήθοντι πυρὸς καθύπερθεν ἐλαίου,
κεῖνο λίπος τρητοῦ διανεύμενον ἠθητῆρος
ἤν τις ἑλὼν στάξειεν ἐλευσινίου μετὰ κηροῦ,
ἐν δὲ πλάσας ὀθόνῃ μαλακῇ περὶ γαστέρα θείη
ἀρτιτόκοιο γυναικός, ἀναιδέες οὔ νύ τι ῥωχμαὶ
σάρκα διαρραίουσιν, ἀεὶ δ' ἀγανῶπιν, ἄτρωτον,
οἷά τε παρθενικὰν ἁπαλόχροον αἰνήσουσι.
Καιομένη ῥίνης δὲ δορὴ τρηχεῖα φαεινοῖς
ὕδασι λειωθεῖσα φέρει φυμάτεσσιν ἀρωγήν.
Τύμμα δ' ἀκανθήεντος ἀκέσσεαι ὦκα δράκοντος,
αὐτὸν ἀνατμηθέντα βαλὼν ἐπὶ τραύματι θερμῷ.
Φθειρὸς κυανέου δὲ χολὴ μογερῆσιν ἀκουαῖς
τειρομέναις ἴαμα φέρει προφερέστατον ἄλλων.
Τρυγόνος αὖ κέντρῳ πεφρικότος ἄλγος ὀδόντος
ἐξελάσεις, ῥίζην ὀδυνηφόρον ἀμφιχαράσσων.
Μαζοὶ δ' ἀλγεινοῖο μεμυκότες ἔκ γε τόκοιο
χριόμενοι σαύροιο χολῇ γάλα κυμαίνουσι.
Σκορπίου εἰναλίου δὲ πολυσχοίνων ἀπὸ κύρτων
αὐτίκ' ἐνὶ κρητῆρσι βεβριθόσιν ἡδέος οἴνου

πνιγομένου, πόμα κεῖνο πιὼν βρότος, οὗ μέλαν ἧπαρ
ἢ σπλὴν ἀλγύνει πολυώδυνον, ἄτρεμας ἴσχει
πᾶν δέμας, ἀχθήεντος ἀναπνεύσας καμάτοιο.
Σμάριδες αὖ λεῖαι μυρμηκώεντα κάρηνα
ῥηϊδίως θαμινάς τ' ἀκροχορδόνας ἐξακέουσι·
σὺν ῥαδινῇ χαίτῃ δὲ καθεψόμεναι μαράθοιο,
γλαγοφόρους τεύχουσι φίλην μετὰ δαῖτα τιθήνας.
Μαινίδων ἅλμη δὲ καλὸν χραισμήϊον ἄφθαις.

*Λείπει τἄλλα.*

# VI.

## ΑΝΔΡΟΜΑΧΟΥ
## ΘΗΡΙΑΚΗ ΔΙ' ΕΧΙΔΝΩΝ
### Η ΚΑΛΟΥΜΕΝΗ ΓΑΛΗΝΗ.

---

*Ed. Chart.* p. [875]. *Ed. Bas. II.* p. (428). *Ed. Kühn. XIV.* p. 32.

*Κλῦθι πολυθρονίου βριαρὸν σθένος ἀντιδότοιο,*
*Καῖσαρ, ἀδειμάντου δῶτορ ἐλευθερίης.*
*Κλῦθι, Νέρων, Ἱλαρήν μιν ἐπικλείουσι, Γαλήνην,*
*Εὔδιον, ἣ κυανῶν οὐκ ὄθεται λιμένων.*
33 *Οὐδ' εἴ τις μήκωνος ἀπεχθέα δράγματα θλίψας,*
*Χανδὸν ὑπὲρ στυγνῆς χεῖλος ἔχοι κύλικος.*
*Οὐδ' εἰ κωνείου πλήσοι γένυν, οὐκ ἀκονίτου,*
*Μέμψατο δ' οὐ ψυχροῦ χυλὸν ὑοσκυάμου.*
*Οὐ δερμὴν θάψον τε καὶ ὠκύμορον πόμα Μήδης,*
*Οὐδὲ μὲν αἱμηρῶν ἕλκεα κανθαρίδων*
*Οὐ ζοφερῆς ἐχιός τε καὶ ἀλγεινοῖο κεράστου*
*Τύμματα, καὶ ξηρῆς διψάδος οὐκ ἀλέγοι.*
*Σκορπίος οὐκ ἐπὶ τήνδε κορύσσεται, οὐδὲ μὲν αὐτὴ*
*Ἀσπὶς, ἀδηρίτων ἰὸν ἔχουσα γόων.*
*Οὐ μὲν ἀπεχθόμενος καὶ δρύας ἀντιάσειε,*
*Καὶ κατὰ φωλειὸν θερμὸς ἔνερθε μένοι.*
*Οὐκ ἀλέγοι δρυῖνα ἂν ἀναίμακτον δ' ἔχει ἰὸν*
*Αἱμόρρους, τοιῷ δαμναμένη πόματι.*
*Οὐ μὲν ἀπεχθήεντα φαλάγγια σίνεται οὕτως*
*Ἀνέρα, φρικαλέον δ' ἄχθος ἔθηκε πόνων,*
*Οὐχ ὕδρος, οὐκ ἐπὶ χέρσον, ὅθ' ὕδατα καρκίνος αἴθει*
*Βοσκόμενος, θερμῆς ἤρξατο πρῶτον ἅλης,*

*Χέρσυδρος, θανάτῳ πεπαλαγμένα χείλεα σύρων,* 34
*Ἀντόμενος, γλυκεροῦ τέρμα φέροι βιότου.*
*Τῇ πίσυνος λειμῶσι θέρους ἐπιτέρπεο, Καῖσαρ,*
*Καὶ Λιβυκὴν στείχων οὐκ ἀλέγοις ψάμαθον.*
*Οὐδὲ μὲν ἀμφίσβαινα φέρει μόρον, οὐδέ τις ἤδη*
*Φρῦνος ἐνὶ ξηροῖς βοσκόμενος πεδίοις.*
*Ῥεῖα δὲ καὶ στομάχοιο φέροις ἄκος οἰδήναντος,*
*Καὶ θοὸν ἰήσαις ἆσθμα κυλινδόμενον.*
*Ἢ ὁπόταν περὶ γαστρὶ κυκώμενον ἔνδοθι πνεῦμα*
*Κυμαίνῃ, κωφὸν κῦμα βιαζόμενον.*
*Ἢ ὅτ᾽ ἐνὶ στροφάλιγγι ἀπηνεῖ κυμήνειεν*
*Ἔντερον, ἢ ταναοῦ σφυγμὸν ἔχωσι κάλου,*
*Ἢ ὁπόταν χολόεντες ὅλον δέμας, ἔξοχα δ᾽ ὄσσε,*
*Καὶ μερόπων χροιὴν πάμπαν ἀνηνάμενοι,*
*Ἴκτερον ἱλάσκωνται ἀπηνέα, μηδ᾽ ἐπὶ θοίνας,*
*Εἰ καί σφιν μακρὸν Ζεὺς πετάσειε πέρας*
*Νεύοιεν, μοῦνον δὲ κατηφέα θυμὸν ἔχοντες,*
*Φεύγωσι σφετέρων ἤθεα κηδομένων.*
*Εἰ δέ που ἢ κακόεργον ἴδοις ἐπὶ σώμασιν ὦχρον,*
*Ῥύσαις ὑδρηλὴν νοῦσον ἐπεσσυμένην,*
*Καὶ φαέων ἀμβλεῖαν ἄφαρ λάμψειεν ὀπωπὴν*
*Τῷ, καὶ ἀρχομένης οὐκ ἀλέγοις φθίσιος·*
*Οἴῃ καὶ τετάνοιο καὶ ἀρχομένοιο τενόντων*
*Σπάσματος ἦρε βυθοῦ ἄχθος ὀπισθοτόνου,*
*Ἦτ᾽ ἄρα καὶ θώρακος, ὅσην ὠτρύνατο χώρην,*
*Λοξὸς ἀναθλίβων πνεύμονα κοῦφον ὑμήν.*
*Ἢ ὅτε φρικαλέην τις ἔχοι περὶ κύστιν ἀνίην*
*Ἕλκεος, ἢ καί που δαμναμένοιο πόρου*
*Οὖρον ἐπιφράσσοιτο, ὅτ᾽ ἔσχετο πολλάκι καυλὸς*
*Ὁρμήν, ἢ κενεὴν σεύμενος ἐς Κυθέρην.* [876]
*Νεφρῶν δ᾽ ἡνίκα φῶτα κατ᾽ ἰξύος ἄλγος ἐπείγοι,*
*Θαρρῶν τοιαύτην ἐξελάσεις ὀδύνην,*
*Καὶ μογερῶν στέρνων ἀπολύσεται ἔμπυον ἰλύν,*
*Πινομένη πολλοὺς μέχρις ἐπ᾽ ἠελίους.*
*Ἀλθαίνει, καὶ λοιμὸν ἀηδέα, πᾶσαν ἐπ᾽ ἠῶ*
*Δύσπνοον, ἐκ τοίης παρθέμενος πόσιος,*

(429)36 *Καὶ κυνὸς ὑδροφόβην γενύων λυσσῶσαν ἐρινὺν*
*Φεύξεται εὐόδμῳ γαῦρος ἐπ' ἀντιδότῳ.*
*Τῆς δή τοι κυάμοιο, τὸν ἔτρεφεν εὔσκιον ὕδωρ,*
*Τέλμασι καὶ πολλοῖς κρυπτόμενον πετάλοις*
*Νειλῴου κυάμοιο, διὰ βάρος ἄμμιγα χεύας,*
*Θερμὸν ὕδωρ τρισσῶν κιρνάμενος κυάθων.*
*Πίνοιεν δ' ὅτε κοῖτον ἄγοι κνέφας, ἄλλοτε δ' ἠοῦς,*
*Ἄλλοτε καὶ διπλῆν ἐς πόσιν ὀρνύμενοι.*
*Ἠοῦς μὲν κεράσαιο παρηγορέων κακοῦ ὁρμήν,*
*Ὅσσοις ἀλγεινὸς λάμπεται ἠέλιος.*
*Νυκτὶ δ' ὅμως ὅσσοις περ ἐπώδυνος ἕσπεται ὄρφνη,*
*Εὐνάστειραν ἔχοις τειρομένων πρόποσιν.*
*Ἰοβόλων δ' εἰ καί τις ὑπὸ γναμπτῆρι δαμείη,*
*Ἢ μογερὸν κυανοῦ πῶμα λάβοι θανάτου,*
*Ἴσην δ' ἐντύναιο κατ' ὀρφναίην τε καὶ ἠῶ,*
*Δαμναμένοις ἱλαρὴν παρθέμενος κύλικα.*
*Καί κεν ἀεὶ πνείοντας ἄγοις ἐπὶ κοῖτον ἑτοίμως*
*Γηθαλέους ταύτῃ Καῖσαρ ἀνωδυνίῃ.*
*Πρῶτα μὲν ἀγρεύσαιτο κακήθεας ἐμπέραμος φώς,*
*Τολμηρῇ μάρπτων χειρὶ θοοὺς ὄφιας.*
*Τοὺς ἤδη κρυεροῦ ἀπὸ χείματος, οὐκέτι γαίης*
*Κρύπτουσι στεινοὶ πάμπαν ἔνερθε μυχοί,*
*Εἰαρινὴν ἐφ' ἅλωα, χυτὸν βόσκονται ἀν' ἄλσος*
*Διζόμενοι χλωροῦ σπέρμα λαβεῖν μαράθρου.*
*Ὀξυτέρην τὸ τίθησιν ἐφ' ἑρπυστῆρσιν ὀπωπήν,*
*Παίνον δειλοῖς ἄλγεα βουπελάταις.*
*Τῶν δ' αὐτῶν οὐράς τε καὶ ἰοβόλους ἀπὸ κόρσας*
*Τάμνοις, καὶ κενεὰς γαστέρας ἐξερύοις·*
*Οὖλα γὰρ ἀμφοτέρῳ φερέει ἐπὶ τύμμασι ἄχθη,*
*Λυγρὸν ἐπ' οὐραίην ἰὸν ἔχων φολίδα.*
*Τοὔνεκά οἱ τμήσαιο κατ' αὐχένα, ἠδὲ κατ' ἄκρα,*
*Ὅσσον πυγμαίης χειρὸς ἔνερθε βάθος.*
*Λοίγια δὲ σταλάουσι σὺν αἵματι, τῶν ἀπὸ πέζαν*
*Ἐκτὸς ἔχων, ἱλαρὴν δέρξεται ἀντολίην.*
*Ὁππότε δὴ τὰ γένοιτο, τότ' ἐν κεραμηΐδι χύτρῃ*
*Κατθέμενος πυρσοῦ σάρκας ἐπιφλεγέτω,*

*Ὕδατι ἐγχεύσας ὅσον ἄρκιον καὶ ἀνήθου* 38
*Κλῶνας ἐχιδναίῃ σαρκὶ συνεψομένας.*
*Ἡνίκα δὲ σκολιαί γε ἀπορρείωσιν ἄκανθαι,*
*Καὶ κακὸν οἰδήνῃ νῶτον ὕπερθεν ἔχις*
*Ἐκτὸς ἕλοι, ζείοντα καταψύχων κυκεῶνα,*
*Ὄφρ' ἑκὰς ἐντύναις σάρκας ἀπεχθομένας*
*Ἑρπυστῶν τ' ἰόεντας ἀπορρίψειεν ἀκάνθας*
*Πάμπαν ὑπ' εὐδίφρου χειρὸς ἐλεγχομένας.*
*Αὐαλέου δ' ἐπὶ ταῖσι βάλοις εὐεργέος ἄρτου,*
*Ὅσσον τερσῦναι σάρκα, δύναιτο τροχοὺς*
*Πλάσασθαι δ' ὅτε μίγδα κύτει περιαγέος ὅλμου*
*Θλασθείῃ, σκιεροῦ κάτθες ὑπὲρ δαπέδου.*
*Αὐτίκα δὲ σκίλλην τριχώδεσιν ἄμμιγα φλοιοῖς,*
*Σταιτὶ περιπλάσας, θάλπε κατὰ φλογιῆς*
*Ὄφρα κεν ὀπταλέην τε καὶ οὐ σκληρὴν περὶ κόρσην*
*Ἐντείναις σποδιῆς ἠρέμα δαιομένης,*
*Καί ῥ' ὅτε θαλπομένη ῥῆξαι σέλας ἔκτοθι πυρσοῦ*
*Κάτθεο, καὶ τρισσὴν σαρκὸς ἔχεις μερίδα,*
*Ὄλμοις, καὶ στρυφνοῖο βάλοις δυοῖν ὀρόβοιο,* 39
*Ἐν δ' ὑπέρῳ μίξας συνδονέων μυχόθεν*
*Αἴνυσο, καὶ δινήεντας ἀνάπλασσε τροχίσκους,*
*Τοὺς δ' ἑκὰς ἠελίου ψύχεο τερσομένους.*
*Τῶν δ' ἤτοι δραχμὰς μὲν ὑπὸ πλάστιγγος ἀφέλκοις*
*Δοιάς, τὴν πέμπτην παρθέμενος δεκάδα,*
*Ἥμισυ θηρείοιο βαλὼν τροχοειδέος ἄρτου,*
*Καὶ δολιχὸν σταθμῷ τόσσον ἔχοι πέπερι.*
*Ἶσα δ' ὀποῦ μήκωνος ἔχοι, καὶ μάγματος αὔτως,* [877]
*Μάγματος ἡδυχρόου τόσσον ἐφελκομένου.*
*Δώδεκα δὲ ξηροῖο ῥόδου δραχμαῖσιν ἰσάζοις*
*Φύλλα, καὶ Ἰλλυρίην ἴριδα κατθέμενος,*
*Κυανέης μίξαιο μελιπτόρθου γλυκυρίζης*
*Τόσσον, καὶ γλυκερῆς σπέρματα βουνιάδος.*
*Σκόρδιον καὶ κεῖνον ὀπὸν μίσγοιο θυώδη,*
*Βαλσάμου Ἀσσυρίης ἔνδοθεν αἰνύμενος·*
*Τοῖς δ' ἐπὶ κιννάμωμον ἰσάζεο, μηδέ σε λήθῃ*
*Ἀγαρικὸν τούτοις ἰσοβαρὲς θέμεναι,*

40 Ἢ ἔτι καὶ σμύρνης καὶ εὐόδμου κόστοιο
Καὶ κρόκου, ὃν ἄντρον θρέψατο Κωρύκιον,
Καὶ κασίην, Ἰνδήν τε βόλοις εὐώδεα νάρδον,
Καὶ σχοῖνον νομάδων θαῦμα φέροις Ἀράβων,
Καὶ λίβανον μίσγοιο, καὶ ἀγλαΐην στήσαιο
Ἄμμιγα κυανέῳ κατθέμενος πεπέρει,
Δικτάμνου τε κλῶνας, ἰδὲ χλοεροῦ πρασίοιο
Καὶ ῥῆον· στοιχὰς δ' οὐκ ἀπάνευθε μένοι,
Οὐδέ νυ πετροσέλινον, ἰδ' εὐώδης καλαμίνθη,
Δριμύ τε τερμίνθου δάκρυ Λιβυστιάδος,
Ζιγγίβερι θερμόν, κ' εὔκλωνον πενταπέτηλον,
Τὰς δοιὰς δραχμῶν πάντα φέροι τριάδας
Αὐτίκα, καὶ πολίου πισύρας ὁλκὰς βαρυέσσας.
Ἠδὲ χαμαιζήλου πτόρθον ἄγοις πίτυος,
Καὶ στύρακος, μήου καὶ βοτρυόεντος ἀμώμου,
Καὶ νάρδου, Γαλάτης ἣν ἐκόμισσεν ἀνήρ,
Λημνιάδος μίλτοιο, καὶ ἐκ Πόντοιο βόλοιο
Φοῦ, καὶ Κρηταίης σπέρμα χαμαιδρυάδος,
41 Μαλαβάθρου καλὰ φύλλα καὶ ὀπταλέην χαλκῖτιν,
Μίσγεσθαι ῥίζης οὐ δίχα γεντιάδος
Ἄνισον, χυλόν θ' ὑποκιστίδος, ἠδέ νυ καρπὸν
Βαλσάμου, λιπαρὸν κύμμι διηνάμενος,
Καὶ μαράθρου σπέρμα, καὶ Ἰδαῖον καρδάμωμον
Καὶ ψαφαρὸν στήσεις παρθέμενος σέσελι.
Δάκρυον εὖ μίσγοιο βαλὼν κυανωπὸν ἀκάνθης,
Θλάσπι σὺν τούτοις ἰσοβαρὲς τελέθοι.
Τόσσον δ' ὑπερικοῦ, τόσσον δ' ἐπιμίσγεται ἄμμι,
Καὶ σαγαπηνὸν ἄγοις τετράδα τοσσατίην,
Δοιὰς δ' εἰσάξεις τά περ Ἴστριος ἔκβαλε κάστωρ
Μήδεα, καὶ λεπτὴν ῥίζαν ἀριστολόχου,
Δαύκου τε σπέρμα, καὶ αὐαλέην ἄσφαλτον
Ἰοβόλων κοίταις ἀντία δαιομένην.
Ἶσα δ' ὀποῦ πάνακος συμμίσγεο κενταυρείῳ,
Χαλβανίδος λιπαρῆς ἰσόμορον θέμενος.
Καὶ τὰ μὲν ἐν θυίῃ πολλῷ μαλθάσσεο οἴνῳ,
Ὅσσα περ ὑγροτέροις δάκρυσιν ἐμφέρεται.

Κύψαι δ' εὖ λεπτῶς, τὰ δέ κεν ξυλοειδέα πάντα 42
'Ακταίῳ μίσγοις συγκεράσας μέλιτι.
'Ιλήκοις ὃς τήνδε μάκαρ τεκτήναο Παίων,
Εἴτε σε Τρικκαῖοι δαῖμον ἔχουσι λόφοι,
Ἢ 'Ρόδος, ἢ Βουρίννα καὶ ἀγχιάλη 'Επίδαυρος.
'Ιλήκοις, ἱλαρὴν δ' αἰὲν ἄνακτι δίδου
Παῖδα τεὴν Πανάκειαν. ὁ δ' εὐαγέεσσι θυηλαῖς
'Ιλάσεται τὴν σὴν αἰὲν ἀνωδυνίην.

# VII.

## ΚΑΣΣΙΟΥ

## ΙΑΤΡΟΣΟΦΙΣΤΟΥ

### ΙΑΤΡΙΚΑΙ ΑΠΟΡΙΑΙ ΚΑΙ ΠΡΟΒΛΗΜΑΤΑ ΦΥΣΙΚΑ.

Ed. Gesner. p. 31 Ed. Sylb. p. 331

1. *Διὰ τί τὰ στρογγύλα ἕλκη δυσαλθέστερα καθέστηκε τῶν ἄλλων; οἱ μὲν οὖν Ἡροφίλειοι τὴν αἰτίαν ἀποδιδόασι, γεωμετρικῇ χρώμενοι ἀποδείξει· φασὶ γάρ, ὅτι τὰ κυκλικὰ σχήματα τῶν ἑλκῶν μικρὰ μὲν φαίνεται τῇ περιοχῇ, οὐ τοιαῦτα δ' ἐστίν, ἀλλ' ἔχει τῇ δυνάμει μείζονα τὰ ἐμβαδά, ἤπερ φαίνεται. τὸ μεῖζον δὲ πλείονος χρόνου δεῖται πρὸς τὴν ἐπούλωσιν· ὥστε εἰκότως τὰ τοιαῦτα ἕλκη φαίνεται δυσαλθῆ, εἴ γε καὶ μικρὰ φαίνεται· κατὰ δὲ τὸ ἀληθὲς οὐχ οὕτως ἔχει, ἀλλ' ἐστὶ μείζονα. τοῦτο δὲ περικειμένως διεκρούσατο Ἀσκληπιάδης· εἴτις στρογγύλου ἕλκους ὑποκειμένου, ἐπιδιέλῃ τὰ παρακείμενα σώματα, ὥστε ἐκ τῆς ἐπιδιαιρέσεως γενέσθαι ἐπιμηκέστερον τὸ σχῆμα τοῦ ἕλκους, θᾶττον ἂν γένοιτο ἡ ἐπούλωσις. τοῦτο δ' ἐναντίον τῷ τοῦ Ἡροφίλου ἀρέσκοντι. εἰ γὰρ τὸ μέγεθος τοῦ ἕλκους, ὡς αὐτοί φασιν, αἴτιον γίνεται τῆς δυσθεραπευσίας, ἐχρῆν τοῦ αὐτοῦ ὑποκειμένου μεγέθους καὶ ἑτέρου προσγινομένου ἐκ*
b *τῆς ἐπιδιαιρέσεως, μᾶλλον γίνεσθαι δυσιατότερα ταῦτα τὰ ἕλκη. αὐτὸς δὲ ὁ Ἀσκληπιάδης τοιαύτην ἀποδίδωσιν αἰτίαν· φησὶ γάρ, ὅτι ἐπὶ παντὸς πράγματος, ᾧ σύμφυτόν ἐστι τὸ κινεῖσθαι, ἡ σφοδροτέρα κίνησις γίνεται ἐκ τῶν κατ' αὐτὰ ἀρχῶν. ἀρχὰς δὲ λέγει τὰ μέσα τῶν κινουμέ-*
332 *νων. ὑποδείγμασι δὲ χρῆται πρὸς σαφήνειαν τῇ τε τῶν ποταμῶν κινήσει καὶ τῇ τοῦ πυρός. ὡς γὰρ ἐπὶ τούτων μάλιστα κινεῖται καὶ σφοδρότερον τὰ μέσα, οὕτω συμβαίνει καὶ ἐπὶ τῶν ἑλκῶν· οἷόν τί ἐστι τὸ λεγόμενον, ἐπεὶ*

τῶν ποταμῶν ἐπὶ τοῦ πλεονάζοντος μέρους σφοδροτέρα
γίνεται ἡ κίνησις. πλεονάζει δὲ δηλονότι τὸ μέσον ἐν αὐ-
τοῖς· ἐκεῖ γὰρ μάλιστα συντρέχει τὸ πλέον. ὁ δ' ὅμοιος
λόγος καὶ περὶ τῆς φλογὸς τοῦ πυρός. κατὰ γὰρ τὸν μέ-
σον μάλιστα τόπον σφοδρότερον κινεῖται αὕτη οὕτως, ὡς
καὶ πολλάκις προαναπηδᾶν κατὰ τοῦτο τὸ μέρος τὴν φλόγα.
ἐπεὶ οὖν καὶ τὰ στρογγύλα ἕλκη, καθότι αὐτὰ ὥσπερ
συνῆκται, καὶ οἷον εἰς μέσα ἐστὶ κατὰ πᾶν μέρος, διὰ τοῦτο
συμβαίνει σφοδροτέραν τὴν κίνησιν ἐπ' αὐτῶν γίνεσθαι.
κίνησις δὲ γίνεται δηλονότι ὄγκων τινῶν φυσικῶς φερομέ- 32
νων ἐπὶ τὰ ἔξω διὰ τῶν πόρων, καὶ τῇ σφοδρᾷ τούτων
παρόδῳ συμβαίνει ἀνακρούεσθαι τὴν ἐπούλωσιν. ῥητέον δὲ
πρὸς τοῦτο, ὅτι εἰ τῶν ὄγκων ἡ σφοδρὰ κίνησις ἐπὶ τὸ ἔξω
αἰτία γίγνεται τοῦ εἶναι τὰ τοιαῦτα ἕλκη δυσαλθῆ, ἐχρῆν
μάλιστα τοῦτο συμβαίνειν ἐπὶ τῶν ἀκμαζόντων· καὶ ἐκ
τούτων ἂν συμβαίη ἕλκη ἐπ' αὐτῶν τὰ τοιαῦτα· ἐπὶ γὰρ
τούτων μάλιστά εἰσιν ὀξυκίνητοι οἱ ὄγκοι καὶ πολλοὶ τῷ
πλήθει, ἐπὶ δὲ τῶν γεγηρακότων ὀλίγοι τέ εἰσι καὶ νωχελεῖ
τῇ κινήσει χρῶνται· καὶ ἐπίπαν ἐπὶ τούτων διαλθέστερα
τὰ τοιαῦτα τῶν ἑλκῶν γίνεται. ῥητέον οὖν, ὅτι ἐπὶ μὲν
τῶν κατὰ οἱονεὶ ἐγγώνιον σχῆμα συνισταμένων ἑλκῶν συμ-
βαίνει τὴν ἐπούλωσιν θᾶττον γίνεσθαι, διὰ τὸ τὰ ὑγιεινὰ
σώματα μᾶλλον εἶναι ἀλλήλων πλησίον, καθὸ μάλιστα οἱονεὶ
γωνία γίνεται τοῦ ἕλκους. τὰ δὲ ὑγιῆ οὐχ ὡς ἔτυχε συμ-
βάλλεται τῇ ἐπουλώσει. καὶ δῆλον τοῦτο ἐκ τοῦ μᾶλλον
εἶναι εὐιατότερα, ἔχοντα παρακείμενα σώματα, τὰ δοκοῦντα
μὲν ὑγιῆ, πεπονθότα δέ. ἐπὶ δὲ τῶν στρογγύλων τὰ ὑγιῆ
σώματα πανταχόθεν ἐπίσης ἀφέστηκε τῶν ἑλκῶν, καὶ πλέον
ἤπερ κατὰ σχῆμα τὸ ἐγγώνιον γινόμενον· ὥσπερ ἐπὶ κύκλου b
εἰ λάβοιμεν ἐκ βραχέος διαστήματος σημειά τινα καὶ ἐπι- 333
ζεύξοιμεν εὐθεῖαν κατὰ τὰ σημεῖα, καὶ ὁμοίως ἐφ' ἑτέρου
τριγώνου, ἂν οὕτω τύχῃ, καὶ ἐπιζεύξοιμεν βραχὺ ἀπὸ τῆς
γωνίας διαστήσαντες, εὑρίσκεται μείζων ἡ ἐν τῷ κύκλῳ
ἐπιζευχθεῖσα εὐθεῖα· οὕτω καὶ ἐπὶ τῶν στρογγύλων ἑλκῶν
καὶ τῶν μὴ τοιούτων ἔχει, ὡς ἔφαμεν. διὰ τοῦτο συμβαί-
νει ῥᾳδίαν τὴν ἐπούλωσιν γίνεσθαι ἐπὶ τῶν κατὰ γωνιώ-
δες σχῆμα γινομένων, διὰ τὸ τὰ ὑγιεινὰ σώματα μᾶλλον

εἶναι πλησίον ἀλλήλων, καὶ συμβάλλεσθαι ταῦτα τῇ ἐπουλώσει· ὅθεν καὶ ὡς ἐπίπαν ἀπὸ τῶν ἄκρων ἄρχεται ἡ ἐπούλωσις· καθὸ μάλιστα συνεργεῖ ἀπὸ τῶν παρακειμένων ὑγιεινῶν σωμάτων. ἐπὶ δὲ τῶν στρογγύλων διὰ τὸ πανταχόθεν ἐπίσης ἀφεστάναι τὰ ὑγιεινὰ ἀλλήλων καὶ μὴ δύνασθαι συναιρεῖσθαι τῇ ἐπουλώσει, μὴ ῥᾴδιον γίνεσθαι ταύτην.

2. Διὰ τί ἐπιτήδεια τὰ ἄκρα μέρη τοῦ σώματος πρὸς νομήν, ὁμοίως δὲ καὶ τὰ κοῖλα; ἢ ἐπειδὴ ἡ νομὴ νέκρωσίς τίς ἐστι καὶ σῆψις, εὐπερίψυκτα δὲ τὰ ἄκρα δι' ἔνδειαν
33 ὕλης, ὡς διὰ τοῦτο τὴν νέκρωσιν ὑπομένειν· τὰ δὲ κοῖλα, διὰ τὸ πλεονάζειν ἐν αὐτοῖς ὕλην ὑγρὰν καὶ διὰ τοῦτο τὴν σῆψιν ὑπομένειν.

3. Διὰ τί ὑγιαζομένων τῶν ἑλκῶν καὶ λεπτυνομένων τῶν φλεγμονῶν, κνησμοὶ γίνονται; ῥητέον, ἐπειδὴ ἐπικρατεῖ τότε τὸ οἰκεῖον. ἐπικρατοῦν δὲ τοῦτο τὸ ἀνοίκειον ἀπελαύνει ἐκ τοῦ βάθους. ἡ φύσις δὲ ἥδεται χωριζομένου τοῦ ἀνοικείου.

4. Διὰ τί ἐπὶ τῶν ὑδρωπικῶν δίψα γίνεται, καίτοι πολλοῦ τοῦ ὑγροῦ ὑποκειμένου; ῥητέον, ὅτι ἡ ὄρεξις αὕτη γίνεται κατ' ἐπιζήτησιν τοῦ κατὰ φύσιν ὑγροῦ, οὐ τοῦ παρὰ φύσιν. τὸ δὲ παρακείμενον ἐπὶ τούτων παρὰ φύσιν ἐστί. γίνεται δὲ ἡ ἀνάπαυλα τῆς ὀρέξεως, παρατιθεμένου τοῦ κατὰ φύσιν ὑγροῦ. ἢ ὅτι οὐκ εἰς δεομένους πόρους τὸ κατὰ φύσιν ὑγρὸν μερίζεται, ἀλλ' ἔξω διωθεῖται. διψῶσιν οὖν ὡς μὴ πίνοντες.

5. Διὰ τί μὴ ὄντες ἐν δίψει, εἰ περιβάλλοιμεν πρὸς λουτρόν, προσγίνεται τὸ διψᾶν, καὶ ἀνάπαλιν, εἰ ἐν δίψει ὄντες, παύεται τὸ δίψος; ὅτι τὸ δίψος γίνεται κατὰ ξηρό-
334 τητα. εἰ οὖν διψῶντες περιβάλλοιμεν τὸ λουτρόν, τὸ σῶμα,
b διὰ τὸ μετέχειν ζωτικῆς δυνάμεως αὐτό, οἱονεὶ ἐπισπᾶται διὰ τῶν τῆς ἐπιφανείας πόρων τὸ ὑγρόν, καὶ οὕτω συμβαίνει ὑγραίνεσθαι τὸ βάθος, ἐξ οὗ μάλιστα γίνεται τὸ δίψος. ἐπὶ δὲ τῶν μὴ διψώντων καὶ περιβαλλόντων τὸ λουτρόν, ὑπόκειται ὑγρὸν ἐν τῷ σώματι καὶ προΐεται τοῦτο διὰ τῶν ἱδρώτων, διὰ τὸ μὴ ἀντιποιεῖσθαι ὑγρασίας.

6. Διὰ τί ἐπὶ τῶν ἧπαρ ἢ σπλῆνα ἢ πνεύμονα πασχόντων, ἐπὶ τὸ πεπονθὸς ῥᾴων ἡ κατάκλισις; καὶ μὴν

ἐχρῆν ἐπιθλιβομένων τῶν μερῶν σφοδρύνεσθαι τὰ ἀλγήματα. ἀλλὰ ῥητέον, ὅτι ἐπὶ τὸ ἐναντίον εἰ γένοιτο ἡ κατάκλισις, ὡς ἐκκρεμασμός τις γίνεται. ἐκκρεμαμένων δὲ τῶν πεπονθότων, μείζων ἡ κατάκλισις γίνεται.

7. Διὰ τί ὡς ἐπίπαν ἐν τοῖς παροξυσμοῖς τὰ ἄκρα περιψύχεται; ὅτι ἐφ' ὧν ἡ ἀρχὴ τῆς κινήσεως γίνεται, ἐπ' ἐκεῖνα συντρέχουσιν αἱ ὗλαι. ἡ δὲ ἀρχὴ τῆς κινήσεως ἐν τῷ βάθει τῶν μέσων. εἰκὸς οὖν ἐπὶ τοῦτο τὸ μέρος συντρεχούσης τῆς ὕλης ἐκ παντὸς μέρους τοῦ σώματος ἀποσυλᾶσθαι καὶ τὰ ἄκρα τῆς περιεχομένης ἐν αὐτοῖς ὕλης καὶ φέρεσθαι ἐπὶ τὸ μέσον. ἀποσυληθέντα γὰρ ἐκεῖνα καὶ ἐν ἐνδείᾳ τῆς ὕλης γενόμενα, τὴν περίψυξιν ὑπομένει. 34

8. Ἡ ἡδονὴ ὥσπερ διάχυσις καὶ ἄνεσις τοῦ σώματός ἐστι, καὶ τοῦτο τρόπον τινὰ αὐτὴ ἡ αἴσθησις παρεγγυᾷ. δῆλον δέ, ὅτι καὶ ἡ ἡδονὴ γίνεται ὕπνου γενομένου. καὶ τοῦτο ἡ πεῖρα μαρτυρεῖ, καὶ ὁ ποιητής, ἐν πολλοῖς νήδυμον αὐτὸν ὀνομάζων, ὡς ἂν ἡδονῆς παρεκτικόν. Εἰ τοίνυν ἡ ἡδονὴ διάχυσίς ἐστι τοῦ σώματος, ταύτην δὲ ἀπεργάζεται ὁ ὕπνος, τί οὐ χαλαστικὸν μᾶλλόν φαμεν τὸν ὕπνον, ἤπερ πυκνωτικόν, ὡς οἴονται οἱ μεθοδικοί; ἀλλὰ καὶ ἡ διὰ σκάφης αἰώρα χαλαστική ἐστι, καὶ τῷ παραλαμβάνεσθαι ταύτην ὑπνώδεις πως γίνονται, καταφερόμενοι μεθ' ἡδονῆς τινος, ὥστε καὶ ἐκ τούτων ἐστὶ συμβαλεῖν, ὅτι ἄρα μᾶλλόν ἐστι χαλαστικὸς ὁ ὕπνος, ἤπερ ἐφεκτικός. Ἢ πρὸς τοῦτο ῥητέον, ὅτι οὐ πάνυ συμβεβηκός ἐστι τοῦ ὕπνου
ἡδονή, ἀλλὰ συμβαίνει τούτου γενομένου, τὴν ἡδονὴν 335
γίγνεσθαι διὰ τὸ τὰ σώματα εἰς τὸ οἰκεῖον ἀποκαθίστασθαι κατάστημα, οἱονεὶ ὑφιεμένου τοῦ κόπου ἐκ τῶν ἐνεργειῶν τῶν ἐν τῇ ἐγρηγόρσει· ὅτι δὲ οὐ πάντως ἡ ἡδονὴ γίνεται διὰ τὴν διάχυσιν τῶν σωμάτων, ἐντεῦθέν ἐστιν εὑρεῖν· ἡ δίψα κατὰ ξηρότητα γίνεται· ἡ δὲ ξηρότης πύκνωσιν
ἀπεργάζεται. διψῶντες οὖν ἔσθ' ὅτε εἰ προσενεγκοίμεθα b
ὕδωρ ψυχρόν, ἡδόμεθα σφόδρα, καίτοι τῆς προϋποκειμένης πυκνότητος ἐπιτεινομένης ἐκ τῆς μίξεως τοῦ ψυχροῦ. καὶ ὥσπερ τὸ ψυχρὸν οὐ λέγομεν χαλαστικὸν διὰ τὸ ἡδονὴν ἐμποιεῖν τοῖς σώμασιν, οὕτω οὐδὲ τὸν ὕπνον ἂν εἴποιμεν χαλαστικόν, ἐπειδὴ ἡδονῆς γίγνεται παρεκτικός.

γίγνεται γάρ, ὡς ἔφαμεν, ἡ ἡδονὴ διὰ τὴν εἰρημένην αἰτίαν. ἡ δὲ διὰ τῆς σκάφης αἰώρα διαφορητικὴ μὲν εἶναι δύναται τῶν παχυμερῶν σωμάτων, τοῦ δὲ αἰσθητικοῦ πνεύματος πυκνωτική, ἐπιθολοῦσα αὐτὸ καὶ συστέλλουσα διὰ τὴν ἀκινησίαν τῶν λοιπῶν ὑλῶν. συστελλομένου γὰρ τούτου, ὕπνον ἐπιγίνεσθαι συμβαίνει. καὶ οὐ δεῖ θαυμάζειν, εἰ ἡ αὐτὴ αἰώρα διαφορεῖ μὲν τὸ σῶμα, πυκνοῖ δὲ (ὡς ἔφαμεν) τὸ αἰσθητικὸν πνεῦμα. ὥσπερ γὰρ τὸ θερμὸν ὕδωρ ἀνίησι μὲν τὰ ἡμέτερα σώματα, εἰ δὲ ἐπιχυθείη πυρί, σβέννυσι τοῦτο, οὕτω καὶ ἡ αἰώρα τῶν ἐναντίων ἐστὶ ποιητική. καὶ πολλὰ ἄν τις εὕροι τὰ ἐναντία ἀποτελεῖν δυνάμενα.

9. *Διὰ τί ἐπὶ τῶν ἐν τῇ κεφαλῇ τραυμάτων, διαιρέσεως γινομένης ἐπὶ τοσοῦτον ὥστε καὶ μήνιγγα τρωθῆναι,*
35 *καὶ περιγεγονότων τῶν πεπονθότων καὶ λοιπὸν εἰς ἀπούλωσιν ἐλθόντων τῶν τραυμάτων σπασμὸς ἔσθ' ὅτε γίνεται, ὥστε καὶ ἀπόλλυσθαι τοὺς τοῦτο παθόντας;* ῥητέον οὖν ὅτι φυσικῶς πάλλοντος τοῦ ἐγκεφάλου, συμβαίνει τὴν μήνιγγα προστρίβεσθαι τοῖς ὀστέοις τοῖς περικειμένοις, ἀφ' ὧν ἐκομίσθη τὰ ἀφαιρεθέντα, καὶ προστριβομένην ἀνελκοῦσθαι· ἀνελκώσεως δὲ γενομένης, καὶ ῥυπωθείσης, καὶ
336 μὴ δυναμένης τῆς ὕλης ἐκείνης τῆς συλλεχθείσης ἐκ τῆς ἑλκώσεως διαπνευσθῆναι (διὰ τὸ ἤδη σαρκοφυῆσαι τὰ ἐπικείμενα σώματα, ἅμα καὶ διὰ τὸ εἶναι πυκνοτέραν τὴν γενομένην οὐλήν) χωρεῖν ταύτην (λέγω δὲ τὴν συλλεχθεῖσαν ἐκ τῆς ἑλκώσεως ὕλην) ἐπὶ τὰ κύρια μέρη τοῦ ἐγκεφάλου, καὶ θλίψιν ἀπεργάζεσθαι, ὥστε καὶ τὸν σπασμὸν ἐπακολουθεῖν, μὴ δυνηθεισῶν τῶν ὑλῶν διαπνεῖσθαι, τῷ τὴν οὐλήν, σάρκωσιν παρὰ φύσιν οὖσαν, σκληρὰν γίνεσθαι.

10. *Πάντη τοῦτο παρατετήρηται, ὅτι τραυμάτων περὶ κεφαλὴν γινομένων τοσούτων, ὡς καὶ ὀστῶν διαίρεσιν γίνεσθαι, ἐπικινδυνώτερα μὲν τὰ περὶ τὴν κορυφὴν καὶ*
b *βρέγμα, ἐλθόντα δὲ εἰς ἐπούλωσιν, εὐϊατοτέρα τυγχάνει τῶν περὶ τὸ ἰνίον συστάντων τραυμάτων.* Ῥητέον, ὅτι κυριώτερα τὰ περὶ τὸ βρέγμα μέρη ὄντα, λεπτὴν ἔχει τὴν ἐπικειμένην μήνιγγα, καὶ εἰκὸς διὰ τοῦτο ἐπικίνδυνον εἶναι τὸ μέρος· πρὸς δὲ ἐπούλωσιν ἐλθόντα εὐιατότερά ἐστιν ἐκ

τῆς τῶν κυριωτέρων μερῶν συνεργείας σφοδροτέρας γινομένης· τὰ δὲ περὶ τὸ ἰνίον ἀκινδυνώτερά ἐστι, διὰ τὸ τὴν ἐπικειμένην τοῖς τόποις μήνιγγα σαρκώδη εἶναι, δυσιατότερα δέ, τῷ μήτε συνεργείας τοιαύτης τινὸς τυγχάνειν, ἀλλὰ μὴν καὶ σύνοδον γινομένην ἀναξηραίνειν τὰ μέρη.

11. Ἔτι δὲ τοῦτο παρατετήρηται, ὅτι ἐφ' ὧν τοιαῦτα τραύματα περὶ τὴν κεφαλήν ἐστιν, εἰ συμβαίνει αὐτομάτως λυθῆναι τὴν κοιλίαν, θάνατος ἐπιγίνεται· εἰ δὲ λόγῳ τῆς διαίτης, τὴν τῆς σωτηρίας πρόνοιαν ὑποφαίνει. Ὅτι εἰ μὲν αὐτομάτως ἡ γαστὴρ ὑπεξέλθοι, ἐκ τῆς κεφαλῆς τὴν ὑπόστασιν ἔχουσα διὰ τὸ πάθος, κίνδυνον ἀπειλεῖ, τοῦ πάθους περιγιγνομένου τῆς φύσεως· εἰ δὲ λόγῳ τῆς διαίτης εἴη αὐτὴ ἐξυγρανθεῖσα, λεπτοποιουμένης τῆς ὕλης καὶ ἐπὶ τὰ κάτω μέρη συνδιδομένης, μένει τὰ περὶ τὴν κεφαλὴν μέρη ἀνενόχλητα, καὶ οὕτω μηδενὸς βάρους συνε- 36
δρεύοντος, εὔïατα γίνεται.

12. Διὰ τί ἡ ἐκ τῆς ἀνθρακιᾶς θέρμη ὡς ἐπίπαν κεφαλαλγίας ἐστὶ ποιητική, ἡ δὲ τῶν ξύλων οὐ τοιαύτη; Ὅτι ἡ μὲν ἀπὸ τῶν ἀνθράκων ὑπερβάλλουσα θέρμη πυκνοῖ 337
κατά τινα ξηρότητα· ἡ δὲ ἐκ τῶν ξύλων ἔχει καὶ ἰκμάδα τινά, ἥτις δηλοῦται καὶ ἐξ αὐτοῦ τοῦ καπνοῦ. ὁ γὰρ καπνὸς τῆς ἐν τοῖς ξύλοις ὑγρασίας ἐστὶ δηλωτικός· δεῖ δὲ τοὺς ἄνθρακας σβεννύειν ἐν οἴνῳ ὀλίγῳ, ἵνα ἐκ τούτου μὴ παρακολουθῇ αὐτοῖς ἡ γινομένη ἐξ αὐτῶν βλάβη.

13. Διὰ τί ἐπὶ τῶν θαλαττουργῶν μάλιστα ἐπιπολάζει τὰ πτερύγια; γίνεται μὲν γὰρ καὶ ἐν ἄλλοις, ἐπιπολάζει δὲ ἐπὶ τῶν κατὰ τὴν θάλατταν ἐργαζομένων. Ῥητέον οὖν, ὅτι διαφοραὶ πτερυγίων εἰσὶ δύο· ἢ γὰρ γίνεται, ὁτὲ μὲν τῆς ὑποκειμένης τῷ κανθῷ τοῦ ὀφθαλμοῦ κατὰ φύσιν σαρκὸς ἐπεκτεινομένης, ἢ ἐξ συναυξήσεως, ὁτὲ δὲ τοῦ λεπτοῦ καὶ περιτεταμένου ὑμένος περιτυλουμένου καὶ ἐξοιδαίνοντος. ἔστι δὲ οὗτος ἐπὶ μὲν ἀνθρώπων δυσόρατος δι' ὑπερβάλλουσαν λεπτότητα, ἐπὶ δὲ ζώων καὶ μάλιστα ἀρνειῶν ἐκδηλότατος, παχύτερος ὑπάρχων· οὐ μὴν ἐπ' ἀνθρώπου. οὗτος τοίνυν ἐκ τῶν θαλαττίων ἀτμῶν δριμυτέρων ὄντων b
ἐστὶ βιβρωσκόμενος, καὶ τύλωσιν μετὰ φλεγμονῆς ἀναδέχεται, ὡς ἐκ τούτου παχυνθέντος τὸ τοῦ πτερυγίου πα-

*θος ὑφίστασθαι. ἴσμεν δέ, ὅτι δύο διαφοραί εἰσι πτερυγίων· καὶ τὰ μὲν ἐστι προσηρτημένα, τὰ δὲ ὥσπερ συμπεφυκότα.*

14. *Διὰ τί αἱ μονοπάθειαι τῶν ὀφθαλμῶν στραγγότεραί εἰσιν; ἢ ὅτι τοῦ ἑτέρου κατὰ φύσιν διακειμένου καὶ κινουμένου φυσικήν τινα κίνησιν, συγκινεῖται καὶ ὁ πεπονθώς, τῷ ἐκ μιᾶς βάσεως αὐτῶν τὴν φύσιν εἶναι, καὶ διὰ τοῦτο τῇ συγκινήσει παροξύνει τὸν πεπονθότα; χρεία γὰρ ἠρεμίας ἐστὶ τῷ κάμνοντι. ἀμφοτέρων δὲ κατὰ τὸ αὐτὸ πασχόντων, μετριώτερον γίνεται πάθος. ἅμα γὰρ ἑκάτερος ἠρεμεῖ καὶ οὐ παροξύνεται· καὶ οὕτως ἐκ τῆς ἠρεμίας ῥώμη ταχεῖα γίνεται.*

15. *Διὰ τί ἐπ' ἐνίων ὀφθαλμιασάντων πυρετὸς εἰ ἐπι-
γίγνοιτο, λύει ταύτην, ἐπ' ἐνίων δὲ οὐ μόνον οὐ λύει,
ἀλλὰ καὶ πήρωσιν ἀπεργάζεται τελείαν; τίς οὖν ἡ αἰτία τοῦ
ἐπὶ μὲν ἐνίων ὑγιάζειν, ἐπὶ δ' ἐνίων ἀφανίζειν; Ὅτι ὁ πυ-
37 ρετὸς ἐπιγίνεται λόγῳ τινὶ μετασυγκρίσεως· καὶ εἰ μὲν εἴη
338 οὗτος μέτριος, τῷ καὶ τὴν ἐξ αὐτοῦ γεγενημένην μετα-
σύγκρισιν μετρίαν εἶναι, ὠφέλειαν παρακολουθεῖν συμβαί-
νει. εἰ δὲ σφοδρὸς εἴη εἰσβαλὼν οὗτος, τῷ καὶ τὴν κίνησιν
σφοδροτέραν γίνεσθαι, ἡ ἐσχάτη βλάβη παρακολουθεῖ. Εἴ-
ποι δ' ἄν τις, ὅτι καὶ ὁ πυρετὸς ἀναξηραντικός· καὶ ὅτι
μὲν ἀναξηραντικός, ἴδοι ἄν τις ἐκ τοῦ παρακολουθοῦντος
δίψους τοῖς πυρέττουσιν· ὅτι δὲ καὶ ἐναποσκηπτικός, δηλοῖ
ἐκ τοῦ, ἐπιγινομένου τούτου, περισσοπαθεῖν τινα τῶν με-
ρῶν. καὶ ἡ μὲν ὠφέλεια γίνεται, ἀναξηραντικοῦ συμπε-
σόντος, διὰ τὸ ἐπερχόμενον ῥεῦμα ἀναξηραίνεσθαι. ὅτε
δὲ βλάπτει, ἐναποσκηπτικὸς οὗτος ὑπάρχει, καὶ τῷ τὰ πα-
θόντα μέρη μᾶλλον ἐμπαθέστερα ὄντα, ἐπιδέχεσθαι πλείονα,
καὶ τῷ ἐπιστηρίζειν ἐναποσκηπτικὸν τυγχάνοντα. καὶ οὕτως
ἡ πήρωσις γίνεται ἐκ τῆς πολλῆς σκήψεως.*

16. *Διὰ τί ἐν τῷ θέρει μᾶλλον αἱ ὀφθαλμίαι γίνον-
ται, ἤπερ ταῖς ἄλλαις ὥραις, καίτοι ξηροῦ τούτου ὑπάρ-
χοντος καὶ ἀλεεινοῦ; ἔδει γὰρ διὰ μὲν τὸ παρακολουθεῖν
τῷ καιρῷ ξηρόν, ῥεῦμα μὴ γίνεσθαι· οὐ μὴν οὐδὲ κατὰ
b στέγνωσιν συμβαίνειν ὤφελεν διὰ τὴν προσοῦσαν ἀλέαν.
Ῥητέον, ὅτι εἰ καὶ ταῦτα παρακολουθεῖ, ἀλλ' ὅμως τὸ
φαιδρὸν πολὺ ὄν, μᾶλλον βλάπτει τὰς ὄψεις, διὰ τὸ πᾶν*

τὸ ὑπὲρ τὸ μέσον λευκόν, ταρακτικὸν καὶ συγχυτικὸν εἶναι. οὕτω γὰρ καὶ ἠρεμίαν προστάσσοντες κελεύομεν ἐν σκοτεινῷ τόπου μέρει ταύτην παραλαμβάνεσθαι, ὡς πᾶσαν τὴν συγκριτικὴν αἰτίαν φεύγειν. ἐν τῷ οὖν θέρει τὸ αἴτιον τῆς ὀφθαλμίας, καθὼς δέδεικται, ὑπάρχει τὸ φαιδρὸν τοῦ ἡλίου.

17. Διὰ τί, ὁμοιότητος ὑπαρχούσης ἐπί τε τῶν ὀφθαλμῶν καὶ τῶν ὤτων, ὀφθαλμὸς ὀφθαλμῷ συμπάσχει, [οὖς δὲ ὠτὶ οὐκ ἔτι]; Ὅτι οὐ μόνον ὁμοιότης ἐπὶ τῶν ὀφθαλμῶν ὑπάρχει, ἀλλὰ καὶ πολλὴ ἐγγύτης· ἐπὶ δὲ τῶν ὤτων, πολύ ἐστι τὸ μεταξὺ διάστημα. καὶ ὅτι τὰ μὲν τῶν ὀφθαλμῶν συγκινητικὰ ἐκ τῶν ἔνδοθεν τὴν ἀρχὴν λαμβάνει, ἐπὶ δὲ τῶν ἀκοῶν, ἔξωθεν προσπίπτει.

18. Διὰ τί τινες τῶν ὀφθαλμιασάντων ὀξύτερον ὁρῶ-
σιν; ἢ δῆλον, ὅτι ᾧ λόγῳ τὰ ἀποδακρυτικὰ κολλύρια ὀξυ- 339
δορκικὰ λέγεται, τῷ ἐκ τῆς ἀποδακρύσεως καὶ ὡς εἰπεῖν
καθάρσεως ὀξύτερον ὁρᾶν τοὺς χρωμένους· οὕτω καὶ ἐπὶ 38
τῶν ἐκ τῆς ὀφθαλμίας ἀποδακρυσάντων, ἐκ παχυτέρας καὶ ἐπικειμένης τινὸς ὕλης συμβαίνει τὸ ἄμεινον ὁρᾶν, καθάρσεως γενομένης;

19. Διὰ τί ἐπὶ τῶν μελλόντων ὑποχεῖσθαι, συμβαίνει ὁρᾶσθαι κωνωποειδῆ καὶ μυιοειδῆ καὶ μυρμηκοειδῆ, καὶ ὅσα παρακολουθεῖν πέφυκεν; ἢ δῆλον, ὅτι ὁποίαν τὴν πῆξιν λάβοι τὸ ὑγρόν, τοιαῦτα καὶ ὑποπίπτειν ἀνάγκη ἅμα τῷ ἄρξασθαι πήγνυσθαι τὸ ὑγρόν. καὶ ἔτι, κατὰ τὴν αὐτὴν ἐπιβολὴν ἐνεργεῖ τὸ ὁρατικὸν διὰ παντὸς τοῦ ὁρατικοῦ· ἀλλὰ γὰρ ἐμποδίζεται κατ' ἐκεῖνα τὰ μέρη, καθ' ἃ μάλιστα ἡ πῆξις γίνεται. οἷον οὖν ἂν συμβῇ τὸ πρωτοπαγὲς τοῦ ὑγροῦ σχῆμα, τοιαῦται καὶ αἱ ἀντιλήψεις γίνονται τῶν ἐκτὸς ὑποκειμένων.

20. Διὰ τί οἱ χασκόμενοι ἐπ' ἔλαττον ἀκούουσιν; ὅτι ἐν τῷ διΐστασθαι τὰς γένυς, συμπιέζεται ἡ ἀκοή, ἅμα καὶ πνεύματος κατεχομένου, ὅθεν καὶ ἦχοι γίνονται. τοῦ οὖν ἔξωθεν ἀέρος μὴ ἔχοντος παρείσδυσιν, οὐ γίνεται ἀντίληψις.

21. Διὰ τί σκαλευόντων ἡμῶν τὰς ἀκοὰς οἷα μηλωτίσιν ἢ τισιν ἄλλοις, συμβαίνει βῆχα κινεῖσθαι, ὥσπερ b

ἐρεθιζομένης τῆς ἀρτηρίας; ἢ ὅτι πολλὴ συγγένεια οὐ τῇ φωνῇ μόνῃ πρὸς τὴν ἀκοήν, ἀλλὰ καὶ τοῖς μέρεσι πρὸς τὰ μέρη οὕτως, ὡς καὶ τὸ φωνητικὸν ὄργανον συμπαθεῖν. γίνεται δὲ τὸ βηχίον ἐν τῷ φωνητικῷ.

22. Τίνος ἕνεκα τῶν κεφαλαλγούντων οἱ μὲν ὀξέως αἰσθάνονται τῶν φωνῶν, οἱ δὲ οὐδόλως αἰσθάνονται; ἢ δῆλον τό, ἐὰν γένωνται σφοδραὶ αἱ κεφαλαλγίαι, ὡς σφήνωσιν πλείονα γενέσθαι προηγησαμένης καὶ σκοτώσεως, συμβαίνει τὸν νοῦν κατὰ φύσιν μὴ διακεῖσθαι· νοῦς δὲ ὁρᾷ, ὥς φησί τις τῶν ἀρχαίων· ὥστε καὶ τούτου κακωθέντος, καὶ τῆς φωνήσεως ὑποκειμένης, εἰκότως οὐκ ἀντιλαμβάνονται τῶν φωνῶν.

23. Διὰ τί κώφωσιν ἔχοντες διὰ τῶν μυκτήρων φθέγγονται; δῆλον, ὅτι ἐκ πρώτου τοῦ πάθους συναισθήσεις
340 γίνονται αὐτοῖς, οἷον εἰς δύναμιν ἀνευρύνουσι τὰς ἀκοάς· ὧν ἀνευρυνομένων καὶ οἱ πόροι ἀνευρύνονται τῶν μυκτήρων ἐκ τῆς διαστάσεως μυσάντων. οὕτω δὲ τοῦ πνεύματος ἐκ τῆς διαστάσεως φερομένου, εὐμαρῶς ὥσπερ φθογγή τις ἀποτελεῖται.

39 24. Διὰ τί ἡ πολυυπνία καὶ ἡ ἀγρυπνία ἡ ἐπιπολὺ γενομένη βάρος ἐμποιοῦσι τῇ κεφαλῇ; καὶ οὐκ ἔστι λέγειν ὅτι ὡς ὑπερβολαὶ κακοῦσι τὸ σῶμα· οὐ γὰρ τοῦτό ἐστι τὸ ζητούμενον, ὅτι διὰ τί κακοῦται ἡ κεφαλὴ ὑπὸ τῶν ἐναντίων, ἀλλ' ὅτι διὰ τί τὸ αὐτὸ πρὸς ἀκρίβειαν ἐπιγίνεται σύμπτωμα ἔκ τε τῆς ἀγρυπνίας καὶ πολυυπνίας, ἐναντίων ὄντων; Ῥητέον οὖν, ὅτι ἐκ μὲν τῆς πολυυπνίας τοῦτο συμβαίνει, τῆς ἀναπεμπομένης εἰς τὴν κεφαλὴν ὕλης μὴ δυναμένης διαπνεῖσθαι διὰ τὴν πυκνότητα τὴν ἐκ τοῦ ὕπνου. Ἐπὶ δὲ τῆς ἀγρυπνίας τὸ αὐτὸ ἀποτελεῖται διὰ τήνδε τὴν αἰτίαν· λεπτοποιουμένων γὰρ τῶν ὑλῶν ἐκ τῶν ἐν τῇ ἐγρηγόρσει ἐνεργειῶν, ἀναδίδονταί τινες ἀτμοὶ εἰς τὰ μετεωρότερα (οὕτω γὰρ καὶ εἰς τὴν κεφαλὴν) καὶ συμβαίνει ἐπὶ πλεῖον λεπτοποιουμένης τῆς ὕλης ἐκ τῆς συντόνου ἀγρυπνίας ἐπὶ πλέον καὶ τὴν ἀνάδοσιν γίνεσθαι. συμβαίνει δὲ ἐκ τῆς ἀγρυπνίας μὴ τὰς τροφὰς κατὰ λόγον διοικεῖσθαι, ἀλλὰ τρέπεσθαι ἐπὶ τὸ ἐφθαρμένον· ὡς καὶ αὐτοὺς τοὺς ἀναδιδομένους εἰς τὴν κεφαλὴν ἀτμοὺς μὴ

*μόνον διὰ τὸ πλῆθος ταύτην βαρεῖν, ἀλλὰ καὶ διὰ τὸ τετράφθαι ἐπὶ τὸ χεῖρον τὴν τροφήν.*

25. *Διὰ τί οἱ μὲν ἐγρηγορότες ἐν τῷ φωτὶ τῆς σελή-* b
*νης, κἂν ἐπὶ πολὺ τύχωσιν ἐν τούτῳ διατρίβοντες, οὐδὲν ὅλως βλάπτονται ὑπὸ τούτου, οἱ δὲ καθεύδοντες ἐπὶ τούτῳ σφηνοῦνται τὰς κεφαλάς; ἢ δῆλον, ὅτι θερμοῦ τε ἅμα ὄντος καὶ ὑγροῦ τοῦ ταύτης φωτός, βαρύνονται τὰς κεφαλὰς οἱ ἐν τούτῳ καθεύδοντες; ἢ τοῦτο συμβαίνει τρόπον πληγοειδῆ ἐπὶ τῶν καθευδόντων προσπίπτοντος τοῦ φωτός, διὰ τὸ συμπεπλέχθαι βαρύτητι τῇ ἐκ τῆς ὑγρότητος, ὥσπερ ἐπὶ τῶν μετὰ ἀράξεως κρουνιζομένων; ἐπὶ γὰρ τούτων, διὰ τὴν ἄραξιν, πληγοειδεῖς γίνονται αἱ ἐπίρροιαι, ὡς σφή-* 341
*νωσιν μᾶλλον ἢ ἀραίωσιν γίνεσθαι. οὕτως οὖν συμβαίνει καὶ τοῦ φωτὸς τῆς σελήνης μετὰ βαρύτητος προσπίπτοντος διὰ τὴν εἰρημένην αἰτίαν, σφήνωσιν ἢ βαρύτητα γίνεσθαι, συνεργούσης καὶ τῆς ἐκ τοῦ ὕπνου πυκνώσεως.*

26. *Διὰ τί ἠρέμα μὲν τῇ κινήσει χρώμενοι, κἂν ἔχωσι βαρυτέρας τὰς κεφαλὰς πρὸ τῆς κινήσεως, κουφίζονται ταύτας μετὰ τὴν κίνησιν, οἱ δὲ μετὰ δρόμου κινούμενοι καὶ μὴ πρότερον ἀντιλαμβανόμενοι βαρύτητος, μετὰ τὴν κί-* 40
*νησιν βαρύνονται τὰς κεφαλάς; Ῥητέον, ὅτι ἐπὶ μὲν τῶν ἠρέμα τῇ κινήσει χρωμένων συμβαίνει ἠρέμα τὰς ὕλας ἀποσυλᾶσθαι ἐπὶ τὰ κάτω μέρη· ἐπὶ δὲ τῶν ἐπιτεταμένῃ χρωμένων τῇ κινήσει, καὶ ἀνταποπάλσεις γίνονται, ὅθεν αἱ φερόμεναι ἐπὶ τὰ κάτω μέρη ὗλαι πάλιν ἀναπέμπονται ἀνταποπάλσεως γενομένης· ὥσπερ ἔχει ἐπὶ ῥιπτομένων ἐπὶ τὸ ἔδαφος στρογγύλων τινῶν. ἐνταῦθα γάρ, ἐὰν μὲν ἠρέμα τις ἀφῇ ἐπὶ τοῦ ἐδάφους, μένει καὶ οὐκ ἀντιπάλλεται. εἰ δέ τις μετὰ σφοδρότητος ῥίψει ταῦτα, πάλιν φέρεται ἐπὶ τὸ ἄνω, ὡς ἔστιν ἐπὶ τῶν σφαιρῶν ἰδεῖν· τὸ αὐτὸ δὴ συμβαίνει καὶ ἐπὶ τῶν τρεχόντων, πάλιν οὕτω τῆς ὕλης ἐπὶ τὰ ἄνω φερομένης μετὰ ἀντιτυπίας. καὶ ὅτι συμβαίνει καὶ ἐν τῇ βιαίᾳ κινήσει καὶ τὸ πνεῦμα ἐπέχεσθαι καὶ ἐντείνεσθαι, ὡς καὶ διὰ τοῦτο τὴν σωτηρίαν μὴ γίνεσθαι.*

27. *Διὰ τί αἱ ἐπ' εὐθείας κινήσεις οὐ ποιοῦσιν ἰλίγγους, αἱ δὲ κυκλικαὶ τοῦτο ποιοῦσι, καὶ ἐπὶ τοσοῦτον, ὥστε οἴεσθαι καὶ πάντα συμπερικινεῖσθαι τὰ ἐκτός; Ὅτι, ῥητέον,*

b *αἱ μὲν ἐπ' εὐθείας γενόμεναι κινήσεις οὐ κωλύουσι γίνεσθαι τὴν διαπνοὴν τῆς ὕλης· αἱ δὲ κυκλικαὶ οὐκ ἐῶσι γίνεσθαι τὴν διαπνοήν, σφοδρότερον προσπίπτοντος τοῦ ἀέρος καὶ κωλύοντος γίνεσθαι ταύτην. ὁμοίως δὲ τῇ γενομένῃ κινήσει συμβαίνει καὶ τὰς ἐν ἡμῖν ὕλας κινεῖσθαι κυκλικῶς· συμφερόμεναι γὰρ τῷ σώματι καὶ μὴ δυνάμεναι διαπνεῖσθαι διὰ τὴν εἰρημένην αἰτίαν, καὶ παυσαμένου τοῦ τῆς*
342 *κινήσεως αἰτίου, αἱ ὕλαι κινοῦνται κυκλικῶς. καί ἐστιν αὐταῖς ἡ τοιαύτη κίνησις παρὰ φύσιν ἀντίληψις· οἷον οἱ ἰκτερῶντες τῶν ἐκτὸς ἀντιλαμβάνονται χρωμάτων, κατὰ τὸ πάθος, τὸ περὶ τοὺς ὀφθαλμούς· ὁμοίως οἱ ὑποσφάγματα ἔχοντες ὑπέρυθρα πάντα νομίζουσιν· οὕτως ἔχει ἐν τῇ κυκλικῇ κινήσει, οἰομένων πάντα περιδινεῖσθαι· τῶν γὰρ περὶ τὰς ὄψεις ὑλῶν ἔτι κυκλικῶς δινουμένων, συμβαίνει κατὰ τοῦτο τὸ πάθος καὶ τὴν ἀντίληψιν γίνεσθαι. τοῦτο κατάδηλον, ὅτι ὀφθαλμὸς ὑγρὰ περιέχει· τό τε ὑδατῶδες, ἀφ' οὗ τὸ δάκρυον, καὶ τὸ κρυσταλλοειδὲς καὶ τὸ ὑελοειδές· πάντα δὲ ταῦτα ὑγρά, διαυγῆ καὶ λευκανθίζοντα ὑπάρχει. πρὸς τούτοις δηλονότι ὁ πρῶτος χιτὼν λευκός ἐστι· διὸ*
41 *λεπτοποιεῖται κατὰ μέσον τὸν ὀφθαλμόν, καθὸ φαίνεται μέλαν· οὐ τοιοῦτος δὲ τῇ χρόᾳ, ὥς φαμεν, ὑπάρχει· ἀλλὰ πᾶς διαυγὴς καὶ κατὰ τοῦτο τὸ μέρος. γνώριμον δὲ καὶ τοῦτο, ὅτι ὁ δεύτερος μέλας ὢν χιτὼν τῇ φύσει, ὑπέστρωται τῷ κερατοειδεῖ οὐ κατὰ πᾶν μέρος, ἀλλ' ἔχει τινὰ τρῆσιν περιφανῆ, καθὸ δὴ φαίνεται ἡ κόρη. ἐκ τούτων οὖν ἁπάντων ἀναφαίνεται ἡ ζήτησις.*

28. *Διὰ τί τοῖς ὑποθλίψασι τοῦ ὀφθαλμοῦ ἤτοι τὸ ἄνω ἢ τὸ κάτω βλέφαρον συμβαίνει διπλᾶ φαίνεσθαι τὰ ὑποκείμενα; τοῦτο δὲ κἂν τοῖς μέθης κοινωνήσασι μάλιστα συμβαίνει. Διότι μὲν οὐ μερίζεσθαι συμβαίνει τὸ ὁρατικὸν πνεῦμα, καὶ τοῦτο μὴ συμβαίνει δίχα τοῦ ὑποθλίψαι, ἐν τῷ ὁρᾶν κοινῶς τὸ ἐξ ἀμφοτέρων πνεῦμα, ἂν ἐπιβάλλῃ τῷ ἐκτὸς ὑποκειμένῳ· ἐν δὲ τῷ ὑποθλίβειν τὸν ἕτερον ὀφθαλμὸν οὐκ ἔτι κοινῇ ἐπιβάλλουσι τῷ ὑποκειμένῳ, ἀλλὰ μεμερισμένως ἕκαστος ὀφθαλμὸς ἰδίᾳ. καὶ τοῦτό ἐστι καταλαβεῖν, εἰ βούλοιτό τις, οὕτω· παρακειμένου γὰρ ἔτι τοῦ ὑποθλίβοντος δακτύλου τὸν ὀφθαλμόν, εἴ τις τὸν ἕτερον*

*τούτων, τουτ' ἐστι τὸν μὴ θλιβόμενον ἐπιμύσει, προσενέγκας τὴν χεῖρα, οὐκ ἔτι φαίνεται διπλᾶ, καίτοι τῆς* b *παραθλίψεως ἐπιγινομένης· οὕτως ἄρα αἴτιος ὁ μερισμὸς τοῦ πνεύματος τοῖς τοιούτοις, ὥσπερ καὶ ἐπὶ τῶν μεθυσθέντων πολλαπλασίονα θεωρεῖται τὰ ὑποκείμενα.* 343

**29.** *Διὰ τί ἐν μὲν τοῖς ὕδασιν ὄντες οὐκ ἀντιλαμβανόμεθα τῆς φωνῆς, ὥσπερ διὰ τῶν τοίχων καίτοι στερεωτέρων ὄντων τῶν διειργόντων; Ὅτι ἐν μὲν τοῖς ὕδασιν, ὥσπερ μύσις τις ἀκριβὴς γίνεται, ὡς μὴ ἐνδέχεσθαι τὸν ἀέρα παρεισδύνειν. ἡνίκα δὲ διὰ τῶν τοίχων φθεγγόμεθα, τῷ μὴ ἐγκεῖσθαι τῇ ἀκοῇ τὸ διεῖργον, εἰκότως τοῦ εἰς τὸ ἐναντίον ἀέρος πληττομένου καὶ διαδιδομένου διὰ τοῦ ἐμπεριεχομένου ἐν τῷ τοίχῳ, συμβαίνει πλήττεσθαι τὸν ἀέρα, ὡς ἐκ τούτου γίνεσθαι τὴν ἀντίληψιν τοῦ ῥήματος.*

**30.** *Διὰ τί ἐν ταῖς παρακμαῖς τῶν χαλεπῶν νοσημάτων ὡς ἐπίπαν παρωτίδες γίνονται, ἃς καὶ Διοσκούρους τινὲς καλοῦσιν, ὡς ἐπὶ λύσει γινομένας τῶν κακῶν; Ἴσμεν ὅτι ἐν τοῖς χαλεποῖς νοσήμασι ἀνορεξίαι γίνονται· ἤδη δὲ ῥωσθέντες, μᾶλλον ὀρεκτικοὶ γίνονται. καὶ τῆς τροφῆς προσγενομένης πλείονος, κίνησις γίγνεται τῶν γενύων. ἐκ* 42 *δὲ τῆς διαιρέσεως τῆς κατὰ τὴν μάσσησιν γίγνεται φλεγμονή. ἐναποσκηπτούσης δὲ τῆς φλεγμονῆς, ἀποτελοῦνται παρωτίδες.*

**31.** *[Διὰ τί] λοβοὶ ἀνεστραμμένοι τῶν ὤτων ἐν τοῖς νοσήμασι θάνατον σημαίνουσι; ἡ αἰτία αὕτη· τοῦ αἵματος ἐναποσβεννυμένου, εἰκὸς περὶ ταῦτα πλείονα ξηρότητα συμβαίνειν, διὰ τὸ τῇ φύσει ξηρὰ καὶ ὀλιγόαιμα εἶναι τὰ μέρη. τοῦτο δὲ γίνεται παραπλησίως τῷ ἐπὶ τῶν ἱμάντων· ὃν γὰρ τρόπον ἐπὶ τούτων ἡ ἔκλειψις τοῦ ὑγροῦ αἰτία τῆς οἱονεὶ κυρτώσεως γίγνεται, τὸν αὐτὸν τρόπον συμβαίνει καὶ ἐπὶ τῶν λοβῶν.*

**32.** *Διὰ τί αἱ κυψέλαι φύουσαι πικραί, γλυκεῖαι γίνονται ἐπὶ τῶν ἀπολλυμένων; Ὅτι δεικνύουσι πολλὴν τὴν ἐπὶ τὸ ἐναντίον ἐκ τοῦ κατὰ φύσιν μεταβολήν, μάλιστα κριτηρίου τοῦ γλυκέως καὶ τοῦ πικροῦ ἀκριβοῦς ὑπάρχοντος.*

**33.** *Διὰ τί ἴονθοι γίνονται περὶ τὸ πρόσωπον κατὰ τὸν καιρὸν τῆς ἀκμῆς, ὅθεν καὶ ἀκμὰς αὐτοὺς τινες τῶν*

ἰδιωτῶν προσαγορεύουσιν; οὗτοι οὖν, ὡς ἔφαμεν, γίγνονται
344 περὶ ὅλον μὲν πρόσωπον, μάλιστα δὲ περὶ τὴν ῥῖνα πλεονά-
b ζουσιν. εὔδηλον οὖν, ὅτι ἐκ τῆς αὐξήσεως τοῦτο συμβαίνει·
κατὰ γὰρ τοῦτον τὸν καιρὸν πρόσφυσις καὶ πρόσνευσις γίνεται ἐκ τῆς τροφῆς. ἑκάστου δὲ τῶν μερῶν μεταβάλλοντος κατὰ τὴν οἰκείαν δύναμιν τὴν προσχωροῦσαν τροφήν, τὰ περὶ τὸ πρόσωπον μέρη, μάλιστα δὲ τὰ περὶ τὴν ῥῖνα, οὐ δύναται πᾶσαν τὴν χορηγουμένην μεταβάλλειν εἰς σάρκα· καὶ οὕτω συμβαίνει τὸ πλεονάζον τῆς εἰς αὐτὸ τροφῆς ἐπὶ τὸ ἀλλότριον μεταβάλλεσθαι. ὅτι δ' αἴτιον τῆς τούτου γενέσεως, τὸ ὀλιγόσαρκα εἶναι τὰ μέρη, δῆλον ἀπὸ τοῦ ἐν τοῖς χείλεσι μὴ γίγνεσθαι τοὺς ἰόνθους, διὰ τὸ εἶναι σαρκώδη ταῦτα τὰ μέρη.

34. *Ζητητέον*, δι' ἣν αἰτίαν, ὕδατος ψυχροῦ προσενεχθέντος τῷ μυκτῆρι ἐπὶ αἱμορραγίας μυκτῆρος, αἵματος ῥύσις πλείων γίνεται, καίτοι πυκνοτέρου τῇ φύσει ὄντος τοῦ ψυχροῦ; Ῥητέον οὖν, ὅτι εὔθρυπτα καθέστηκε τὰ πρὸς τὴν ῥῖνα σώματα καὶ ἀγγεῖα. συμβαίνει οὖν πυκνώσεως γενομένης, τινὰ μὲν πυκνοῦσθαι καὶ συστρέφεσθαι, τινὰ δὲ διατείνεσθαι. ὅσῳ γὰρ συστρέφεται πρὸς ἑαυτὰ πυκνούμενα τὰ μέρη, τοσούτῳ τὰ παρακείμενα διατείνεται, ὡς ἐκ τῆς διατάσεως γίνεσθαι ῥῆξιν τῶν παρακειμένων
43 αἰτίων· ἢ καὶ ὑποκειμένης ἐπιτηδειότητος πρὸς τὴν ῥύσιν,
προσενεχθὲν τὸ ὕδωρ συνδιατίθησι τὸ σῶμα, ὑπομιμνῆσκον ἐκ τούτου γίνεσθαι, καὶ οὕτως ἐπακολουθεῖ τὴν αἰτίαν αἵματος ῥύσιν.

35. *Διὰ τί* ἐπὶ τῶν θυμιωμένων ἀρωμάτων, μᾶλλον ἀντιλαμβάνονται οἱ πόρρω ὄντες τῆς πυρᾶς, ὅθεν ἐπιβέβληται τὰ ἀρώματα, ἤπερ οἱ πλησίον; εὔδηλον ὅτι εὐωδία γίνεται δυναμικωτέρα κατακιρνωμένη τῷ περιέχοντι ἀέρι· οὕτω γὰρ καὶ ὁ ποιητὴς ἔφη·

Κνίση δ' οὐρανὸν ἷκεν ἑλισσομένη περὶ καπνῷ.

καὶ εἰκότως ἀντιληπτικωτέρα γίνεται ἡ εὐωδία τοῖς πόρρωθεν· λεπτυνομένη γὰρ μᾶλλον αἴσθησιν κινεῖ.

36. *Διὰ τί* δυσχεραίνοντες πολλάκις περὶ τὸν πταρμόν, εἰ προσέχοιμεν τῇ αὐγῇ τοῦ ἡλίου, συμβαίνει εὐοδοῦσθαι τὸν πταρμόν; τίς οὖν ἡ αἰτία; Ὅτι ἡ ἀκτὶς τοῦ

*ἡλίου προσπίπτουσα τοῖς ἔνδον μέρεσι τῆς ῥινός, καρφίου* 345
*δίκην ἀνακινεῖ τὸν πταρμόν, διερεθίζουσα τοὺς πόρους·
ἢ ὅτι πταρμὸς γίνεται, πνεύματος ὑποτρέχοντος καὶ ἐρε-
θίζοντος τὰ μέρη; ἡ δὲ ἀκτὶς θερμαίνουσα τὰ ἐν τῇ ῥινί,
πλέον ἐξατμίζει ταῦτα καὶ συνεργεῖ τῷ πνεύματι. ὅπερ εἰ* b
*ἐπικρατέστερον γένοιτο, θᾶττον ἀποτελεῖ τὸν πταρμόν,
ἐρεθίσαν τὰ σώματα.*

37. *Διὰ τί πταρμὸς σπανιάκις γίνεται εἷς καὶ σπα-
νιάκις πολλοί, ἀλλὰ πταρμοὶ πλεονάκις γίνονται κατὰ δύο;
Πρόχειρος οὖν ἡ αἰτία· δύο γάρ εἰσι καὶ οἱ πόροι τῆς ῥινός·
καὶ ἐπειδὴ ὁ πταρμὸς γίνεται κατ᾽ ἐκτιναγμὸν πνεύματος,
τοῦ ἑνὸς καθ᾽ ἕνα πόρον γενομένου τοῦ πταρμοῦ, συν-
διατίθεται καὶ ὁ ἕτερος.*

38. *Ζητήσειεν ἄν τις, δι᾽ ἣν αἰτίαν ἐπὶ μὲν τῶν κώ-
λων κατάγματος μετ᾽ ἐγκυρτώσεως γενομένου, ἔσωθεν φύε-
ται σὰρξ τοῦ ἀποπρισθέντος ὀστέου οὕτως, ὥστε ἀναπλη-
ρῶσαι τὴν μεταξὺ τῶν ὀστῶν στερέωσιν καὶ ἰσοδυναμεῖν
τῇ τῶν ὀστέων φύσει. ἐπὶ δὲ τῶν αἰγιλώπων εἰ γένοιτο
σύντριψις τοῦ ὀστέου, μένει τὰ μέρη μὴ σαρκοφυοῦντα;
ἢ ὅτι ἐπὶ μὲν τῶν κώλων πλείονά ἐστι τὰ περικείμενα σώ-
ματα, καὶ ἄλλως συνέχειαν ἔχει πρὸς ἄλληλα, καὶ οὐκ ἀφέ-
στηκεν ἀλλήλων· ἐπὶ δὲ τῆς ῥινὸς καὶ ὀλιγόσαρκα τὰ μέρη
καὶ συνέχειαν οὐκ ἔχει, καὶ τὴν μεταξὺ κενὴν χώραν.*

39. *Διὰ τί κρυώδους τοῦ ἀέρος γινομένου, λεπτὸν τὸ* 44
*ὑγρὸν πάνυ καὶ πολὺ φαίνεται διὰ τῶν μυξωτήρων, καί-
περ παχυτέρου ὀφείλοντος φέρεσθαι διὰ τὴν ἐκ τοῦ κρύους
πῆξιν; Ἐπειδὴ πύκνωσις γίνεται περὶ τὸ πρόσωπον ὑπερ-
βάλλουσα καὶ ὥσπερ κατὰ διήθησίν τινα φέρεται τὸ ὑγρὸν
ἀπὸ τῶν παρακειμένων τῇ ῥινί, καὶ συμβαίνει λεπτὸν
αὐτὸ εἶναι.*

40. *Διὰ τί προσπταίσματος γινομένου, τὰ μὲν σύνεγ-
γυς οὐ συμπάσχει, τὰ δὲ πολὺ ἀφεστῶτα συνδιατίθεται,
οἷον βουβῶνες τοῖς ἐν ποσὶ προσπταίσμασιν; Ὁ οὖν
Ἀσκληπιάδης ἐν τῷ περὶ ἑλκῶν φησιν ὅτι πρὸς τὰ
πληττόμενα κατ᾽ ἀρχὰς ἡ ὕλη φέρεται, καὶ φερομένης αὐτῆς,
ὅσον μὲν δύναται ὑποδέξασθαι τὰ πεπονθότα μέρη, αὕτη* 346
*χωρεῖ εἰς αὐτά· πληρωθέντων δὲ τούτων, καὶ μὴ δυνα-*

*μένων ἐπιδέξασθαι ἕτερον πλῆθος, ἡ φερομένη ὕλη ἐκρέουσα καὶ μὴ ὑποδεχθεῖσα ὑπὸ τῶν μερῶν, ἐφ' ἃ ἠνέχθη, εἶτα φερομένη, ἐὰν ἐπιτύχῃ κοίλων τόπων, μένει εἰς αὐτούς, ὥσπερ καὶ ἐπὶ τῶν ὑδάτων ἔχει. ταῦτα γὰρ ἕως μὲν ἐπ' ἰσοπέδῳ φέρεται, ὁμαλῇ τῇ κινήσει χρῆται· τυχόντα δὲ* b *κοίλων τόπων, μένει εἰς αὐτούς. ταὐτὸν οὖν συμβαίνει καὶ ἐπὶ τῆς φερομένης ὕλης ἐπὶ τὰ πληγέντα. ὅσην γὰρ ὑποδέξασθαι δύναται, αὕτη χωρεῖ εἰς αὐτά· ἡ δὲ λοιπὴ εἰς κοῖλα, καὶ μᾶλλον εἰς ἀραιοπόρους ἐμπίπτει τοὺς βουβῶνας, καὶ διογκοῖ τούτους. Ἔστι μὲν οὖν καὶ αὕτη πιθανὴ ἡ ἀπολογία· αἰτιάσαιτο δὲ ἄν τις καὶ τὸ πάνυ εὐπαθὲς τοῦ νευρώδους· τοῦτο γὰρ δι' ὑπερβάλλουσαν εὐπάθειαν, θᾶττον τῶν ἄλλων μερῶν τοῦ σώματος, συμπαθεῖ τοῖς πεπονθόσι μέρεσι. διὰ τοῦτο γοῦν καὶ κατὰ τοὺς ἀδένας χοιράδες συνίστανται περὶ τράχηλον, ἑλκῶν ὄντων περὶ τὴν κεφαλήν. καὶ βουβῶνες ἐν μασχάλῃ, ἑλκῶν περὶ χεῖρα ὄντων.*

41. *Διὰ τί ἐπὶ τῆς κεφαλῆς, ἐκ μὲν τῶν δεξιῶν μερῶν τῆς μήνιγγος τρωθείσης, τὰ ἀριστερὰ παραλύεται· εἰ δὲ ἐκ τῶν ἀριστερῶν τοῦτο συμβαίῃ, τὰ δεξιὰ τὴν παράλυσιν ὑπομένει; Ῥητέον οὖν, ὅτι αἰτία ἡ θέσις τῶν νεύρων. ταῦτα γὰρ τὴν ἔκφυσιν ἔχει ἐκ τῆς βάσεως τοῦ ἐγκεφάλου. κεῖται γὰρ ἐναλλὰξ ἀλλήλων· τὰ μὲν γὰρ ἀπὸ τῶν δεξιῶν μερῶν τῆς βάσεως ἐκφυόμενα, φέρεται ἐπὶ τὰ ἀριστερὰ μέρη τῆς κεφαλῆς· τὰ δὲ ἀπὸ τῶν ἀριστερῶν μερῶν ἐκφυόμενα ἐπὶ τὰ δεξιὰ φέρεται μέρη· ὡς τὴν σύν-* 45 *θεσιν αὐτῶν γίνεσθαι ἐναλλάξ· εἰκότως οὖν τρωθέντος τινὸς ἐκ τῶν δεξιῶν μερῶν τῆς μήνιγγος, τὰ ἀριστερὰ παραλύεται· ἐπὶ δὲ τοῦ ἑτέρου τὸ ἐναντίον.*

42. *Διὰ τί ἐν τοῖς πολέμοις ἐπὶ τὴν τρῶσιν ἡ πτῶσις γίνεται; τοῦτο γὰρ τετήρηται, ὅτι ἐπὶ τὸ τὴν τρῶσιν ὑπομένον μέρος γίνεται ἡ πτῶσις· οἷον εἰ τύχοι τῆς τρώσεως κατὰ τὰ ἐμπρόσθια μέρη γενομένης, οὐκ ἐπὶ τὰ νῶτα γίνεται ἡ πτῶσις, ἀλλ' ἐπὶ [τὰ] ἐμπρόσθια. Ῥητέον, ὅτι ἐφ'* 347 *ὃ σκάζει ἡ φύσις, ἐπ' ἐκεῖνο γίνεται ἡ φορά· οἷον, εἰ ἡ φύσις τοῦ σώματος ἐν ἰσορροπίᾳ τινί ἐστι καὶ βούλεται ἐπίσης ἑστάναι. εἰ οὖν συμβαίνει τι προσπεσεῖν καὶ κινῆσαι τοῦτο*

*ὥστε σκάσαι, ἐφ' ὃ σκάζει, φέρεται· ὅπερ συμβαίνει καὶ ἐπὶ τῶν κεκλιμένων τοίχων. ἐπὶ γὰρ τούτων, εἰ καὶ ἐκ τῶν ἐναντίων τις ἀντιθεῖναί τι θελήσει, ὥστε ἀντιβῆναι τῇ κλίσει, ὅμως ἐπ' ἐκεῖνο φέρονται, ἐφ' ὃ ἡ κλίσις γέγονε· καὶ μάλιστα, εἰ βιαιοτέρᾳ χρήσαιο πληγῇ ἐν τῷ ἀντερείδειν.*

43. *Διὰ τί ἐπὶ μὲν τῶν ζώντων καιομένων, φλύκταιναι ἐπανίστανται, ἐπὶ δὲ τῶν νεκρῶν οὐδαμῶς; Ῥητέον, ὅτι ἐπὶ τῶν ζώντων σωμάτων καὶ πνεύματά πως ὑπέσπαρται ἐν ὅλῳ τῷ σώματι, ἐπὶ δὲ τῶν νεκρῶν οὐδαμῶς· ἢ ὅτι* b *τῶν μὲν νεκρῶν τὰ σώματα ἄθρυπτα καθέστηκε, τῶν δὲ ζώντων τοιαῦτά ἐστιν, ὥστε καὶ περιτένειαν ὑπομένειν καὶ δύνασθαι περιτείνεσθαι. προσενεχθέντος οὖν τοῦ πυρός, γίνεταί τις ὁλκὴ ὕλης περὶ τὴν ἐπιφάνειαν καὶ ἀποτελεῖ τὰς φλυκταίνας. ἐπὶ οὖν τῶν νεκρῶν σωμάτων αὗται οὐ γίνονται, διὰ τὸ μὴ εἶναι ἐν αὐτοῖς τὸ οὐσιοποιὸν τῆς φλυκταίνης.*

44. *Διὰ τί μόνος ὁ πταρμὸς ἡμῖν τῆς νυκτὸς γίνεται κατὰ φύσιν ἔχουσιν, ἢ σπανίως· τὰ δ' ἄλλα, ὡς εἰπεῖν, ἅπαντα καὶ τῆς ἡμέρας καὶ τῆς νυκτός; ἢ ὅτι ὁ μὲν πταρμὸς γίνεται ὑπὸ θερμοῦ τινος κινήσαντος τὸν τόπον τοῦτον, ἀφ' οὗ γίνεται. διὸ καὶ ἀνακύπτομεν πρὸς τὸν ἥλιον, ὅταν βουλώμεθα πταρνῦναι· καθευδόντων δ' ἡμῶν ἀντιπερισπᾶται τὸ θερμόν. διὸ καὶ γίνεται τὰ κάτω θερμὰ τῶν καθευδόντων κατὰ πολύ. εἰκότως οὖν οὐ πτάρνυμεν ἀπαλλαγέντος τοῦ θερμοῦ ἐκ τῆς κεφαλῆς, ὃ κινεῖν πέφυκε τὸ ἐνταῦθα ὑγρόν, οὗ ἐξωθουμένου γίνεται ὁ πταρμός. [καὶ τὸ συμβαῖνον πάθος εἰκὸς μὴ γίνεσθαι.]*

45. *Διὰ τί τρίψαντες τὸν ὀφθαλμόν, παυόμεθα τῶν* 46 *πταρμῶν; ἢ διότι ἡ ἀναπνοὴ γίνεται αὐτῇ τῷ ὑγρῷ; δακρύει γὰρ ὁ ὀφθαλμὸς μετὰ τὴν τρίψιν. [ὁ δὲ πταρμὸς διὰ πλῆθος ὑγρῶν. ἢ ὅτι ἔλαττον θερμὸν φθείρεται ὑπὸ τοῦ πλείονος·] ὁ δὲ ὀφθαλμὸς τριφθεὶς πλείω λαμβάνει* 348 *θερμότητα τῆς ἐν τῇ ῥινί. διὰ ταῦτα δὲ καὶ ἐάν τις αὐτὴν τὴν ῥῖνα τρίψῃ, παύεται ὁ πταρμός.*

46. *Διὰ τί οἱ γέροντες [οὐχ οἱ παῖδες] τὴν ἀσιτίαν φέρουσιν; ὅτι δυσκίνητον τὸ γῆρας, ὡς κατεψυγμένον. τὰ*

δὲ βρέφη πολύθερμα καὶ πολυκίνητα. διαφορεῖ δὲ καὶ ἡ κίνησις. οἱ δὲ διαφορούμενοι τροφῆς δέονται.

47. Διὰ τί μετὰ τὸν θάνατον, πάντων τῶν μελῶν χαλωμένων, οἱ δίδυμοι μόνοι ἄνω σπῶνται; ὅτι ἐν τῷ τελευτᾶν σπερμαίνουσιν οἱ ἄνθρωποι· ἐκκρίνεται δὲ τὸ σπέρμα συνήθως τῶν διδύμων ἀνατρεχόντων, ὅθεν ἄνω κρατηθέντες μένουσι.

48. Διὰ τί οἱ μέθυσοι φαῦλον οἶνον ἡδέως πίνουσιν; Ὅτι οἱ πολυπόται ἀδροπόροι εἰσί. διὰ μεγάλων οὖν πόρων ὁ λεπτὸς κάλλιστος οἶνος χωρὶς ἀντιλήψεως ἀνατρέχει. ὁ δὲ φαῦλος παχὺς ὢν ἵσταται καὶ μένει, καὶ τὴν ἐξ αὐτοῦ ἡδονὴν τότε δοκεῖ παρέχειν.

b 49. Διὰ τί οἱ μὲν ὀργιζόμενοι ἐρυθαίνονται τὸ πρόσωπον, ὠχριῶσι δὲ οἱ φοβούμενοι; ἡ μὲν ὀργὴ ἀθρόα τοῦ πνεύματός ἐστιν ἐκδρομή, ὁ δὲ φόβος, ὑποστολή· ὅθεν ὅπου μὲν περισσεύει, πυροῖ· ἔνθα δὲ ὑστερεῖ, ψύχει.

50. Διὰ τί τινες τῶν προβεβηκότων φαλακροῦνται, τινὲς δὲ οὔ; ὅτι τινές τινων μᾶλλον πολύθερμοι. οἱ γὰρ κατεψυγμένοι οὐ τριχοποιοῦσι.

51. Διὰ τί οἱ τερατόμορφοι καὶ ἄφρονες; ὅτι τοῖς σωματικοῖς τὰ ψυχικὰ συμπάσχει, ὥσπερ τοῖς ψυχικοῖς τὰ σωματικά.

52. Διὰ τί τὰ μεγάλα ἕλκη ἐν τῇ θεραπείᾳ ὅτε ἀνακαθαίρονται θανάσιμά ἐστιν; ὅτι διὰ πολλῶν πόρων κατὰ τὸ λεληθὸς τὸ ψυχικὸν πνεῦμα διαπνεῖ.

53. Διὰ τί ἐν τοῖς καύμασιν οἱ περιοδικῶς νοσοῦντες φρικιῶσιν; ὅτι ἀραιωθέντων τῶν πόρων, ἔξω τὸ θερμὸν διαπνεῖ· πυκνωθέντων δέ, ἔσω ἀποκλείεται· χωρήσαντος οὖν ἔξω τοῦ ἐν ἡμῖν θερμοῦ, κατάψυξις γίνεται. φρῖκαι δὲ συστελλομένων διὰ ψῦξιν τῶν σωμάτων, συνίστανται.

54. Διὰ τί στερεὰν τροφὴν καταπιόντες πνιγόμεθα;
47 ὅτι ἔμπροσθεν τοῦ στομάχου ἐστὶν ὁ βρόγχος κατὰ μῆκος
349 αὐτῷ παρακείμενος. πληρωθεὶς οὖν οὗτος, θλίβει τὴν ἀρτηρίαν καὶ τὸ πνεῦμα ἐπέχει.

55. Διὰ τί ἡ λευκὴ γῆ ἄφορος κατὰ τὸ πλεῖστον; ὅτι κατάψυχρός ἐστιν, ἡ μέλαινα δὲ πολύθερμος· καὶ ἡ μὲν ἑρπετῶν ἐστι γεννητική (ψυχρὰ δὲ ταῦτα), ἡ δὲ καρπῶν

(θερμοὶ δὲ οὗτοι). καὶ γὰρ τῶν γυναικῶν αἱ μέλαιναι ὡς ἐπὶ τὸ πλεῖστον διὰ τὸ ἐν αὐταῖς πλέον θερμόν, πολυτόκαι.

56. Διὰ τί τὰ βρέφη σφοδρότερον πυρέσσει; ὅτι πολύθερμά ἐστιν· ἐπίτασις δὲ τῆς ἐμφύτου θερμασίας ὁ πυρετὸς γίνεται.

57. Διὰ τί σημεῖον πωρωθέντων ὀστῶν τὸ τὰς ἐπιδεσμίδας ἐφαιμάσσεσθαι, καίπερ τοῦ κατάγματος ἄνευ τραύματος συστάντος; ὅτι ἡνίκα συρρεῖ ὁ πῶρος, τὰς ἐσπαρμένας τοῖς ἀραιώμασι τῶν ὀστῶν ῥανίδας τοῦ αἵματος θλίβει.

58. Πῶς πῶρος συνίσταται; τὸν τρόπον τοῦτον· ἐκ τῆς τροφῆς οὐσία μεταβληθεῖσα καὶ εἰς τοὺς τόπους ἐκείνους ἐνεχθεῖσα, τοιάδε ἀποτελεῖ, καὶ γίνεται ὁ καλούμενος πῶρος. ὃν γὰρ τρόπον καὶ ἐν τοῖς μυξωτῆρσι φθάσασα αὕτη ἡ μεταβολὴ γίνεται μύξα, ἐν δὲ μαστοῖς γάλα, οὕτως b
καὶ ἐν ὀστοῖς πῶρος διὰ τοιαύτην κατασκευὴν καὶ φύσιν τοῦ μέρους. πρὸς ὃ γὰρ πέφυκε τὰ μέρη, τῇ ἑαυτῶν φύσει συνεξομοιοῖ τὴν τροφήν, ὡς ἐπὶ κήπου τοῦ πολυφύτου. ἑνὸς γὰρ ὄντος τοῦ ὕδατος ἀρδεύοντος τὰ φυτά, πρὸς ὃ ἔχει ἕκαστον φύσιν, οὕτως ἀναδέχεται τὸ ὕδωρ· οἷον τὸ μὲν ἀψίνθιον τῇ μὲν ἑαυτοῦ φύσει ἐξοικειοῖ τὸ ἐνεχθὲν εἰς αὐτὸ ὕδωρ, καὶ τὸ ὤκιμον ὡσαύτως, καὶ τὰ ἑξῆς. ὡς δὲ Ἀνδρέας ὁ Καρύστιός φησι, προσχεόμενος ὁ μυελὸς ταῖς κοιλότησι τῶν ὀστῶν καὶ περιπηγνύμενος τοῖς χείλεσι τῆς τοῦ ὀστέου διαιρέσεως, καὶ σκληρυνθεὶς γίνεται πῶρος.

59. Διὰ τί οἱ χολέρᾳ ἁλισκόμενοι, ἐπιταθέντες τῷ πάθει τὰς γαστροκνημίας συνέλκονται; ῥητέον ὅτι ἡ χολέρα πεῖσίς ἐστι τοῦ στομάχου. νευρώδης δὲ οὗτος· ἀξιολόγως οὖν ἐπιταθεὶς συνδιατίθησι τοὺς ἐν ἡμῖν μύας· νευρώδεις γὰρ οἱ μύες εἰσίν.

60. Διὰ τί ὑπαλειφθέντες κολλύριον στυπτικόν, με-
μυκότες μὲν τοὺς ὀφθαλμούς, ἧττον τῆς στύψεως ἀντι- 350
λαμβάνονται· ἀνοίξαντες δὲ τούτους, σφοδρότερον τῆς 48
στύψεως ἀντιλαμβάνονται; διότι μεμυκότα τὰ βλέφαρα τὸν κερατοειδῆ ὑμένα ἠρεμεῖν ποιοῦσιν· ἐπηρεμοῦντος οὖν τοῦ βολβοῦ, τὸ ὑπαλειφθὲν παρεμφράσσον τοὺς πόρους, τῆς ἰδίας στύψεως ἀντίληψιν ἥττονα παρέχει· ἀνοίξαντες δὲ τὰ βλέφαρα, εἰκότως μᾶλλον τῆς στύψεως ἴσχομεν τὴν ἀν-

τίληψιν. τῇ γὰρ συνεχεῖ κινήσει τοῦ ὀφθαλμοῦ, ὁ βολβὸς πρὸς τὰ βλέφαρα παρατριβόμενος, θερμασίας αἴτιος γίνεται· ταύτης δὲ ἀποτελεσθείσης, οἱ λόγῳ θεωρητοὶ πόροι χαυνοῦνται καὶ ἀνευρύνονται· ἀνευρυνθέντων δὲ τούτων, ἀνάγκη δέχεσθαι, ὡς εἰπεῖν, τοὺς λόγῳ θεωρητοὺς ὄγκους τοῦ κολλυρίου· ὅθεν στυπτικωτέραν παρέχει τὴν στύψιν. Ἢ ὅτι ἐν τῷ διάγειν τοὺς ὀφθαλμοὺς μετὰ τὴν ὑπάλειψιν συμπεριδονούμενον τῷ βολβῷ τὸ κολλύριον, λεπτύνεται· ἀεὶ γὰρ τὰ κινούμενα εὐφυῆ πρὸς λεπτυσμόν· ὅσῳ τοίνυν λεπτύνεται, τοσούτῳ τὴν ἀντίληψιν παρέχει τῆς στύψεως.

61. *Διὰ τί οἱ φρενιτικοὶ καὶ οἱ μεμηνότες ἐν τοῖς παροξυσμοῖς ἰσχυρότεροί τέ εἰσι καὶ τὴν δύναμιν ἐπιτε-*
b *ταμένην ἔχουσι;* ῥητέον, ὅτι θρασύνονται μὲν ὑπὸ τῆς παρακοπῆς· δύσκαμπτον δὲ αὐτοῖς ἐστι τὸ σῶμα ἀπὸ τῆς ἄγαν σφίγξεως. διὰ τοῦτο δὲ εἰς ἄνεσιν ἐλθόντες ἀτονοῦσιν, οὐ γινόμενοι ἀπὸ τοῦ κρείττονος χείρονες, ἀλλὰ τῆς σφίγξεως ἀνεθείσης.

62. *Διὰ τί σιναπισθέντες ὕδατι μὲν τοῦ σινήπεως λειωθέντος καὶ καταχρισθέντος, φοινίσσονται πλέον· ἐπὰν δ' ὄξει λειωθῇ, οὐκ ἔτι τοῦτο παρέχει τοῖς πεπονθόσι;* ῥητέον, ὅτι οἱ τῷ ὄξει ἐπιχρισθέντες εἰκότως ἧττονα τὴν ἄμυξιν ὑπομένουσι καὶ τὸν φοινιγμόν· στύφονται γὰρ τὴν ἐπιφάνειαν, καὶ ὡς εἰπεῖν περιγανοῖ τὴν ἐξ αὐτοῦ ἀποτελουμένην πύκνωσιν τῶν πόρων [τὸ ὄξος]· ὅθεν οὐ συγχωρεῖ εἰς παρείσδυσιν χώραν ἔχειν τὸ νάπυ πρὸς τὸ καθάψασθαι τῶν πόρων. Ἢ ὅτι ἡ δριμύτης τοῦ νάπυος, τῇ ἐπιμιξίᾳ τοῦ ὄξους ἀμβλύνεται; αὗται γὰρ αἱ ποιότητες ἀλλήλαις
351 συμπλακεῖσαι τὴν οἰκείαν ἄκραν τῆς ποιότητος διέφθειραν, τῷ ἕκαστον τὴν ἰδίαν ἰσχὺν ἀποβεβληκέναι. ὃν τρόπον καὶ ἐπὶ τοῦ εὐκράτου λεγομένου ἐστὶ συνορᾶν· καὶ γὰρ τοῦτο ἐκ θερμοῦ ἄγαν ὕδατος καὶ ψυχροῦ συστάν, τῇ ποιᾷ περι-
49 πλοκῇ ἀπέβαλε τὰς ἄκρας ποιότητας, καὶ παρ' ἐκείνας ἑτέρα τις ποιότης ἀπετελέσθη. Οἱ δὲ σιναπισθέντες, τοῦ νάπυος ὕδατι λειωθέντες, μᾶλλον φοινίσσονται [τοὺς τόπους] δι' αἰτίαν τοιάνδε· τὸ γὰρ ὕδωρ τῷ λεῖον εἶναι καὶ τῷ διϋγραίνειν, ἀνευρῦνον τοὺς πόρους τοὺς λόγῳ θεωρητούς, παρεισδύνειν συγχωρεῖ τῷ νάπυϊ. ἔστι δὲ ὡς προείρηται θερμὸν

*καὶ συνεργεῖ μᾶλλον τῇ τῶν πόρων ἀναπετείᾳ. Εἰκότως οὖν οἱ μὲν ὄξει σιναπισθέντες, ἔλαττον φοινίσσονται· οἱ δ' ὕδατι, μᾶλλον.*

63. *Διὰ τί τὸ ὄμβριον ὕδωρ γλυκύ, καίπερ ἀπὸ θαλάσσης ἀνιμώμενον; ῥητέον, ὅτι τὸ θαλάττιον ὕδωρ καθ' ἑαυτὸ ἁλμυρόν ἐστι· ἔστι δὲ τοῦτο βαρύ. ἔχει δὲ ποταμοὺς ἐπιῤῥέοντας εἰς αὐτήν. τὸ γοῦν πνεῦμα ἀνιμώμενον ἐκ τῆς θαλάττης τὸ ὕδωρ, οὐ τὸ παχὺ ἐφέλκεται, ἀλλὰ τὸ ἐν αὐτῇ λεπτόν, ὅ ἐστι τὸ γλυκύ. εἰκότως οὖν τὸ ὄμβριον γλυκύ, κἂν ἀπὸ θαλάττης ἀνιμᾶται. ἢ ὅτι τὸ πνεῦμα τῇ βίᾳ τῇ σφοδρᾷ, κἂν [αὐτὸ] τὸ θαλάσσιον ἀνιμήσηται, κινεῖ τοῦτο, κινηθὲν δὲ αὐτὸ λεπτότερον γίνεται; ἀεὶ γὰρ τὰ κινούμενα εὐφυῆ πρὸς λεπτυσμόν. τὸ δὲ λεπτόν, καὶ γλυκύ, ὡς [μὴ] ἐκ μεγάλων συνεστὼς ὄγκων. διὸ γλυκὺ τὸ* b *ὄμβριον ὕδωρ.*

64. *Διὰ τί τὸ θαλάσσιον ὕδωρ ἁλμυρὸν τυγχάνον, ἑψηθὲν ἐπὶ πολύ, γλυκύτερον γίνεται; ἕψεται δὲ ἕως ἀποτριτωθῇ. Ῥητέον, ὅτι τὸ θαλάττιον ὕδωρ ἐκ μεγάλων ὄγκων συνεστὼς λεπτύνεται καταδιαιρούμενον ὑπὸ τοῦ πυρός. μεταβολὴν τοίνυν ἐσχηκός, διὰ τὸ ἀπὸ παχέως εἰς λεπτὸν καταστῆναι, τῷ ἀποβεβληκέναι τὴν προτέραν ποιότητα, γέγονεν ἀντὶ ἁλμυροῦ γλυκύ.*

65. *Διὰ τί οἱ πάνυ φλεγμαίνοντες ὀφθαλμοὶ τραχύτητός τινος συναίσθησιν παρέχουσι τοῖς κάμνουσιν; ἢ λήμης ἐπιγενομένης καὶ τῷ ἄνω βλεφάρῳ ὑπεισελθούσης, ὁ τραχυσμὸς ἀποτελεῖται; ἢ διὰ τὸ τὰ ἔνδον ἀνωμάλως κατα-* 352 *πλέκοντα τὸ βλέφαρον ἀγγεῖα κυρτοῦσθαι, καὶ οὕτω τὴν τραχύτητα ἐπάγειν;*

66. *Διὰ τί γίνεται ἐν ὀφθαλμῷ λήμη; ἢ ὅτι τῶν ὑμένων τοῦ ὀφθαλμοῦ ὥσπερ ἐξ ἐπικαύσεως ἄγαν πυρωθέντων, διὰ τὴν πλεόνασιν καὶ δυσδιαφορησίαν τῶν πόρων ἐπεχομένου τοῦ ὀφείλοντος θερμοῦ ἐκ τοῦ βάθους διαφορηθῆναι ἀποτελεῖται; ἢ ὅτι τὰ ἐν τῷ ὀφθαλμῷ κατὰ φύσιν ὑγρά, ἀναξηρανθέντα καὶ οἱονεὶ φρυγέντα ὑπὸ τῆς τοπικῆς* 50 *πυρώσεως, τῆς λήμης γένεσιν ἀποτελεῖ;*

67. *Διὰ τί ἐπὶ τῶν πυρεσσόντων οἱ σφυγμοὶ ἀλλοιοῦνται; ὅτι τὸ πνεῦμα τὸ ἐν ἡμῖν κατὰ φύσιν ὂν καὶ σύμ-*

μετρον, πλεονάζον, λεπτυνθὲν κατὰ διαίρεσιν ὑπὸ τῆς ἐν τῷ βάθει γενομένης [πλείονος] θερμασίας, καὶ γενόμενον ὀξυκίνητον διὰ τὴν κουφότητα, οὐ μόνον τοὺς σφυγμοὺς ἀλλοιοῖ, ἀλλὰ καὶ αὐτὴν τὴν ἀναπνοήν.

68. *Διὰ τί τὴν ἐπιφάνειαν ἑλκώδη ἴσχουσιν οἱ πυρέττοντες*; ὅτι παρατριβομένης τῆς σαρκὸς τοῖς παρακρατουμένοις ὄγκοις εὐτριψίας οὔσης, προσαγανακτεῖ· ὡς καὶ ἐπὶ τῶν φλεγμαινόντων τι μέρος τοῦ σώματος εἴωθε γίνεσθαι.

69. *Διὰ τί ὠχριῶσιν οἱ πυρέττοντες*; ἤτοι διὰ τὴν τροπὴν τῶν ἐν ἡμῖν ὑγρῶν, ἢ διὰ τὴν τῶν λόγῳ θεωρητῶν πόρων μετασκευὴν τοῦτο συμβαίνει· ἀνάλογον δὲ καὶ περὶ τὰς ἐκκρίσεις τῆς κοιλίας καὶ τῶν οὔρων ἡγητέον γίνεσθαι.

70. *Διὰ τί ἐπὶ τῶν ῥοωδῶς πυρεσσόντων, διαφορήσεως οὔσης καὶ ἀποικονομήσεως τῶν ἐν ἡμῖν, θερμασία τις ἐπι-
b φαίνεται τούτοις, καὶ ὁ σφυγμὸς μέγας*; ὅτι τῆς παρακειμένης ὕλης λεπτυνομένης ἐπὶ πολύ, ἡ διαφόρησις γίνεται· τῇ δὲ ποιᾷ παρόδῳ τῶν ὄγκων καὶ παρατρίψει, ἡ ποιὰ θερμασία ἀποτελεῖται. καὶ οὔ φαμεν ὁμοίως τοῖς στεγνοπαθοῦσι τὴν θερμασίαν ἔχειν τοὺς ῥοωδῶς πυρέσσοντας· ἀλλ' οὐδὲ μὴν τὸν σφυγμόν· κατὰ δὲ σύγκρισιν τῶν ὑγιαινόντων. ἔσται δέ σοι τοῦτο πρόδηλον κἀκ τῶν λουσαμένων ἢ γυμνασίᾳ χρωμένων, ἐφ' ὧν χαλῶνται μὲν οἱ πόροι, λεπτύ-
353 νεσθαι δὲ συμβαίνει τὰ παρακείμενα καὶ διαπνεῖσθαι προδήλως τὴν θερμασίαν· γίγνεσθαί τε καὶ εἶναι πλείονα ἢ κατὰ φύσιν, καὶ τὸν σφυγμὸν σφοδρότερον, καὶ μέγεθος ἴσχειν· τὴν γὰρ δυσκινησίαν καὶ τὸ βάρος ὑπὸ τῆς μειωθείσης δυνάμεως ἀποτελεῖσθαι.

71. *Διὰ τί πρὸς τὴν τροφὴν οἱ πυρέξαντες ἀνορέκτως ἔχουσιν*; ἢ ὅτι ἡ ὄρεξις ἐν συμμετρίᾳ τινί ἐστι τῶν ἐν στομάχῳ καὶ κοιλίᾳ πόρων; ἣν συμμετρίαν εὔλογον οὐχ ὑγιῆ μένειν, ἤτοι διαστάντων ἐπὶ πλεῖον τῶν πόρων, ἢ μυόντων.

72. *Διὰ τί ἐν ταῖς χολέραις τὰ ἄκρα συνέλκεται καὶ
51 σπᾶται καὶ καταψύχεται, καὶ ἀμαυρὸν τὸν σφυγμὸν ἔχουσιν*; ὅτι λεληθότως διαφορεῖται τὸ ἐξ αὐτῶν πνεῦμα πρὸς τὴν ἐν κοιλίᾳ λεπτομέρειαν· ἔνθερμος γὰρ τούτοις ἡ κοι-

*λία· ἔνθεν καὶ ναρκῶσι. ναρκᾷ δὲ τὰ στερούμενα τῆς τοῦ πνεύματος παραθέσεως· τὰ δὲ ἄκρα ψύχεται καὶ συνέλκεται, τῷ καὶ τὸ ἐν τούτοις θερμὸν πρὸς τὴν κοιλίαν φέρεσθαι διὰ τὴν λεπτομέρειαν.*

**73.** *Διὰ τί οἱ ὑδροφοβικοὶ τὸ ὕδωρ φοβοῦνται, καὶ τὸ αἰδοῖον ἅμα τοῖς ὑποχονδρίοις ἐντείνονται, καὶ τρέμουσι καὶ σπῶνται καὶ παρακόπτουσιν εἰς τοσοῦτον, ὥστε καὶ ὑλακτῆσαι κυσὶν ὁμοίως; σπῶνται μὲν οὖν καὶ τρέμουσι, τοῦ στομάχου συντιθεμένου τῷ νευρώδει. διὰ ταὐτὸ δὲ καὶ τὸ αἰδοῖον ἐντείνονται. ἡ γὰρ τοῦ ὑδροφόβου κατασκευὴ καὶ ἡ πεῖσις, ἔνστασίς ἐστι περὶ τὸν στόμαχον καὶ τὴν κοιλίαν. παρακόπτουσι δὲ διὰ τὸ ἀναδίδοσθαι ἐπὶ κοιλίαν καὶ στόμαχον ὕλην ἐφθαρμένην, καὶ ταύτης μέρος τι εἰς τὰς μήνιγγας ἀναθυμιᾶσθαι. ἐνιστάμενον δὲ περὶ ταύτας, ἀπεργάζεται τὰς ἐκνοίας· ὀχλοῦνται δὲ πίνοντες, ὅτι ἡ μὲν σύστασις ἀπετελέσθη περὶ μικροὺς πόρους. ὅταν οὖν πίνωσι, παραδύεται τὸ ὕδωρ, ἅτε λεπτομερὲς ὄν, τοῖς* b
*μικροῖς πόροις καὶ αὔξει τὰς ἐνστάσεις. ὑπὸ δὲ τῆς στερεμνίου τροφῆς οὐκ ὀχλοῦνται. τοὺς γὰρ ὄγκους αὐτῶν μεγάλους ὄντας, οἱ πεπονθότες οὐ παραδέχονταί ποτε. καὶ μὴ πίνοντες δὲ τὸ ὕδωρ, δεδοίκασι τοῦτο διὰ τὴν τῶν αἰσθητηρίων φαντασίαν. πίνων γάρ τις ὁρᾷ ἅμα καὶ πίνει· ἡ δὲ ὅρασις ὑπὸ τοῦ ὕδατος κινηθεῖσα, συγκινεῖ τὸ ἐν τῷ* 354
*στόματι πνεῦμα. τοῦτο δὲ κινηθὲν ὑπὸ τοῦ πινομένου συγκινεῖ τὴν ὅρασιν οὕτως, ὡς ὑπὸ τοῦ ὕδατος πρὶν ἐκινεῖτο· ἐκ δὲ τῆς συγκινήσεως γίνεται συγγυμνασία τοιαύτη, ὥστε κἂν μὴ πίνηται τὸ ὕδωρ, βέβληται ἐν τῷ στομάχῳ πνεῦμα συγκινοῦν, ὡς ὑπὸ τοῦ πινομένου τάχιον ὀχληρῶς ἐκινεῖτο. συγκαλυψάμενοι οὖν πίνουσι διὰ τὸ ἀποχωρεῖν τῶν κινημάτων τὸ ἕτερον. ὑπὲρ δὲ τοῦτο ἰόν, τοῖς πόροις τοῦ στομάχου ἐνίστασθαι βέλτιον ἔχει.*

**74.** *Διὰ τί οἱ ἀπεπτήσαντες ἐφθαρμένην ἀπερεύγουσι τροφήν; ὅτι διὰ τὸ πλῆθος τῆς προσαχθείσης, θερμασία πλείων γίνεται εἰς τὸ κύτος τῆς κοιλίας· καὶ αὕτη ἐμπλεομένη, φθείρει τὴν τροφὴν καὶ κνισσοῖ, οὐκ ἐκ τοῖς ἀραιώμασιν, ἀλλ' ἐν τῷ κύτει.*

**75.** *Διὰ τί οἱ κεφαλάλγειαν ἔχοντες ἀμβλυωποῦσι καὶ* 52

δακρύουσι συνεχῶς; ὅτι ἐπὶ τὴν κεφαλὴν ἀναδιδομένης ὕλης (ἀεὶ γὰρ ἐπὶ τὰ πεπονθότα αἱ ὗλαι φέρονται) πολὺ μέρος φέρεται ἐπὶ τοὺς ὀφθαλμούς, καὶ τοῦτ᾽ εἰκότως, διὰ τὸ ἀνεῷχθαι διὰ τὸ πλῆθος τῆς λεπτομερείας, ὃ γίνεται διὰ τὴν συνεχῆ κίνησιν αὐτῶν. [ἢ] καὶ πῇ μὲν δακρύουσι διὰ τὸ πλῆθος τῆς ἐπιφορτιζούσης τὰ μέρη ὕλης· πῇ δὲ ἀμβλυωποῦσι διὰ τὸ ἐπιθολοῦσθαι τὸ κατὰ φύσιν πνεῦμα, τὸ διοδεῦον διὰ τῶν ὁρατικῶν πόρων τῇ ἐπιμιξίᾳ τῆς ἀναδοθείσης ὕλης.

76. Διὰ τί ἦχοι ἀποτελοῦνται κεφαλαλγείας οὔσης; ὅτι τὸ ἀκουστικὸν πνεῦμα κραδαίνεται ὑπὸ τῆς ἐνστάσεως τῆς περὶ τὰ μέρη συστάσης· ἔνστασις δέ ἐστιν ὄγκος ἐν λόγῳ θεωρητοῖς ἀραιώμασι διὰ σφήνωσιν.

77. Διὰ τί οἱ κεφαλάλγειαν ἔχοντες ἐξανιστάμενοι μᾶλλον ἀλγοῦσιν; Ὅτι κινουμένης τῆς κεφαλῆς, πλείων ἐπ᾽ αὐτὴν ἡ τῆς ὕλης φορὰ γίνεται καὶ τὰς ἐνστάσεις αὔξει.

78. Διὰ τί ἀσφυξία γίνεται; Ὅτι ἀπὸ τῶν ἀρτηριῶν
b πνεῦμα πονηρευομένου τοῦ πάθους πρὸς τὴν ἐν τοῖς πεπονθόσι λεπτομέρειαν ἕλκεται.

79. Διὰ τί οἱ μαινόμενοι παρακόπτουσιν; ὅτι δυσοδία
355 τοῦ ψυχικοῦ πνεύματος ἀποτελεῖται, διὰ τὴν ἔνστασιν καὶ τὴν μύσιν τῶν ἐν τοῖς μεταβάλλουσιν αὐτὸ σώμασι πόρων· συνίσταται γὰρ περὶ τὸν ἐγκέφαλον καὶ τὰς ἐκεῖσε μήνιγγας τὸ πάθος, καὶ τὰς ἐντεῦθεν διὰ τὸ παρὰ φύσιν διακεῖσθαι τὰς ἀποφύσεις· καὶ φαντασίας τινὰς ὁρῶνται φανταζόμενοι καὶ τὰ μὴ ἑστῶτα ὡς ἑστῶτα ὁρᾶν, καὶ τὰ μὴ ὑπάρχοντα ὡς ὑπάρχοντα, ὅμοιόν τι τοῖς ἰκτερικοῖς πάσχοντες. καὶ γὰρ ἐκεῖνοι διὰ τὴν ποροποιΐαν τῶν ἐν τοῖς ὀφθαλμοῖς ἀποτελεσθέντων πόρων, τοιάνδε τῶν ὁρατῶν φαντασίαν ἔχουσι· πάντα γὰρ αὐτοῖς χλωρὰ φαίνεται εἶναι.

80. Διὰ τί οἱ μελαγχολικοί, ὀργίλοι καὶ δύσθυμοι; ἐπειδὴ τὸ πάθος περί τε κοιλίαν ὑφίσταται καὶ τοῦ στομάχου τὸ πέρας, ὃ συνάπτει τῷ στόματι τῆς κοιλίας. ἐκεῖσε οὖν ὑγρῶν διεφθορότων, συναθροισμὸς ἀποτελεῖται, καὶ αἰτία γίνεται τῶν λεχθέντων· πρόδηλον δὲ τοῦτο κἀκ τῶν ὑγιαινόντων μέν, ἀρχῇ δὲ τροφῆς χρησαμένων. δυσεντευ-

ξίαι γὰρ συμβαίνουσι. καὶ οἱ ὑδροφοβικοί, ἐπιβουλεύεσθαι 53 δοκοῦντες, ἀτροφοῦσι σχεδόν.

81. Διὰ τί τῶν παραλυθέντων μερῶν τὰ μὲν ἐπεκτείνεται, τὰ δὲ συστέλλεται καὶ συνέλκεται; ὅτι τὸ πάθος κατὰ τῶν λόγῳ θεωρητῶν ἀραιωμάτων ἀποτελεῖται. ὅταν οὖν ἡ μύσις εἰς μῆκος συμπέσῃ, ἐπεκτείνεται τὸ παρεθὲν μέρος· συνέρχεται δέ, ἐπὰν ἐπικαρσίως οἱ πόροι μύσωσι.

82. Διὰ τί οἱ δυσπνοοῦντες ἦχον συριγματώδη ἠχοῦσιν; ὅτι μύσις τίς ἐστι καὶ σύμπτωσις πόρων τῶν ἐν τῷ πνεύμονι πάθος. διὰ στενοῦ τοίνυν τόπου πνεύματος φερομένου, ἦχος τοιοῦτος ἀποτελεῖται. συναντῶσι δὲ καὶ βῆχες τούτοις, διὰ τὴν ἐκ τῆς παρατρίψεως θερμασίαν, πλειόνων συνδιδομένων ὄγκων εἰς τὰς τῶν βρόγχων κοιλότητας, κἀκείνων ἀπὸ τοῦ πνεύματος ἅμα κοπτομένων.

83. Διὰ τί οἱ δυσπνοοῦντες, ὀρθοὶ ὄντες, ἔλαττον δυσπνοοῦσιν, ἤπερ κατακείμενοι; ὅτι τοῦ βρόγχου συμπαθοῦντος κατὰ τὸ πνεῦμα συμβάλλει καὶ τὸν θώρακα συνδιεγείρειν αὐτῷ.

84. Διὰ τί ἐν τοῖς ῥήγμασιν ἐπὶ τῶν ἐκ πληγῆς ῥη- b 356 γνυμένων, τὸ μὲν ὑπογάστριον οὐ ῥήγνυται ἐκτὸς ὄν, τὸ δὲ περιτόναιον ἔνδον ὄν, ῥήγνυται; τούτου ἡ αἰτία αὐτὴ τῶν σωμάτων ἡ φύσις· τὸ μὲν ὑπογάστριον σαρκῶδές ἐστι, τὸ δὲ περιτόναιον τεταμένον· ἀντιπάσχον οὖν τῷ προσπίπτοντι, ῥήγνυται. τὸ αὐτὸ συμβαίνει καὶ ἐπὶ τῶν ἄνευ τραυμάτων καταγμάτων.

# VIII.

## ΘΕΟΦΥΛΑΚΤΟΥ ΤΟΥ ΣΙΜΟΚΑΤΟΥ ΔΙΑΛΟΓΟΣ

περὶ διαφορᾶς φυσικῶν ἀπορημάτων καὶ ἐπιλύσεων αὐτῶν.

---

### Ἡ διάλεξις τοῦ διαλόγου.

Τὰς χελιδόνας ὑπὸ τῶν μητέρων ἀκήκοα τὴν παρ' αὐταῖς ᾠδὴν διδάσκεσθαι μουσικῶς· οὐδὲ γὰρ ἀπαιδεύτου γεννήματος χελιδὼν ἀκούειν μήτηρ ἀνέχεται. διδάσκουσι τοίνυν ἐκεῖναι τὰ ἔκγονα πόλεσι εἰσοικίζεσθαι καὶ προσάδειν ἀνθρώποις καὶ περιλαλεῖν θαλάμοις ᾠδὴν ἐναρμόνιον. ἄγε δὴ [οὖν ἄγε] μουσικώτατε σύλλογε εὐγλωττίαν δίδου παιδί, καὶ προσάδειν θεάτρῳ με δίδασκε καὶ περιλαλεῖν ᾠδὴν ἀττικὴν ἄρτι μαθόντα μουσικῶν ἐπιβαίνειν θαλάμων. εἰ δέ τι καὶ τῶν ᾠδικῶν ἔξω γενοίμην ῥυθμῶν, ὑπηχεῖτε φιλοτίμως μοι τὰ λειπόμενα, ὥσπερ ὁ παρὰ τῷ Λοκρῷ τῷ Εὐνόμῳ τῆς μελῳδίας τέττιξ συνέριθος ἔδοξε καὶ Τεύκρῳ στρατεύεσθαι καὶ τροπαίων ἐρᾶν καὶ πολεμικῆς ὀρέγεσθαι παρατάξεως. οὐκοῦν τῇ προβολῇ τῆς ἀσπίδος Αἴας ἐτείχιζε· καὶ τοξότης ὁ Τεῦκρος ἦν εὐστοχώτατος. Αἴας γὰρ ἦν τῆς ἀριστείας ὑπόθεσις. Ἀνάσχετε οὖν ἄνδρες διδάσκαλοι ὥσπερ ἀσπίδα τὴν ὑμετέραν εὐμένειαν, καὶ κρότος ὅπλα μοι εἴη τὸ τήμερον· καὶ νικηφόρος οἶδα γενήσομαι, εἰ καὶ μὴ βαρβάρου γῆς ἐπιβέβηκα. Εἰ δὲ καὶ μητέρα τέχνην οὔπω κεκλήρωμαι, ἀλλ' ἔστι μοι γένος ὅθεν ὑμῖν· καὶ λόγους ἔχω πατρίδα, καὶ τὰ τῆς Ἑλλάδος ἡμέτερα.

*ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ.*

*Ἀντισθένης. Πολυκράτης.*

*α'. Ποίῳ λόγῳ ἄκαυστος ὁ ἀδάμας καὶ φύσεως πυρός ἐστιν ἀμέτοχος.*

1. *Ἀντ.* Ἀρισταγόραν τὸν Τιμοκλέους πολλοῦ γε Πολύκρατες [περὶ τὸ Λύκειον] οὐχ ἑώρακα χρόνου. ἆρά γε ποῦ; ἆρα μή που ἐπὶ τὴν Σικελίαν ἀπῆρε τοὺς πυριπνόους κρατῆρας ὀψόμενος, ἢ τὸν Ἰνδικὸν περινήχεται κόλπον, ἵνα τινὰ φιλοσοφίας ἐπιστήμην πορίσοιτο;

2. *Πολ.* Ὄντι που Ἀντίσθενες, ἐπείπερ Ἀθήνηθεν Ἀπολλογένης ὁ Κορίνθιος χθές που γενόμενος ὡς ἡμᾶς περὶ τὴν Ποικίλην στοὰν Ἀρισταγόραν ἔφη θεάσασθαι. Ἀρίστωνα δὲ τὸν φυσικὸν καὶ Σωσίπατρον τὸν Ἑρμογένους περὶ τὸ λεωκόριον ἑωρακέναι αὐθήμερον ἀφικομένους ἀπήγγειλεν.

3. *Ἀντ.* Πόθεν δῆτα, Πολύκρατες;

*Πολ.* Περὶ τὸν Εὔξεινον ἐνθαλαττεύσαντες κόλπον καὶ πολλοῖς ἄγαν καὶ μεγίστοις ἐνδιατρίψαντες πόνοις ὥσπερ τι χρύσειον κῶας ἡμῖν τὰς ἐπικόμψους θεωρίας φόρτον ἠγάγοντο. ἔρως γάρ τις αὐτοὺς ἐπιστήμης λαβών, ἐνοίστρησέ πως ἄμφω καὶ πρὸς ἱστορίας κατάληψιν ἐνεβάκχευσεν. ἐγλιχέτην γάρ, ἐγλιχέτην τὴν Μαιῶτιν ὅπως λίμνην θεάσοιντο, εἰ στρογγύλη μὲν τὴν θέσιν· ἐννέα γὰρ αὐτὴν σταδίων χιλιάδες περιγράφουσιν ὅροι, καθάπερ γεωγράφοι κηρύττουσιν, ἀξιόπιστον ἡμῖν προβαλλόμενοι τὴν ἀπόδειξιν. καί τινας διαπορῆσαι φυσιολογίας Περικλέα φασὶ τὸν Κορίνθιον περὶ τὸν Βόσπορον αὐτοῖς ξυναντήσαντα. 4. Ἐντεῦθεν λόγοι καὶ θεωρίαι [περὶ] τὸ ἄστυ κυμαίνουσι, καὶ πᾶς φιλοσοφεῖ, ὅπως τι λέξοι τορόν, καὶ κομψότητι δόγματος ἄλλος ἄλλου κρατήσειεν. Ὁ Περίπατος πρὸς τὴν Στόαν ἔχει τὴν ἅμιλλαν· ἡ Στοὰ Πυθαγορείοις συμπλέκεται [καὶ] Ἀκαδημαϊκοῖς λόγος Ἐπικουρείων οὐ σπένδεται· καὶ πόλεμός τις ἀσίδηρος ἀνὰ τὴν Ἑλλάδα κεκίνηται.

5. *Ἀντ.* Ἄγε δῆτα, ὦ βέλτιστε, περὶ τούτου φράσον ἡμῖν. ὡς ὁρᾷς γὰρ ἐπὶ θεωρίαν τὸν νοῦν ἀνεπτέρωμαι καὶ φλέβας ἐπιστήμης ἀνιχνεύω θεάσασθαι, καθάπερ μεταλλουργοί τινες ὁπηνίκα τιμαλφεστάτου τινὸς ὕλης πόρους θεάσοιντο.

6. *Πολ.* *Οὐ περὶ μικροῦ τινος γλῶτται καὶ λόγοι καὶ θεωρίαι βάλλουσί τε καὶ βάλλονται. ἀδαμάντινος γάρ τις ἐξωπλίσατο πόλεμος καὶ τὰ τῆς φύσεως ἀνελίττουσιν ὄργια. φασὶ γὰρ τὸν Περικλέα εἰπεῖν, τί δῆτα τὸν ἀδάμαντα ἡ φύσις δεδημιούργηκεν ἄκαυστον καὶ τοῦ παμφάγου πυρὸς ὑψηλότερον. τουτὶ [ὦ] φίλος τὸν [τῶν] φιλοσόφων διαταράττει χορὸν καὶ πρὸς ἔρευναν τῶν ἀπορρήτων ἐνθουσιᾶν παρεσκεύασε. τοιούτοις γὰρ ὁ Κορίνθιος ἐνειλῶν τοῖς δεσμοῖς ὥσπερ ἐν Σκυθικῷ λαβυρίνθῳ τινὶ τῷ δυσεκβάτῳ τῆς θεωρίας ἀποκλείσας ᾤχετο.*

7. *Ἀντ.* *Ἐρῶ σοί τι φύσεως ἔργον, Πολύκρατες, ἐπεί σε φιλότιμον καὶ λόγων μουσικῶν ἐραστὴν ὑπαισθάνομαι· φίλῳ γὰρ μηδὲν ἄγνωστον ἔχοιμι καλόν, τῷ Κυρηναίῳ πειθόμενος.*

*Πολ.* *Οὐκοῦν ἄγε δὴ ἄγε, Ἀντίσθενες, λόγος ἡγείσθω ὅτῳ κοινωνεῖν ἀλλήλοις εἰώθαμεν τοῦ βουλήματος.*

8. *Ἀντ.* *Λεπτότατοί τινες πόροι διὰ τὸ λίαν στερέμνιον πεφύκασι τῷ ἀδάμαντι· διὸ καὶ ὁ σίδηρος ἀσθενὴς πρὸς ἀδάμαντα· ἀνεπίδεκτος γὰρ καὶ γλυφῆς καὶ τομῆς διὰ τὸ λίαν πυκνότατον. ἐντεῦθεν φλογὸς οὐκ αἰσθάνεται, ὥσπερ ἀπειργόντων τῶν πόρων, καὶ ἁπαξαπλῶς ἀντιπραττόντων φύσιν πυρὸς τὸν λίθον εἰσδέχεσθαι. τὰ τοίνυν ἄμικτα καὶ διέστηκε· τῶν δὲ διεστώτων σχέσις οὐκ ἔνεστιν. ἀσυνδύαστος οὖν ἀδάμας πυρί. οὐκοῦν ἄκαυστος καὶ φύσεως πυρὸς διὰ πυκνότητα ἠλλοτρίωται.* 9. *Σίδηρος γοῦν καὶ χρυσὸς πυρὸς φύσιν εἰσδέχονται, ὅθεν τὰ τοιαῦτα τήκεται ἢ μαλάττεται. ναὶ μὴν καὶ διὰ τὸ μᾶλλον ἄνικμον ἄκαυστος πέφυκεν ὁ ἀδάμας. πᾶν γὰρ [τὸ] τηκτὸν πλείστης ἀνάγκη μετέχειν ὑγρότητος.*

10. *Πολ.* *Εὖ γε τοῦ λόγου ἀδαμαντίνοις τισὶ ῥήμασι τὰς περὶ ἀδάμαντος θεωρίας ἐποίκιλας· ναὶ μὰ τὸν ἀδάμαντα καὶ εἴ τι ἀδάμαντος ἀσφαλέστερον. ἰσχυρότερον γὰρ ἡμῖν ἀδάμαντος ἡ ἀλήθεια· ἀλλὰ φέρε δὴ καὶ τὸ πολυθρύλλητον ἐκεῖνο καὶ ἐπίσημον τοῦ Κορινθίου ἐνοπτρισώμεθα πρόβλημα.*

*Ἀντ.* *Ὅ,τι βούλει, πύθου.*

β. *Ποίῳ λόγῳ τὰ πτερὰ τῶν ἀετῶν ἐπιτιθέμενα τοῖς τῶν ἄλλων ζῴων πτεροῖς φθορὰν αὐτῶν ἀπεργάζεται.*

1. *Πολ.* *Φθείρειν ἔφασκε τῶν ἀετῶν τὰ πτερὰ ἐπιτιθέμενά πως καὶ συμπλεκόμενα τοῖς τῶν ἄλλων ζῴων πτεροῖς, ὥσπερ κἀνταῦθα τύραννος ὁ ἀετὸς εἶναι βουλόμενος, καὶ τῆς κόμης γυμνούμενος οὐδὲν ἧττον βασιλικῆς ἐπιβαίνειν δυναστείας πειρώμενος. τίς ὁ λόγος, Ἀντίσθενες; ἔργα μοι φύσεως διηγοῦ.*

2. *Ἀντ.* *Ὦ τοῦ Κορινθίου, ὡς μυστικῆς τινος ἐπιστήμης ὁ σοφιστὴς ἀξιόχρεως. αὐτὰρ γοῦν λέξω τί σοι, Πολύκρατες· σὺ δέ μοι ἠρεμαῖον ἐπίθες τὸ οὖς καὶ Σειρηναίας ἀκούσεις φωνῆς, οἷά τις Ἰθακήσιος ἐπ' αὐτάς που τὰς ὑπερκυκνείους μελῳδίας γενόμενος.*

*Πολ.* *Λέξον δῆτα, ὦ βέλτιστε.*

3. *Ἀντ.* *Δυσωδέστατον πτηνὸν ἀετός. ἐντεῦθέν τοι καὶ τὰ λείψανα τῆς ἑαυτοῦ θήρας οὐκ ἂν αὖθις ἐπέλθοι τίς ποτε, οὐδὲ χθιζῆς ὦ φίλος θήρας τυχήσειεν· ἄβρωτα δὲ καὶ τοῖς ἄλλοις ζῴοις ἐστίν· αὐθήμερον γὰρ ἠφάνισται, οἷα Φινέως τινὸς καὶ Ἁρπυίας λείψανα δείπνου γινόμενα. διὸ καὶ φθαρτικά πως τῶν ἀετῶν τὰ πτερά. σηπεδονώδους γάρ τινος μετέχουσι φύσεως. καὶ οὐδ' ἂν σωθείη ἕτερ' ἄττα κόμαις ἀετῶν πτερὰ πλησιάσαντα· θᾶττον γὰρ ἀπολώλασιν.*

γ. *Ποίῳ λόγῳ οἱ ἐλέφαντες οὐ πρότερον πίνουσι πρὶν ἂν ἐπιθολώσωσι τὸ ὕδωρ.*

1. *Πολ.* *Λίαν νουνεχόντως, ὦ φίλος. ἀλλ' ὅρα μοι τοῦ Ἀπελλοῦ, Ἀντίσθενες, πίνακας. τεθαύμακα τῆς γραφῆς ἄτερ τὸ κόσμιον. θέα μοι τὸ Ἰνδικὸν τουτὶ ζῷον ὅπως ὁ δημιουργὸς τῆς γραφῆς διεποίκιλεν ἄριστα. λόγος τίς ἐστιν ἐλέφαντα μὴ πρότερον πίνειν, πρὶν ἂν ὑποθολώσῃ τῇ προνομαίᾳ τὰ νάματα.*

2. *Ἀντ.* *Οὐκ ἐπίπλαστον τὸ λεγόμενον. μορμολύττεται σκιὰν τὴν αὑτοῦ ἐν ὕδατι ἐλέφας θεώμενος· διὸ καὶ τοὺς Ἰνδοὺς ἐπιτηρεῖν ἀσέληνον νύκτα φασὶν ὁπηνίκα διαπορθμεύωσι τουτὶ δι' ὑδάτων τὸ ζῷον· τὸν μυθικὸν Νάρκισσον παιδεύεται ἐλέφας τὴν ἑαυτοῦ σκιὰν ἀποστρέφεσθαι καὶ τῶν ξένων τῆς φύσεως ἐρώτων ἀπέχεσθαι.*

*δ'. Ποίῳ λόγῳ ἡ νάρκη διὰ μέσου τῶν κάλων τοῦ ἐπωνύμου μεταδίδωσι πάθους καὶ τῶν θηρευτῶν ναρκῶσιν αἱ χεῖρες.*

1. *Πολ.* Ἄγαμαι τῆς θεωρίας τὴν δύναμιν, ὡς δεινὸς σὺ κομιδῇ φύσεως λόγους μετέρχεσθαι· ἀλλ' ἄγε δὴ τοὺς περὶ νάρκης φιλοσόφει μοι λόγους· καὶ ἡ σοβαρὰ τοῦ Κορινθίου γλῶττα ναρκήσειε τὰ περὶ νάρκης μεγαλαυχουμένη προβλήματα. τοὺς θαλαττουργοὺς ἔφασκεν, εἴποτε νάρκη τῷ κύρτῳ ἁλῷ, τὼ χεῖρε πάσχειν εἰ μὴ εὐθὺς τοῖς κάλοις ἀφελκόμενοι τὸν κύρτον. πῶς δῆτα, ὦ τᾶν, διὰ τῶν κάλων τὰς θηραπὰς τὸ ζῷον ἀμύνεται;

2. *Αντ.* Ἐπὶ τὴν θάλατταν τῶν θαυμάτων ὡς Περικλῆς τὴν γλῶτταν κεκίνηκας. εἴσω τῶν ὅρων γνώσεως τὴν σὴν διάνοιαν ἐπέχε Ἀτλαντικὸν ὥσπερ πέλαγος θεωρίας ἱστορῆσαι γλιχόμενος. ἐγὼ δέ σου, Πολύκρατες, μικροῖς τισι ῥήμασι ψυχαγωγήσω τὸν ἔρωτα.

3. *Πολ.* Λέγοις ἄν, ὦ γενναῖος. ἀστεῖοι γάρ μοι δοκοῦσι καὶ δημοφελεῖς οἱ λόγοι προτίθεσθαι. οὐ μή σου ἀπολειφθείην τὸ τήμερον, οὐ μὰ τὸν ἐμὸν βέλτιστον ἔρωτα.

4. *Αντ.* Εὐπαθεστάτην ὁ ἀὴρ τὴν φύσιν κληρωτικῶς ἀπενείματο· διηχὴς γὰρ καὶ διαφανὴς ἐφάνη καὶ δίοσμος. οὕτω γὰρ αὐτὸν θεῖαι φροντίδες τινὲς δεδημιουργήκασιν ἄριστα, ἵνα πως συμπάθειά τε καὶ ἐνέργεια δι' ἐκείνου ἀνὰ τὸ περίγειον τουτὶ χωρίον συμβαίη. πολλῶν τοίνυν παθῶν καὶ ἐνεργειῶν αἴτιος οὗτος. 5. Πῶς γὰρ οἱ τὰς ὄψεις νοσοῦντες τοὺς ὁρῶντας σφᾶς πολλάκις τοῦ πάθους κοινωνοὺς ἐποιήσαντο· ναὶ μὴν τοῦ περιέχοντος ἀέρος μεταιχμίου δίκην ῥώσεως ἐνόντος ἡμῖν καὶ φαυλότητος. οὐκοῦν διὰ τοῦ ἐνόντος ἀέρος καὶ νάρκη ποιεῖν τι πάθος ἐπίσταται τοῖς αὐτῷ πλησιάζουσιν, εἰ μὴ ταύτης ἐφάψοιντο. 6. Ἐρῶ δέ σοι καὶ τοῦδε τεκμήριον. ἡ μαγνῆτις, ἣν καὶ Ἡράκλειαν λίθον φασί, τοῦ σιδήρου διέστηκε, καὶ ὅμως διὰ μέσου τοῦ ἀέρος ὁρῶμεν τὴν ἐνέργειαν προβαλλομένην τὴν λίθον. ἡ δὲ καὶ περὶ τὸν φοίνικα τὸ φυτὸν γινομένη συμπάθεια ποίαν διάνοιαν οὐκ ἐξίστησι; ποίαν ἀκοὴν οὐκ ἐνεφόρησε θαύματος; ἄλλως τὸ τοῦ θήλεος διακέκριται γένος· εἶτα πλησίον ὄντων ἀλλήλων τοῦ τε ἄρρενος καὶ τοῦ θήλεος, ἴδοις ἂν τὴν θήλειαν καθιεῖσαν τοὺς κλάδους οἷα κόμην

ἐρωτικὴν τῷ ἄρρενι καὶ συμπλοκῆς ἀφιεμένην καὶ ὀργῶσαν. 7. Ἐπειὰν δ' οὐκ ἐξικνοῦνται ἔστιν ὅτε οἱ ταύτης πρὸς τὸν ἄρρενα κλάδοι, σοφόν τι παλαμῶνται ταύτῃ οἱ φυτουργοὶ πρὸς τὸν ἔρωτα. κάλοις γὰρ αὐτὴν περιδεσμοῦσι τῷ ἄρρενι, καὶ οὕτως ἐν αἰσθήσει τῆς ἀπολαύσεως ἡ θήλεια γίνεται καὶ ἐξανίσταται τῆς κυρτώσεως καὶ πρὸς τὸ οἰκεῖον τοὺς κλάδους ἐπανήγαγε σχῆμα, ὥσπερ διὰ τῶν κάλων τὴν τοῦ ἄρρενος σχοῦσα συνάφειαν· 8. Ἄτοπον τοίνυν οὐδὲν ποιεῖν τι καὶ νάρκην τοῖς θηρεύουσι πάθος διὰ μέσων τῶν κάλων.

ε'. Ποίῳ λόγῳ αἱ ἔλαφοι ἀποβάλλουσαι τὰ κέρατα τοὺς συνήθεις ἀποφεύγουσι τόπους.

1. Πολ. Βαβαὶ τοῦ λόγου. ἀδελφὸς εὖ μάλα μοι φύσεως, Ἀντίσθενες, εἶναι δοκεῖς. ἀλλ' ἐκ τῆς θαλάττης ἐπὶ τὴν χέρσον μετελθεῖν ὁ λόγος ἐρᾷ, καὶ μετοχετεύειν ἐπὶ τὴν ἤπειρον τὴν θεωρίαν ἐπείγεται. Τὰς ἐλάφους ὁ Κορίνθιος ἐκομψεύετο τὸ κέρας ἀποβαλλούσας τῶν συνήθων ἀποφεύγειν χωρίων, ὥσπερ αἰσχυνομένας τὴν τέως αὐταῖς ἀκοσμίαν προσοῦσαν.

2. Ἀντ. Δόξειε μέν τις παίζειν ἴσως τὸν Περικλέα, Πολύκρατες, ἢ κορυβαντιᾶν πως καὶ μεμηνέναι, φλήναφον τουτὶ τὸ διαπόρημα προβαλλόμενον. ἐγὼ δὲ τὸν ἄνδρα τεθαύμακα καὶ τὸ φιλόκαλον γεραίρω τῆς γνώσεως. Ἀλλ' εἴ σοι δοκεῖ περὶ τουτηνὶ τὴν πλάτανον καθῆσθαι μικρόν· ἀμφιλαφής γὰρ ἡ πλάτανος τοῦ τε ἄννου τὸ ὕψος καὶ τὸ σύσκιον πάγκαλον.

3. Πολ. Πρόαγε δή.

Ἀντ. Ἀράγε, ὦ παῖ Σωσίου, οἴει δ' ἄρα, οἴει τὸ κέρας ἀποβάλλειν τὴν ἔλαφον;

Πολ. Φημὶ δή· ἀπειράκις τοῦτο τεθέαμαι, ὁπότε παῖς μὲν ἦν τὴν ἡλικίαν, ἀγροικότερον δὲ τὸν νοῦν, ἡνίκα τὰ κυνηγέτου μοι ἐφαίνετο περισπούδαστα· ὅτε αὐλῶνας καὶ γηλόφους ἐθαύμαζον καὶ τῶν ὀρῶν τὰ ὑψηλόκομα ἦν ἐναυλίσματα.

4. Ἀντ. Ἀτὰρ γοῦν λέξω κἀγώ, τί δῆτα τὰς συνήθεις διατριβὰς δραπετεύουσιν ἔλαφοι τὸ κέρας ὥσπερ ἀποκει-

ράμενοι. ἔστιν αἴσθησις καὶ τοῖς ἀλόγοις ζῴοις, Πολύκρατες, καθ' ἣν τῆς οἰκείας σωτηρίας ἀπειλήφασι τὴν διάγωσιν. οἶδεν ἡ σηπία τῆς οἰκείας ἀχλύος τὸ σόφισμα καί που θηραταῖς ἀορασίαν ἄγρας ἐνέθηκεν. οἶδε τὰ γαμψώνυχα τὴν διὰ τῶν ονύχων ἀλκήν· οἶδεν ὁ λαγωὸς διὰ τοῦ δρόμου καὶ τῆς τῶν ποδῶν ὀξύτητος κυνηγέτου ἐπιβουλὰς ἀποπέμπεσθαι· οἶδεν ἡ ἔλαφος ἀποκειραμένη τὰ κέρατα ἀσθενεστέραν τὴν φύσιν ἀμύνασθαι τοὺς λυπήσαντας. 5. Οὐκοῦν ἀποκρύπτεται οἷα στρατιώτης τις ἄοπλος δεδιὼς παρατάττεσθαι καὶ πόρρω που ἀπόμαχος εἶναι βουλόμενος πρὸς ἐπὶ τούτοις ἀλγεῖ τὸ ζῷον τὴν κάρα δεινότατα· ταῦτα φύσις ἐπίσταται καὶ φιλοσοφία μεμύηται.

*Κεφ. ς. Ποίῳ λόγῳ πήγανον ὄφεσιν ἐστὶ πολέμιον.*

1. Πολ. Ὡς ἀγαθὸς κυνηγέτης, ὦ φίλος, μεγίστην θηράσας τινὰ τῷ περιπάτῳ κατάληψιν, νῦν ἡμᾶς μουσικαὶ περιπνέουσιν αὖραι καλῇ ὑπὸ πλατανίστῳ, ὅθεν ἀγλαὸν ἐστὶν ἀρρύσασθαι λόγιον. δεῦρο δὴ ἐπὶ τὰ τῆς Λιβύης ξεναγώγει με θαύματα· ἐκεῖ γάρ τι παράδοξον ὁ Κορίνθιος ἔφη θεάσασθαι, ἀποφεύγειν τοὺς ὄφεις τὸ πήγανον, ὥσπερ τινὸς αὐτοὺς ἀποσοβούσης δυνάμεως· τίς ὁ νοῦς ἀπόκριναι τῷ σῷ Πολυκράτει, ὥσπερ ἐκ τινος τρίποδος τὰς ἀποκρίσεις ποιούμενος.

2. Ἀντ. Φιλοπευθὴς ἄγαν τις ἦν ὁ Πολυκράτης. ἐμὲ δέ, νὴ τὴν φρόνησιν, διελάνθανεν. ἀλλ' ἐπεὶ σοὶ καὶ τοῦτο πρὸς θεωρίαν ἀπέραστον, οὐκ ἀπεριμερίμνους καὶ πρὸς τουτονὶ τὸν λόγον ἕξεις ἡμᾶς. ψυχρὰν ἔτι γε μὴν καὶ ξηρὰν καὶ νευρώδη τὴν φύσιν ὄφις ἀπείληφεν. ἔστω δ' ἂν τοῦτο σοὶ τῆς ἀληθείας τεκμήριον· ὥρᾳ χειμῶνος ὥσπερ ἄντρων τινῶν τῶν φωλεῶν ὄφις ἐρᾷ καὶ πρὸς τὰ βάθη τῆς γῆς ἐναυλίζεται, ἅτε δὴ θερμοτέρων ὥρᾳ χειμῶνος καὶ πρὸς ἀλέαν ἐχόντων ἐπιτήδειον ἐνδιαίτημα. 3. Αὖθις δ' αὖ θέρους ὄφις ἐπιπολάζει τῇ γῇ καὶ τὴν ἐπιφάνειαν ἀσπάζεται τὴν περίγειον. καὶ οἶδεν ὄφις ὁρῶν τροπὰς οὐκ ἀστρονομίαν μυηθεὶς ἢ τὰ Χαλδαίων σοφίσματα. πήγανον τοίνυν [τὸ] Λιβυκὸν ξηρότατόν ἐστι καὶ λειποψυχεῖν εὐθὺς τοὺς ὄφεις ἐποίησεν, ὥσπερ κραιπάλην τινὰ καὶ σκοτο-

διν́ιαν ταῖς ὑπερβολαῖς τῆς ξηρότητος τοῖς ὄφεσι παρεχόμενον.

Κεφ. ζ. Ποίῳ λόγῳ τὸ ἔλαιον ἐπιχεύμενον τῇ θαλάττῃ γαλήνην ποιεῖ.

1. Πολ. Ἄρτιός μοι λίαν ὁ λόγος [ἀληθείας] ἰνδάλματα προσφερόμενος. ἐμοὶ δὲ πάλιν ἔρως ἐπὶ τὴν θάλατταν ἐκδημεῖν. ὅτε γάρ μοι ὁ νοῦς ἀπίδοι πρὸς τὰ τῆς χέρσου θαύματα, ἐπὶ τὴν θάλατταν δραπετεύειν ἐθέλει· ὁπηνίκα πρὸς τὴν τῆς θαλάττης δημιουργίαν ναυτιλλᾷ, ἐκ τῶν βυθῶν ἐρᾷ τῶν θαυμάτων ἀνεῖναι καὶ τὰς κατ' ἤπειρον θεωρίας ἐκδέχεται.

2. ['Αντ. Εἴπερ οὖν αὖθις τῶν λόγων δεῖ, φράσον δή μοι φράσον, ποῦ δῆτά σοι τὰ τῆς θεωρίας ναυτίλλεται;

3. Πολ.] Τοὺς πλωτῆρας ἀκήκοα γαλήνην σοφίζεσθαι τῇ θαλάττῃ ἐνιέντας τὸ ἔλαιον, ὥσπερ ἵλεων ἔσεσθαι ἐντεῦθεν αὐτὴν ἐπικυμαίνουσαν μηχανώμενοι. οὕτω τοι καὶ θαλαττουργοὶ περὶ τὰς τῶν ἰχθύων ἄγρας πράττειν εἰώθασιν. ἐπὶ ταυτηνί με τὴν θεωρίαν τῷ λόγῳ, οἷα λέμβῳ τινί, Ἀντίσθενες, διαπόρθμευε.

4. 'Αντ. [Λεπτότατον ἔφυ τὸ πνεῦμα, Πολύκρατες· τὸ δὲ] ἔλαιον γλίσχρον καὶ λεῖον καθέστηκεν. ὀλισθαῖνον γοῦν τὸ πνεῦμα διὰ τὴν λειότητα ἀδυνατεῖ προσεπαγείρειν τοῖς ὕδασι κλύδωνα. ἐντεῦθεν ἐπιγελᾷ γαλήνην ἡ θάλαττα, ἅτε φιλανθρώπῳ τινὶ ἐλαίῳ τὸν θυμὸν ἡμερώσασα.

Κεφ. η'. Ποίῳ λόγῳ τριετίαν ἐγκυμονοῦσιν οἱ γῦπες.

1. Πολ. Ἔτι σου καθέξομαι κοὐκ ἂν ἀφείην, Ἀντίσθενες· ὑπὸ γὰρ φιληδονίας τὸν κόρον ἀφήρημαι. τοὺς γῦπας ἐγκυμονεῖν τριετῆ χρόνον ὁ Κορίνθιος τερατεύεται, καὶ ξένον μοι τῶν τῆς φύσεως νόμων εἶναι δοκεῖ. οὐ γάρ πω τοιοῦτόν τι ἀκήκοα δραματούργημα.

2. 'Αντ. Πολλὰ γένη τῶν ὀρνίθων, Πολύκρατες, οὐ δεῖται τῆς τῶν ἀρρένων συμπλοκῆς πρὸς τὴν κύησιν· ἀλλ' ἐν μὲν τοῖς ἄλλοις τὰ ὑπήνεμα καθέστηκεν ἄγονα, τοὺς δὲ γῦπας ἀσυνδυάστως τίκτειν παρακελεύονται φύσεως νόμοι. γῦπα τοίνυν οὐκ ἔστι θεάσασθαι ἄρρενα, ἀλλ' ἅπαν

τὸ γένος αὐτοῖς ἡ τοῦ θήλεος ἀπηνέγκατο φύσις· ὅπερ ἐπιστάμενοι γῦπες, τὴν ἐρημίαν δεδιότες τῶν τέκνων εἰς ἐπιγονὴν ἅπαν τὸ γένος στρατεύεται, οἷα Λημνιάδες γυναῖκες ἡρώων ἀναγόμενον στόλον θεώμεναι. 3. Εἶτα δρῶσί τι σόφισμα ποικίλον οἱ γῦπες· ἀντίπρωροι τῷ νότῳ πέτονται. εἰ δὲ μὴ νότος εἴη, τῷ συγγενεῖ εὔρῳ ἁπλοῦσι τὰς πτέρυγας· εἶτα κεχήνασι καὶ τοῦ πνεύματος ἐμφοροῦνται [εἰσρέοντος], καὶ τίκτουσι ζῷα, οὐκ ᾠὰ ὑπηνέμια. διὸ πλείστου χρόνου δεῖται ἡ φύσις πρὸς ζῴου τελεσιουργίαν. [χαλεπὸν γὰρ καὶ λίαν ἐργῶδες τῇ φύσει οὐσιώσασθαι, καὶ πρὸς ζῴου τελεσιουργίαν πλαστουργεῖν τὸ λεπτότατον.]

### Κεφ. θ΄. Ποίῳ λόγῳ ὁ πολύπους τὴν Ποντικὴν ἀποστρέφεται θάλασσαν.

1. Πολ. Ἐγὼ μὲν ᾤμην τερατολογεῖν, Ἀντίσθενες, τὸν Κορίνθιον. ἑάλωμεν καὶ τῷ τῆς ἀληθείας ἑκόντες ἐφαλλόμεθα κύρτῳ. ἆρα μέχρι τούτου τὸ τῆς σοφίας εἴη μοι φροντιστήριον; οὐ δῆτα οὐ δῆτα. οὐ γὰρ ἡμίεργον ἄπειμι τὴν ἐπιστήμην κτησάμενος. Περὶ τὸν Πόντον τοὺς ἰχθύας ἅπαντάς φασιν ἐνδημεῖν; πολύποδα δὲ περὶ τὸν βόρειον κόλπον μὴ γίνεσθαι.

2. Ἀντ. Καὶ μάλα εἰκότως, Πολύκρατες. ἔστι γὰρ χῆρος ὁ Πόντος πολύποδος. τὰ μὲν γὰρ τῶν ἰχθύων ψύξεως δεῖται ὅσα που καὶ τὰ πότιμα ἐπιδιώκουσι νάματα, τὰ δὲ θερμότητος ἐρᾷ καὶ πρὸς τὴν θάλατταν ἀναστρέφεται. θερμότερα γὰρ αὕτη τῶν ἄλλων ὑδάτων καθέστηκε. πολύπους δὲ τῇ Ποντικῇ θαλάττῃ ἀπεχθάνεται· ψυχρότερον γὰρ τὸ βόρειον πέφυκε πέλαγος, ἀλλὰ καὶ τῆς λοιπῆς θαλάσσης γλυκύτερον· ὑπὸ πολλῶν γὰρ καὶ μεγάλων ποταμῶν ἐπιρρεῖται. 3. Ἐναντία δὲ τῷ πολύποδι τότε ψυχρὸν καὶ [τὸ] γλυκύ. ἱκανὸν δ' ἐρῶ σοί τι πρὸς ἀπόδειξιν. πέτρᾳ συμπλακεὶς ὁ πολύπους δυσαποσπάστως ἔχεται. διὸ γλυκὺ ἐπιχέουσιν ὕδωρ τῇ πέτρᾳ οἱ πρὸς ἄγραν [δεινοί]. καὶ οἱ μὲν ἔχουσι τὸ ζητούμενον θήραμα, ὁ δὲ τῆς ἑαυτοῦ ἄκων ἐξανίσταται βάσεως.

### Ἡ ΔΙΑΛΕΞΙΣ ΤΗΣ ΔΕΥΤΕΡΑΣ ΑΚΡΟΑΣΕΩΣ.

1. *Τὸν Σεμέλης Διόνυσον, μᾶλλον δὲ τοῦ Διὸς (διπλῆ γὰρ ἦν ἐκ Διὸς τῷ Διονύσῳ ἡ γένεσις), τοῦ Διὸς τοίνυν Διόνυσον, ὅτε [που] ἡμίεργον ἐξήμβλου ἡ μήτηρ, καὶ παῖς ἡμιτέλεστος ὁ μυθικὸς ὑπῆρχε θεός, ὑπὸ τὸν μηρὸν ὁ πατὴρ ἐτελεσιούργει τὸ γέννημα· καὶ ὁ Σεμέλης αὖθις ἐγκυμονεῖτο Διόνυσος. τοὺς ἡμιλέκτους τελεσιουργεῖτέ μοι [λόγους] ἄνδρες διδάσκαλοι, παρ' οἷς ἐστιν ἐντέλεια. οὐδὲ γὰρ ἀτελεσφορήτων λογικῶν ὠδίνων ἀνέχεσθε.* 2. *Ἔρως ἦν τῷ Πανί. ἤρα δὲ ὁ Πὰν ἑαυτοῦ καὶ φωνῆς ὑπῆρχεν ἡ ποθουμένη ἀπήχησις, εἰ καὶ τὸν Πᾶνα τὸ σόφισμα διελάνθανεν. ἐφθέγγετο καὶ τῆς ἐρωμένης ᾐσθάνετο, ἐνεπαύετο τῆς ᾠδῆς καὶ ἦν ἀφανὲς τὸ ποθούμενον. ᾄσομαι τοίνυν κἀγώ· ἀντηχήσει γὰρ οἶδα ὁ σύλλογος καὶ τῶν ἐρωμένων κρίτων αἰσθήσομαι εἰ καὶ παρ' ἀξίαν τῶν λεγομένων ὁ ἔπαινος.*

*Κεφ. ι'. Ποίῳ λόγῳ τὸ τράγειον αἷμα ὑπομαλάττει τὸν ἀδάμαντα.*

1. *Πολ. Ταῖς φιλοπευθέσι ψυχαῖς κόρος οὐκ ἔστι γνώσεως. οὐκοῦν ἐπὶ τὴν νύσσαν ὁ λόγος, Ἀντίσθενες. ὦτα γάρ μοι ὀφθαλμῶν ἀπληστότερα. Τῷ τραγείῳ ὑπομαλάττεσθαι αἵματι ὁ Κορίνθιος ἔφησε τὸν ἀδάμαντα. καὶ θεῖον τουτὶ χρῆμα καὶ ἀπόρρητον εἶναι δοκεῖ. φέρε δὴ ἀρχὴ καὶ πέρας τῆσδε τῆς συνουσίας οἱ περὶ ἀδάμαντος ἔστωσαν λόγοι.*

2. *Ἀντ. Ἤδη που σοί, Πολύκρατες, ψυχράν τινα καὶ ξηρὰν καὶ ἄνικμον τὴν ἀδάμαντος ὑπεθέμεθα φύσιν· ὅθεν τοῖς ἐναντίοις εἰκότως ὁ ἀδάμας ὑπήκοος γίνεται. αἵματος δὲ φύσις θερμή τίς ἐστι καὶ ὑγρά. διὸ τῷ μὲν ὑγρῷ τὸ ξηρόν τε καὶ ἄνικμον ὑποτάττεται· τὸ δὲ ψυχρὸν ὑπομαλάττεται τῇ θερμότητι.*

3. *Πολ. Καὶ τί δῆτα ὁ ἀδάμας μὴ παντὶ ὑπομαλάττεται αἵματι;*

*Ἀντ. Θερμότατον τὸ τράγειον καθέστηκεν αἷμα· ἐντεῦθέν πως κρατεῖ καὶ ἀδάμαντος. ἤδη δέ τινες καὶ λεοντείῳ αἵματι ὑπομαλάττουσι τὸν ἀδάμαντα ταῖς ὑπερβολαῖς τῆς θερμότητος ὑπερνικῶντες αὐτοῦ τὸ ἀμείλικτον.*

*Πολ.* Ἔνεστι γοῦν τις διαφορὰ καὶ τοῖς αἵμασι.

*Ἀντ.* Πάνυ μὲν οὖν· ἔχει γάρ τινα αἷμα ἐλάφειον ἰδιότητα· ἔχει δὲ καὶ ταύρειον ἐνέργειαν ἰδιάζουσαν.

Κεφ. ια'. Ποίῳ λόγῳ τοῖς λαγωοῖς ἐπικύησις γίνεται;

1. *Πολ.* Ἀληθείας ἐπαγωγὸς ὁ λόγος, Ἀντίσθενες. Ἀλλὰ τὸν Ἀρίστωνος θέα μοι παῖδα, ὡς συντόνως ὁ νεανίας ἱππάζεται. ναὶ δὴ καὶ ξυνωρίδα κυνηγετῶν ἐπισύρεται ὡς ὁρᾷς. ὑψαύχην ὁ ἵππος αὐτῷ χρυσοῖς τισιν ὅρμοις τὴν χαίτην κοσμούμενος [ἐπιγαυριᾷ πως καὶ φρυάττεται τῷ βαδίσματι, ὥσπερ ἐμβλακευόμενος] τῷ φρονήματι. ὁ δὲ παῖς ἔξοχος τῆς ἡνίας τῇ δεξιᾷ ἐπιλημμένος χειρί, ἀνασοβεῖ τοῖν ποδοῖν τὸν ἵππον καὶ πρὸς [τὸ] ἄστυ τὸν δρόμον πεποίηται. καὶ γέγηθέ πως ὁ νεανίας· οὐ γὰρ ἀθηρία τις αὐτῷ περιτετύχηκε. θέα μοι ἡλίκος αὐτῷ λαγωὸς ἀπηύρηται. καί τις ἐντεῦθέν μοι εἰσπεπήδηκε θεωρία. ἀνδρὸς ἤκουσά του λέγοντος, παρ' ᾧ κόμπος μυθικῶν πλασμάτων οὐκ ἔνεστι, τοὺς λαγὼς τὰ μὲν τῶν ἐκγόνων ὠδίνειν, τὰ δὲ τετοκέναι, ἔνια δ' ἡμιτελῆ ἔτι φέρεσθαι τῇ γαστρί.

2. *Ἀντ.* Γονιμωτάτη τίς ἐστιν ἡ τῶν λαγωῶν φύσις, Πολύκρατες. ἱκανὸν δὲ [τῶδε] τεκμηριῶσαι κομιδῇ τὸ λεγόμενον· λαγῷα πητύα ἄπαιδι ἐντιθεμένη γυναικὶ ἐγκύμονα θᾶττον ἐποίησε καὶ παῖδα ὑποτίτθιον στείρᾳ χαρίζεται· ἡ τοίνυν σύλληψις οὐχὶ ὁρίζεται τοῖς λαγώς, ἀλλ' ἔτι τελεσφορουμένων τῶν ἐκγόνων ἐπισύλληψις ὥσπερ αὐτοῖς ἐπιγίνεται. οὐκοῦν ἃ μὲν τέτοκεν ὁ λαγώς, ἃ δὲ ὠδίνει, ἃ δὲ ἡμιτελῆ ἔτι περιφέρει τῇ γαστρί. Αἴγυπτον καὶ Δαναὸν πολυτεκνοτάτους ᾄδουσι ποιηταί, ἀλλ' ἐκείνων ὑπέρτερος ὁ λαγώς, καθάπου ἔφησεν ὁ Ἀβδηρίτης. τὸ δὲ πιστεύειν ἀζήμιον.

Κεφ. ιβ'. Ποίῳ λόγῳ οἱ κόρακες ὥρᾳ θέρους οὐ πίνουσι.

1. *Πολ.* Φυσικαῖς ἡμᾶς ἀνάγκαις, Ἀντίσθενες, πέπεικας ἑδραιόν τι μοι περὶ λαγῶν διηγούμενος. ἀλλ' ἐπὶ τὰ τῶν κοράκων γένη οὐκ οἶδ' ὅπως διάττει ὁ λόγος καὶ μετάρσιος γεγονέναι δοκεῖ, τῶν κοράκων ὥσπερ ἀπειργομένων θέρους ὑδρεύεσθαι.

2. *Ἀντ.* Πεπόνθασί τι πάθος ὥρᾳ θέρους οἱ κόρακες. τὸ δὲ πάθος ῥύσις ἐστὶ γαστρός, ὦ Πολύκρατες. ἐντεῦθεν ποταμοὶ καὶ πηγαὶ καὶ λίμναι οὐδέν τι χρῆμα· θέρους τοῖς κόραξιν, ἵνα μή που τῷ ὑγρῷ ἡ τῆς γαστρὸς σχοίη ῥύσις ἐπίτασιν. ἴσασι τοίνυν διαίτης τέχνην οἱ κόρακες, οὐχ Ἱπποκράτην μαθόντες οὔτε Μαχάωνος παιδευθέντες, ἢ τὰ Χείρωνος φάρμακος. Ὁρῶσί γε τὴν Ἀρέθουσαν ὥρᾳ θέρους οἱ κόρακες, ὁρῶσι δὲ καὶ τοῦ Ἴστρου τὰ ῥεῖθρα, ναὶ μὴν καὶ τὸν Νεῖλον τὴν Αἴγυπτον πελαγίζοντα. ἀλλ' ὅμως πίνειν ἐκείνοις οὐκ ἔνεστιν. ἀλλ' οἷα Τάνταλοι κολαζόμενοι δριμυτάτην δίκην ταύτην εἰσπράττουσιν.

*Κεφ. ιγ'. Ποίῳ λόγῳ θήλεια τέττιξ ᾠδῆς πέφυκεν ἄμοιρος.*

1. *Πολ.* Εὖ σοι τῆς ἐπιστήμης εὖγε τῶν πλατάνων, ὡς ἡδύ μοι τερετίζουσι ἐν τοῖς νεοβλάστοις τῶν κλάδων οἱ τέττιγες ὑπηχούμενοι. καί τις ἐντεῦθέν μοι περὶ τεττίγων λόγος εἰσέδυ. ἐξευρεῖν ἔπεστί μοι τὰ τῆς φύσεως ἔργα. θήλεια καθάπερ τέττιξ ἄφωνος πέφυκεν, ὥσπερ αἰσχυνομένη σωφροσύνη τὸ λάλον. οὐχ ὁρᾷς κοσμίως τήνδε τὴν τέττιγα ἐφιζάνουσαν τῷ κλάδῳ ἄγαν σιγηλῶς, ὥσπερ τὰ Πυθαγόρου διδαχθεῖσαν διδάγματα;

2. *Ἀντ.* Ψυχροί τινες τὴν φύσιν οἱ τέττιγες. διὸ μετὰ θερινὰς τροπὰς ἀπάρχονται τῆς ᾠδῆς, καὶ ἡλίου ἐπερχομένου τὴν ἡδυμελῆ μεθίασι κέλαδον, ὥρᾳ τε μεσημβρίας εἰσὶν ᾠδικώτεροι. τέττιξ οὖν θήλεια κατὰ πολὺ ψυχροτέρα τοῦ ἄρρενος καὶ φύσις αὐτῇ τὴν σιωπὴν ἐγκελεύεται ἐπίτασιν ἐντιθεῖσα ψυχρότητος· διὸ κωτίλος τέττιξ οὐκ ἐστὶ θήλεια, ἀλλ' οἷά τις Θεανὼ σιωπῶσα τὰ ἄρρητα ὥσπερ Ὁμήρῳ δοκεῖ πειθαρχεῖν, ὁ μῦθος ἄνδρεσσι μελήσει διδάσκοντι.

*Κεφ. ιδ'. Ποίῳ λόγῳ τὰ τῶν ἴβεων ᾠὰ εὐχερέστατα τίκτουσι βασιλίκους ὄφεις.*

1. *Πολ.* Ἥσθην τῷ λόγῳ· ἀλλ' ἄγε δὴ μετάβηθι ὁ λόγος ἐρεῖ· ἀρτίως γάρ μοι ἡ θεωρία ἀφίκετο ἀπ' Αἰγύπτου μοι ἐνεγκαμένη λόγον οὐκ ἄμουσον. φασὶ τοὺς Αἰγυπτίους τοῖς τῶν ἴβεων ᾠοῖς [ἐπιβουλεύειν, ἵνα] μή που κακόν τι

τὰ τούτων τελεσφορήσῃ γεννήματα. ζῷον γάρ τι δεινὸν ἐντεῦθέν πως ἔχειν τὴν γένεσιν περιθρυλλοῦσι Αἰγύπτιοι. ἆρα [μὴ] λῆρός τις, ἢ μυθολόγημα τὸ λεγόμενον;

2. Ἀντ. Οὔ μοι δοκεῖ. σοφὸν γὰρ ὡς ἀληθῶς καὶ Αἰγύπτιον τὸ ἐφεύρεμα· εἰ δέ που καὶ τοῦ λόγου ἀκούειν ἐρᾷς, ἔχω τί σοι λέξαι, φιλότης. ἥδεται τουτὶ τὸ ὄρνεόν τινα δυσώδη σιτούμενον· χαίρει δὲ μάλιστα καὶ ταῖς τῶν ἰοβόλων ἄγραις πολυβορώτατον ὄν. 3. Ἀλλὰ καὶ τοῖς ὄφεσιν ἶβις, καθάπερ ὁ βασίλισκος, πολέμιον. διὸ καὶ πτερὰ ἴβεων πολέμια ὄφεσιν. ἐμφορεῖται δὲ σαρκῶν ὄφεων καὶ σκορπίων καὶ γέγηθεν ἐπὶ ταύτῃ τῇ θήρᾳ οὐκοῦν ἔκ τινος ὥσπερ σηπεδονώδους γεννήματος δεινόν τι κακὸν ὁ βασίλισκος ἐβλάστησε. διὸ φθείρουσιν Αἰγύπτιοι ὅτε που ᾠὰ θεάσοιντο ἴβεων, ὥσπερ λύμην ἐσόμενα αὐτῆς προαποκείροντες. εἴπερ οὖν Αἰγυπτίους ἐζήλωσε Πρίαμος, ἢ τὸν Οἰδίπουν ἀπέκτεινε Λάϊος, οὐκ ἂν ἥλω Τροία, οὐ μητρόγαμος συμπλοκὴ ἀνὰ τὰς Θήβας ἐγένετο.

Κεφ. ιε΄. Ποίῳ λόγῳ τοὺς ἰκτεριῶντας ὁ χαραδριὸς ἀποστρέφεται.

1. Πολ. Πολλὴν ἔχοιμι τῷ Περικλεῖ χάριν, Ἀντίσθενες. μεγίστης γὰρ ἡμῖν γνώσεως καθέστηκεν αἴτιος. ἐπεὶ δὲ τὸν Αἰγύπτιον Πρωτέα ὁ λόγος ἡμῖν ὑποκρίνεται, πρὸ μικροῦ μὲν τὰς περὶ κοράκων ὑποδὺς θεωρίας, ἄλλοτε τὰς ἀδάμαντος, εἶτα πρὸς τὰς τῶν ἴβεων μετελθών, νῦν ἐπὶ τὰς τῶν χαραδριῶν ἐμφωλεύει νομάς. ἄγε δῆτα τὴν συνουσίαν μετάμειβε. Τοὺς ἰκτεριῶντάς φασι τοῦ πάθους εὐθὺς ἀπαλλάττεσθαι, εἰ χαραδριὸς αὐτοῖς ἀντιβλέψειεν. ὁ τοίνυν βάσκανος χαραδριὸς μύει τῶν ὀμμάτων τὰς κόρας, ὥσπερ πρὸς ὑγείας μετάδοσιν ἐπίφθονον ἔχων τὸ φρόνημα.

2. Ἀντ. Ἄπαγε τῆς ἀτοπίας, Πολύκρατες, ἄπαγε. οὐ γὰρ τοῖς ἀλόγοις βασκανίας τι μέτεστιν· οὐδὲ Προμηθεὺς παρ' ἐκείνοις κολάζεται ἀγαθοῦ τινος τοῦ πυρὸς μεταδοὺς τοῖς ἀνθρώποις. ὀφθαλμὼ δὲ μύει χαραδριός, ἐπεὶ τὸ πάθος ἀμείβεται καὶ τὸν ὄρνιν εὐθὺς ἡ νόσος μετέρχεται.

Πολ. Μέγιστον [ἐπ' ἐλαχίστῳ] ἐν ἀνθρώπου φύσει ἔνεστι φρόνησις.

*Κεφ. ις'. Ποίῳ λόγῳ ἡ ἀμυγδαλῆ εὐετηρίαν καὶ τῶν λοιπῶν καρπῶν εὐφορίαν σημαίνει.*

1. *Πολ.* *Δεῦρο δὴ περὶ ταύτην τὴν ἀμυγδαλῆν [ὀλίγον] ἐνδιατρίψωμεν, [ὦ] φίλος, ὡς ἡδύ τί μοι ψιθυρίζει, καὶ μέτριαι αὐτὴν περιπνέουσιν αὖραι.*

*Ἀντ.* *Ὅρα τὴν ἀμυγδαλῆν τῷ καρπῷ βριθομένην καὶ μικροῦ δεῖν τῇ φορᾷ τοῦ κυήματος περὶ τὴν γῆν κυρτουμένην καὶ μένουσαν. τοιγαροῦν εὐετηρίας, Πολύκρατες, τεκμήριον μέγιστον.*

2. *Πολ.* *Πόθεν δῆτα, ὦ βέλτιστε;*

*Ἀντ.* *Εὐκρασίαν ἀέρων ἀσπάζεται τουτὶ τὸ φυτόν· καὶ τέθηλε πρὸς εὐκαρπίαν, ὅτε που εἰρηναίαν ἄγει ὥραν τὸ περίγειον τουτὶ ἐνδιαίτημα. διὰ τοῦτο ἄγγελος εὐετηρίας ἀμυγδαλῆ γίνεται, οὐ χειμῶνος ἔφοδον οὐκ ὄμβρων ἐπίρροιαν ἀπαγγέλλουσα.*

*Κεφ. ιζ'. Ποίῳ λόγῳ τὰ μὲν ἑψόμενα ὕδατα πυρὶ μονιμώτερα τῶν ἄλλων ἐστί, τὰ δὲ ἐξ ὄμβρων ἀφανίζεται θᾶττον.*

1. *Πολ.* *Ἀλλ' εἴ σοι δοκεῖ ἐπὶ ταυτηνὶ τὴν στοὰν θᾶττον ἀπίωμεν. ὡς ὁρᾷς γὰρ ψεκάζειν ἀπάρχεται καὶ ὄμβρου ἀπειλεῖν ἐνδημίαν τῶν πνευμάτων ὑπαισθάνομαι τὰ κινήματα. γέγονε δὲ καί τί μοι πρὸς ἀνάμνησιν μετεωρολογίας, ὦ φίλος.*

*Ἀντ.* *Ἡλίκον ἂν εἴη τὸ ἐγχείρημα;*

2. *Πολ.* *Τὰ ἑψόμενα πυρὶ νάματα ἀσηπτότερα τὴν φύσιν ἐστίν, ὥσπερ τῆς γεώδους αὐτοῖς ἐπαναλωθείσης οὐσίας. ἔδει γοῦν καὶ τὰ ἐξ ὄμβρων ἡμῖν ἐπιγινόμενα ὕδατα ἀσηπτότερά πως εἶναι τῶν ἄλλων ὑδάτων, διηθοῦντος τοῦ ἡλίου τὸ λεπτότατον καὶ ἀνάγοντος. πᾶν δὲ τοὐναντίον ἐστὶν ὁρᾶν. σήπεται γὰρ θᾶττον τὰ ἐξ ὄμβρων γινόμενα ὕδατα.*

3. *Ἀντ.* *Παμμιγεστάτη τῶν ὑετῶν ἡ φύσις, ὦ οὗτος· ἐκ πάντων γὰρ τῶν ὑγρῶν ἀνάγει ὁ ἥλιος. ἡ τοίνυν ἀνωμαλία εὐκίνητος καὶ πρός τινα φθορὰν μᾶλλον ὁρᾷ. τοῖς γὰρ ἀσυμφώνοις τὸ διακρίνεσθαι προσφιλέστατον. ἔτι γε μὴν τὸ βαρύτατον τοῦ ἀναχθέντος αὖθις κατάγεται, ἐπεὶ τὸ βαρὺ πρὸς τὸ κάταντες τὴν ῥοπὴν ἐκληρώσατο.*

τὸ γὰρ λεπτότατον τῆς ἀναθυμιάσεως πνευμάτων φύσις ἐγένετο.

Κεφ. ιη΄. Ποίῳ λόγῳ οἱ ἐν Σερίφῳ βάτραχοι ἄφωνοι καθεστήκασι.

1. Πολ. Ἄριστα δῆτα· ἀλλά με τοῦ τῆς ἀπορίας ἐλευθερώσεις ἐγκλήματος τοὺς περὶ φύσεως τελεσιουργήσας μοι λόγους, Ἀντίσθενες. τοὺς ἐν Σερίφῳ βατράχους Λυσίμαχος ὁ Φαλάριδος ἀφώνους ἔφη θεάσασθαι.

2. Ἀντ. Ἡ τῶν ὑδάτων φύσις αἴτιον αὐτοῖς τῆς ἀφωνίας, Πολύκρατες, διὰ τὴν ἄγαν ψυχρότητα. ὅθεν εἴτις ἐφ᾽ ἕτερα μετάγοι τὸ ζῶον, λάλον εὐθὺς ἐνεποίησε. καὶ πρὸς τὴν οἰκείαν μετεβίβασε φύσιν, ὥσπερ τῶν τῆς Κίρκης δεσμῶν ἀφιέμενον. Κυρηναῖον δὲ βάτραχον τὸ τῶν ὑδάτων πικρὸν ἄλαλον ἀπεργάζεται.

Κεφ. ιθ΄. Ποίῳ λόγῳ μέλιτι Ἀττικῷ οὐκ ἐπικάθηται μυῖα.

1. Πολ. Λίαν ἐπιστημόνως, ὦ φιλότης. τί τοῦτο πεπόνθαμεν ἐπὶ τὴν Ἀττικήν που [ἀθρόον] ἑστάναι δοκῶ καὶ τὸ Θεαγένους ἀναπολεῖν πως συμπόσιον· (εἱστία γὰρ Θεαγένης ὁ Σαλαμίνιος ἐμέ τε καὶ τὸν Κλεινίου Δοσίθεον· εἶχε δὲ ἡμῖν τὰ ὄψα καὶ μελιττοῦσαν. ἐγὼ τοίνυν χαίρειν φράσας τῷ πότῳ, ἐπί τινας λόγους ἐκυλινδούμην φιλοτίμως ὡς ἔοικε) καὶ δὴ πρός με τὸν Θεαγένην εἰπεῖν· οὐχ ὁρᾷς, ὦ Πολύκρατες, ὡς οὐχ οἷόν τε μυίας Ἀττικῆς μελίττης κεραΐζεσθαι πόνους; καὶ τεθαύμακα τὸ λεχθέν· λίαν γὰρ ἡμῖν δυσέμβατος ἦν ἡ κατάληψις.

2. Ἀντ. Θύμοις, Πολύκρατες, τὴν Ἀττικὴν κομῶσαν ἔστι θεάσασθαι, οἷς ἐφιζάνουσιν Ἀττικαὶ πυκνότερον μέλιτται. ἐντεῦθέν τοι καὶ δριμυτέραν τὸ μέλι τὴν ὄσφρησιν. διὸ καθάπερ ἰξῷ τινι μέλιτι Ἀττικῷ οὐχ ἐπικάθηται μυῖα· περιβομβοῦσαι δ᾽ ὅμως ἀπείργονται Ἀττικῆς μελίττης πόνους λῄζεσθαι. ποῦ ᾽στι Δαρεῖος ὁ κατὰ τῆς Ἑλλάδος ὁπλισάμενος; τὴν Ξέρξου παιδευέτω συβαρότητα μυῖα, ὡς οὐκ ἂν τῆς Ἀτθίδος ἐπιβαίνειν θέμις καθέστηκε.

3. Πολ. Φιλοτίμως με λίαν εἱστιάσω, Ἀντίσθενες, ἐπιδείπνιόν τί μοι τῇ θεωρίᾳ μελιττουργίαν Ἀττικὴν διηγούμενος. ἆρά γε αὐτόματός σοι ἡ τούτων κατάληψις ἔνεστιν;

4. *Ἀντ.* *Οὐ δῆτα, Πολύκρατες· ἤδη που καὶ τοῖς πάλαι πολλοί τινες καὶ ἀοίδιμοι καταβέβληνται πόνοι, οἷς τῷ νῷ ἐφιζάνοντες οἷά τινες μέλιτται συνελέξαμεν πρὸς μίαν περιεκτικωτάτην ὑπόθεσιν, ἐπ' ἐξεργαστικώτερον ὡς οἷόν τε [ἦν] ἐπεξελθόντες τῷ λόγῳ· οὐ γὰρ τοὺς Δημοκρίτου σφετερίσομαι πόνους, οὐδὲ τὴν Ἀριστοτέλους εὔκλειαν ἐμαυτῷ περιάψομαι, οὐδέ τι λωποδυτήσω τῶν [τοῦ] Πλάτωνος· οὐ[δὲ] τὸν Ἰάμβλιχον καταστεφάνωτον καταλίποιμι, οὐ Πρόκλον, οὐ Γαληνόν, τοὺς ἐν ἐπιστήμῃ κομψούς· οὐ Πλωτῖνον, οὐ Σωτίωνα, οὐκ Ἀλέξανδρον· οὐ Θεόφραστον τὴν τῆς γνώσεως θάλατταν· [οὐ Βῶλον], οὐκ Αἰλιανόν, οὐ τὸν τῆς ἐπιστήμης πλοῦτον τὸν Πλούταρχον, [οὐκ Ἄμβρωνα, οὐκ Ἰμβράσιον ἢ Δαμάσκιον, ἢ τὸν Τιμαγένους Ἱεροκλέα].* 5. *Καὶ τί δῆτά σοι τὸν τῶν λοιπῶν ἐπιθείην κατάλογον, ἀφ' ὧν λήμματά τινα καὶ ἀρχὰς ἐπιλέξαντες, [σύνοψιν] ὥσπερ τινά σοι φιλοπευθοῦντι ὡς οἷόν τε ἦν ἐκδιδώκαμεν· οὐ γὰρ ἀλλοτρίῳ θέμις, Πολύκρατες, κόσμῳ σεμνύνεσθαι καθάπερ τις μυθικὸς κολοιός· οὐδὲν γάρ ἐσθ' ὃ μὴ τοῖς πάλαι κατώρθωται. τὸ δὲ περιτυγχάνειν προχειρότατα οὐ πάνυ τοι ῥάδιον.*

6. *Πολ.* *Ἐγώ σου τῆς ἐπιστήμης ὀναίμην, Ἀντίσθενες, καὶ ἄπειμι χαίρων. Ἕρμαιον γάρ τί μοι εὐάντητον τῶν δυσπορίστων λόγων τὴν ἐπιστήμην ἀπείληφα.*

# IX.

## ΕΚ ΤΩΝ ΣΩΤΙΩΝΟΣ

### τῶν σποράδην περὶ ποταμῶν καὶ κρηνῶν καὶ λιμνῶν παραδοξολογουμένων.

---

Ed. Sylb. p.123 α΄. Κρήνη ἐν Ποτνίαις περὶ Θήβας, ἐξ ἧς οἱ ἵπποι πίνοντες μαίνονται, ὡς ἱστορεῖ Ἰσίγονος ἐν δευτέρῳ ἀπίστων.

β΄. Κρήνη ἐν Κλαζομεναῖς, ἀφ᾽ ἧς τὰ θρέμματα πίνοντα τὴν ἐρέαν χρωματίνην ποιεῖ, ὡς ἱστορεῖ ὁ προειρημένος Ἰσίγονος.

γ΄. Κρήνη ἐν Ἰνδοῖς, ἣ τοὺς κολυμβῶντας ἐπὶ τὴν γῆν ἐκβάλλει ὡς ἀπ᾽ ὀργάνου, ὡς ἱστορεῖ Κτησίας.

Ed. Steph. p.139 δ΄. Ἐν Κρήτῃ ὀχετὸς ὕδατός ἐστιν, ὃν οἱ διαβαίνον-
124 τες, ὕοντος τοῦ Διός, ἄβροχοι διαβαίνουσιν ἐφ᾽ ὅσον ἐν τῷ ὀχετῷ εἰσιν.

ε΄. Ἐν Πέρσαις φασὶν Ἀλεξάνδρῳ φανῆναι κρήνην ἐλαίου πληρουμένην αὐτομάτως.

ϛ΄. Περὶ Σικελίαν φασὶν ὕδατος εἶναί τι συστρεμμάτιον, ἐν ᾧ τὰ πεπνιγμένα τῶν ὀρνέων καὶ τῶν λοιπῶν ζώων ἐμβραχέντα ἀναζῆν.

ζ΄. Ἐν τῇ ἐπὶ Συρακουσῶν ὁδῷ κρήνη οὐ μεγάλη ἐστίν, οὐδὲ ὕδωρ πολὺ ἔχουσα· ὄχλου δὲ ἐπελθόντος ἐς τὸν τόπον καὶ ψόφου γινομένου, παρέχει ὕδωρ ἄφθονον, ὥς φησιν Ἀριστοτέλης.

η΄. Κρήνη ἐν Παλικοῖς, ἥτις εἰς ὕψος ἀναρριπτεῖ τὸ ὕδωρ πήχεων ἕξ, ἔμφασιν ποιοῦσα μέλλειν κατακλύζειν τοὺς ὑποκειμένους τόπους· καθόλου δὲ οὐχ ὑπερεκχεῖται οὐδέν. ἐπὶ ταύτης οἱ ἐπιχώριοι τοὺς ὑπὲρ τῶν μεγίστων ὅρκους ποιοῦνται, ὡς Ἰσίγονος ἐν δευτέρῳ ἀπίστων.

θ΄. Περὶ Σκοτοῦσσαν τῆς Θεσσαλίας κρηνίδιόν ἐστι μικρόν, ὃ τὰ ἕλκη πάντα θεραπεύει καὶ τῶν ἀλόγων ζώων·

εἰς ὃ ἐάν τις ξύλον μὴ λίαν συντρίψας ἀλλὰ σχίσας ἐμβάλῃ, ἀποκαθίσταται (οὕτως κολλῶδες ἔχει τὸ ὕδωρ), ὥς φησιν Ἰσίγονος.

ι΄. Ἐν Λουσοῖς τῆς Ἀρκαδίας φησὶν Ἀριστοτέλης κρήνην τινὰ εἶναι, ἐν ᾗ μῦς χερσαίους γίνεσθαι καὶ τούτους κολυμβᾶν ἐν ἐκείνῃ τὴν δίαιταν ποιουμένους.

ια΄. Φησὶν Ἰσίγονος ἐν Ἀθαμᾶσι κρήνην εἶναι, ἧς τὸ μὲν ὕδωρ ψυχρὸν ὑπάρχει, τὸ δὲ ὑπὲρ αὐτὸ οὕτω θερμὸν ὑπάρχειν, ὥστε ἄν τις ὑπερθῇ φρύγανα παραχρῆμα ἐξάπτεσθαι.

ιβ΄. Παρὰ Κλειτορίοις ὁ αὐτός φησιν εἶναι κρήνην, ἧς ὅταν τις τοῦ ὕδατος πίῃ, τοῦ οἴνου τὴν ὀσμὴν οὐ φέρει.

ιγ΄. Ὁ αὐτός φησιν ἐν Ἰταλίᾳ ἐν τῷ Ῥεατίνῳ ἀγρῷ κρήνην εἶναι Μέντην ὀνομαζομένην, ὁμοίαν τῇ προειρημένῃ.

ιδ΄. Ὁμοίως ἐγγὺς Κόσης ἐστὶ κρήνη, εἰς ἣν ἐὰν θῇς κεράμιον οἴνου γέμον, ὥστε ὑπερχεῖν τὸ στόμα, παντὸς ὄξους εἶναι δριμύτερον παραχρῆμα, ὡς ἱστορεῖ ὁ αὐτός.

ιε΄. Θεόπομπος ἱστορεῖ κρήνην ἐν Χρωψὶ τῆς Θρά- 140
κης, ἐξ ἧς τοὺς λουσαμένους παραχρῆμα μεταλλάσσειν.

ις΄. Ἑλλάνικός φησι περὶ Μαγνησίαν τὴν ἐπὶ Σιπύ- 125
λου πηγὴν εἶναι, ἀφ' ἧς τοὺς πίνοντας κοιλίαν ἀπολιθοῦσθαι.

ιζ΄. Κτησίας δὲ ἐν Αἰθιοπίᾳ κρήνην ἱστορεῖ τῷ χρώματι κινναβάρι παραπλησίαν· τοὺς δὲ πίνοντας ἀπ' αὐτῆς παραλλάττειν τὴν διάνοιαν ὥστε καὶ τὰ κρυφίως πεπραγμένα ὁμολογεῖν.

ιη΄. Ἐν Ἀραβίᾳ ἐστὶν Ἴσιδος κρήνη, ἥτις κοτύλης οἴνου ἐμβληθείσης κιρνᾶται καὶ πρὸς τὴν πόσιν εὔκρατος γίνεται, ὥς φησιν Ἀμώμητος.

ιθ΄. Ἀριστοτέλης Ἄμμωνος κρήνην εἶναί φησιν, ἧς τὸ ὕδωρ μεσημβρίας καὶ μεσονυκτίου γίνεσθαι θερμόν, φύσει ψυχρότατον.

κ΄. Θεόπομπος ἐν Λυγκησταῖς φησι πηγὴν εἶναι τῇ μὲν γεύσει ὀξίζουσαν, τοὺς δὲ πίνοντας μεθύσκεσθαι, ὡς ἀπὸ οἴνου.

κα΄. Ἐν Συκαμίναις πόλει λίμνη ἐστίν, ἧς τῷ ὕδατι

*οἱ λουσάμενοι, ἢ πιόντες ἀπ' αὐτοῦ μαδῶσι τὰς τρίχας· τῶν δὲ ἀλόγων ζώων αἱ ὁπλαὶ ἀποπίπτουσιν, ὡς ἱστορεῖ Ἰσίγονος.*

*κβ'. Ἡρακλείδης ὁ Ποντικὸς λίμνην ἐν Σαυρομάταις φησὶν εἶναι, περὶ ἣν τὰ πετασθέντα τῶν ὀρνέων εἰς αὐτὴν πίπτει.*

*κγ'. Ἡρόδοτος ἐν μακροβίοις Αἰθίοψι κρήνην ἱστορεῖ, ἀφ' ἧς τοὺς λουσαμένους λιπαίνεσθαι.*

*κδ'. Ἐν Κλειτορίοις δὲ τῆς Ἀρκαδίας κρήνην φασὶν εἶναι, ἀφ' ἧς τοὺς πίνοντας μισεῖν τὸν οἶνον· ἐπικεχαράχθαι δὲ ἐπ' αὐτῆς ἐπίγραμμα τοιόνδε·*

*Ἀγρότα σὺν ποίμναις, τὸ μεσημβρινὸν ἤν σε βαρύνῃ*
*δίψος, ἀν' ἐσχατιὰς Κλείτορος ἐρχόμενον,*
*τῆς μὲν ἀπὸ κρήνης ἄρυσαι πόμα καὶ παρὰ Νύμφαις*
*Ὑδριάσι στῆσον πᾶν τὸ σὸν αἰπόλιον·*
*Ἀλλὰ σὺ μήτ' ἐπὶ λουτρὰ βάλῃς χροΐ, μή σε καὶ αὔρη*
*Γημήνη τερπνῆς ἐντὸς ἐόντα μέθης.*
*Φεῦγε δ' ἐμὴν πηγὴν μισάμπελον, ἔνθα Μελάμπους*
*Λουσάμενος λύσσης Προιτίδας ἀργαλέης,*
126 *Πάντα καθαρμὸν ἔκοψεν ἀπόκρυφον· εὖτ' ἂν ἀπ' Ἄργους*
141 *οὔρεα τρηχείης ἤλυθεν Ἀρκαδίης.*

*κε'. Ἀρίστων δὲ ὁ περιπατητικὸς φιλόσοφος ἐν τῇ Χίῳ πηγήν φησιν ὕδατος εἶναι, ἀφ' ἧς τοὺς πίνοντας ἀναισθήτους γίνεσθαι ταῖς ψυχαῖς. εἶναι δὲ καὶ ἐπὶ ταύτης ἐπίγραμμα τοιόνδε·*

*Ἡδεῖα ψυχροῖο ποτοῦ λιβάς, ἣν ἀναβάλλει*
*πηγή· ἀλλὰ νόῳ πέτρος, ὁ τῆςδε πιών.*

*κς'. Ἐν δὲ Σούσοις τῆς Περσίδος ὕδωρ εἶναι λέγουσιν, ὃ τῶν πιόντων ἐκπίπτειν ποιεῖ παραχρῆμα τοὺς ἐμπροσθίους ὀδόντας. κεχάρακται δὲ καὶ ἐπὶ ταύτης τὸ ἐπίγραμμα τόδε·*

*Ὕδατα ταῦτα βλέπεις φοβερά, ξένε, τῶν ἄπο χερσὶ*
*λουτρὰ μὲν ἀνθρώποις ἀβλαβῆ ἔστιν ἔχειν.*
*Ἢν δὲ βάλῃς κοίλης ποτὶ νηδύος ἀγλαὸν ὕδωρ,*
*ἄκρα μόνον δολιχοῦ χείλεος ἀψάμενος,*
*Αὐτῆμαρ περιστῆρες ἐπὶ χθόνι δαιτὸς ὀδόντες*
*πίπτουσιν, γενύων ὄρφανα θέντες ἕδη.*

*κζ'. Ἐν δὲ Ἀλιφάνῳ τῆς Ἰταλίας φρεάτιόν ἐστι βαθύ, οὗ τὸ μὲν ὕδωρ, ἡλίκον δὲ ἄν τις χαλάσῃ σχοινίον οὐκ ἐφάπτεται τοῦ ὕδατος, ἀλλ' ὑπό τινος θείου κωλύεται, ὥς φησιν Ἰσίγονος.*

*κη'. Ἄορνός ἐστι λίμνη ἐν Ἰταλίᾳ περὶ Κούμας, εἰς ἣν τὰ ἐκ τῆς περικειμένης ὕλης ἐμπίπτοντα φύλλα ἢ κάρφη ἀφανῆ γίνεται, βυθιζόμενα παραχρῆμα.*

*κθ'. Ἀριστοτέλης ἱστορεῖ κατὰ Καρχηδόνα κρήνην εἶναι ἐλαίου προσηνεστέραν· ἂν δὲ μή τις ἁγνὸς προσίῃ, ἐκλείπειν αὐτήν.*

*λ'. Περὶ Γέλαν τῆς Σικελίας ἐστὶ λίμνη ἡ Σίλλα καλουμένη, ἐλαχίστη τὸ μέγεθος, ἥτις τοὺς ἐν αὐτῇ λουομένους εἰς τὸ ξηρὸν ἐκρίπτει ὡς ἀπ' ὀργάνου τινός, ὥς φησιν Ἀριστοτέλης.*

*λα'. Περὶ τὸν Ἠριδανὸν ποταμὸν ἐστὶ λίμνη κατὰ τὰς Ἠλεκτρίδας νήσους ὕδωρ ἔχουσα θερμόν, ὀσμὴν δὲ βαρεῖαν, ἀφ' ἧς οὐδὲν ζῷον γεύεται.*

*λβ'. Τὴν κατὰ Ἄβδηρα λίμνην Κύστειρον καλουμέ-* 127
*νην φασὶ τὸ Ξέρξου στράτευμα πῖνον ἀναξηρᾶναι.*

*λγ'. Ἱερώνυμος ἱστόρησεν ἐν τῇ Ναβαταίων χώρᾳ τῶν* 142
*Ἀράβων εἶναι λίμνην πικράν, ἐν ᾗ οὔτε ἰχθῦς οὔτε ἄλλο τι τῶν ἐνύδρων ζῴων γίνεσθαι, ἀσφάλτου δὲ πλίνθους αἱρεσθαι ὑπὸ τῶν ἐπιχωρίων.*

*λδ'. Πύθερμός φησιν, ἐάν τις σκύφον εἰς τὰς τοῦ Στρυμόνος ποταμοῦ δίνας ἐμβάλῃ, τοῦτον εὑρήσειν ἐν τῇ περὶ Ἀπολλωνίαν λίμνῃ.*

*λε'. Φαέθων φησὶ τὸν ἐν Βοσπόρῳ ποταμὸν οὕτως εἶναι ψυχρόν, ὥστε μηδὲν τῶν ζῴων ὑπομένειν αὐτοῦ τὴν ψυχρότητα.*

*λς'. Περὶ δὲ Ταρρακίναν τῆς Ἰταλίας φησὶν Ἰσίγονος λίμνην εἶναι Μυκλαίαν καλουμένην καὶ παρ' αὐτῇ πόλιν ἔρημον, ἧς τοὺς ἐνοικοῦντας στερηθῆναι τῆς πόλεως διὰ τὸ πλῆθος τῶν ὕδρων.*

*λζ'. Ἐπὶ τῆς ἐν Ἰταλίᾳ λίμνης καλουμένης Βηνάκου, οὔσης δὲ τὸ περίμετρον σταδίων φ', νῆσός ἐστιν οἱ-*

*κουμένη κατάφυτος δένδρεσιν ἡμέροις, ἐπινηχομένη καὶ μεταβαίνουσα πρὸς τὰς τῶν πνευμάτων φοράς. τὸ δὲ αὐτὸ τοῦτο καὶ ἐν ἑτέρᾳ λίμνῃ τῆς Ἰταλίας Κουτυλίᾳ καλουμένῃ γίνεται.*

*λη'. Ἔστι δὲ καὶ Λάκος Οὐαδιμώνιος καλουμένη λίμνη οὐ μεγάλη ἐν Ἰταλίᾳ, ὁμοίως ἔχουσα νησία πλείονα πάσῃ πνοῇ μετακινούμενα.*

*λθ'. Ἡ κατὰ Σάρδεις λίμνη, καλουμένη δὲ Κολοή, πλῆθος μὲν ὄψου πάμπολυ τρέφει, ἔχει δὲ καὶ αὐτὴ νήσους οἰκουμένας πρὸς ἀπάτην. ἐπινήχονται γάρ, καὶ τῇ τῶν ἀνέμων πνοῇ συμμετοικοῦσι. πτηνῶν δὲ καὶ ἐνύδρων τοσοῦτο τρέφει πλῆθος, ὥστε καὶ ταριχεύεσθαι.*

*μ'. Τὸ δὲ κατὰ τὴν Σουσιανὴν ὕδωρ φασὶν εἶναι Μηδείας καὶ πεφαρμάχθαι καυστικοῖς φαρμάκοις· ὃ ῥεῖ μὲν ἐκ πηγῆς τινος, φυλάσσεται δὲ ὑπὸ τῶν ἐπιχωρίων. ἔχει δὲ δύναμιν τοιαύτην· τὰ γὰρ χρισθέντα ἢ βραχέντα ἐξ αὐτοῦ ζῷα ἢ σκεύη, δειχθέντος μακρόθεν πυρός, πρὸς*
128 *αὐτὰ ἐπισπᾶται καὶ παραχρῆμα καίεται. καλεῖται δὲ νάφθα.*
143 *ἐξενεχθὲν μέντοι τῆς χώρας ἀπόλλυσι τὴν δύναμιν, ὡς ἱστορεῖ Ἰσίγονος.*

*μα'. Ἐν Ἰταλίᾳ λίμνη Σάκατος καλουμένη· ἧς ὅταν τὸ ὕδωρ διαυγὲς γένηται, καταφαίνονται ἐν τῷ βυθῷ θεμέλιοι πολλοὶ καὶ ναοὶ καὶ πλῆθος ἀνδριάντων. φασὶ δὲ ἐπιχώριοι, πόλιν ποτὲ οὖσαν καταποθῆναι.*

*μβ'. Τὸ δ' αὐτὸ λέγεται καὶ περὶ τοῦ Κιμίνου λάκκου ἐν Ἰταλίᾳ, ὡς πόλεως πρότερον οὔσης καὶ αἰφνιδίως καταποθείσης.*

*μγ'. Ἡ ἐν Μακεδονίᾳ λίμνη καλεῖται μὲν Λύχνις, διαπλέουσι δὲ αὐτὴν ἱστορίας ἕνεκεν. ἐγκύπτοντες γὰρ εἰς τὸν βυθὸν ὁρῶσι τρικλίνους πολυτελεῖς καὶ ἀργυρωμάτων ἄφθονον πλῆθος τῷ μεγέθει θαυμασίων καὶ χρυσέων πινάκων τε καὶ ἐκπωμάτων καὶ πάντων τῶν ἐν βασιλικῷ πλούτῳ πρὸς τρυφὴν κατασκευασμάτων.*

*μδ'. Ἐν Λυδίᾳ ἐστὶ λίμνη, Τάλα μὲν καλουμένη, ἱερὰ δὲ οὖσα Νυμφῶν· ἣ φέρει καλάμων πλῆθος καὶ μέσον αὐτῶν ἕνα, ὃν βασιλέα προσαγορεύουσιν οἱ ἐπι-*

*χώριοι. θυσίας δὲ καὶ ἑορτὰς ἐπιτελοῦντες ἐνιαυσίους ἐξιλάσκονται. τούτων δὲ ἐπιτελουμένων, ἐπειδὰν ἐπὶ τῆς ἠϊόνος κτύπος συμφωνίας γένηται, πάντες οἱ κάλαμοι χορεύουσι. καὶ ὁ βασιλεὺς σὺν αὐτοῖς χορεύων παραγίνεται ἐπὶ τὸν ἠϊόνα. οἱ δὲ ἐπιχώριοι ταινίαις αὐτὸν καταστέψαντες ἀποπέμπουσιν εὐχόμενοι καὶ εἰς τὸ ἐπιὸν αὐτόν τε καὶ ἑαυτοὺς παραγενέσθαι, ὡς εὐετηρίας ὄντι σημείῳ, ὡς ἱστορεῖ Ἰσίγονος ἐν δευτέρῳ ἀπίστων.*

# X.

## ΑΝΟΝΥΜΟΥ

(ὡς ἐνίοις δοκεῖ, Ἀθηναίου)

## ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΝΕΙΛΟΥ ΑΝΑΒΑΣΕΩΣ.

---

Ed. Dind. p. 164 1. *Θαλῆς ὁ Μιλήσιος, εἷς τῶν ἑπτὰ σοφῶν, φησὶ διὰ τοὺς ἐτησίας γίνεσθαι τὴν ἀναπλήρωσιν τοῦ Νείλου. πνεῖν γὰρ αὐτοὺς ἐναντίους τῷ ποταμῷ καὶ τὰ στόματα κεῖσθαι κατὰ τὴν πνοὴν αὐτῶν· τὸν μὲν οὖν ἄνεμον ἐξ ἐναντίας πνέοντα κωλύειν τὴν ἐπιρροὴν αὐτῶν, τὸ δὲ κῦμα προσπῖπτον ἀντίον τοῖς στόμασι καὶ οὔριον ὂν ἀνακόπτειν τὸν ποταμὸν καὶ τὴν ἀναπλήρωσιν οὕτω γίνεσθαι τοῦ Νείλου.* 2. *Ἀναξαγόρας δὲ ὁ φυσικός φησιν ἀπὸ χιόνος τηκομένης τὴν ἀναπλήρωσιν γίνεσθαι τοῦ Νείλου· ὡσαύτως δὲ καὶ Εὐριπίδης καὶ ἕτεροί τινες τῶν τραγῳδιοποιῶν. καὶ Ἀναξαγόρας μὲν αὐτὴν τὴν γένεσιν λέγει τῆς ἀναπληρώσεως, Εὐριπίδης δὲ καὶ τὸν τόπον ἀφορίζει, λέγων οὕτως*
165 *ἐν δράματι Ἀρχελάῳ·*

*Δαναός, ὁ πεντήκοντα θυγατέρων πατήρ,*
*Νείλου λιπὼν κάλλιστον ἐκ γαίας ὕδωρ,*
*ὃς ἐκ μελαμβρότοιο πληροῦται θέρει*
*Αἰθιοπίδος γῆς, ἡνίκ' ἂν τακῇ χιών,*
*τέθριππ' ἀνέντος ἡλίου κατὰ χθόνα.*

*καὶ ἐν Ἑλένῃ ὅμοιον τούτου*

*Νείλου μεν αἵδε καλλιπάρθενοι ῥοαί,*
*ὃς ἀντὶ δίας ψακάδος Αἰγύπτου πέδον*
*λευκῆς τακείσης χιόνος ὑγραίνει γύας.*

*καὶ Αἰσχύλος·*

> *Γένος μὲν αἰνεῖν ἐκμαθὼν ἐπίσταμαι*
> *Αἰθιοπίδος γῆς, Νεῖλος ἔνθ' ἑπτάρροος*
> *γαῖαν κυλίνδει πνευμάτων ἐπομβρία,*
> *ἥλιος ἐν ᾗ πυρωπὸς ἐκλάμψας χθονὶ*
> *τήκει πετραίαν χιόνα· πᾶσα δ' εὐθαλὴς*
> *Αἴγυπτος, ἁγνοῦ νάματος πληρουμένη,*
> *φερέσβιον Δήμητρος ἀντέλλει σταχύν.*

3. *Καλλισθένης δ' ὁ ἱστοριογράφος πρὸς τὰ μικρῷ πρότερον εἰρημένα ὑπ' Ἀναξαγόρου τε καὶ Εὐριπίδου ἀντεῖπεν· αὐτὸς δὲ τὴν αὐτοῦ γνώμην φησίν, Ὑδάτων πολλῶν καὶ λαμπρῶν γινομένων κατὰ τὴν Αἰθιοπίαν κατὰ τὰς τοῦ κυνὸς ἀνατολὰς ἕως τῆς ἐπιτολῆς ἀρκτούρου, καθ' οὓς χρόνους καὶ οἱ ἐτησίαι πνέουσιν ἄνεμοι· τούτους γάρ φησι τοὺς ἀνέμους μάλιστα τὰ νέφη φέρειν πρὸς τὴν Αἰθιοπίαν· ὧν καὶ προσπιπτόντων πρὸς τὰ ὄρη* 166
*καταρρήγνυσθαι πολὺ πλῆθος ὕδατος, ἀφ' οὗ τὸν Νεῖλον ἀναβαίνειν.* 4. *Δημόκριτος δὲ λέγει περὶ τὰς χειμερινὰς τροπὰς τοὺς περὶ τὰς ἄρκτους τόπους χιονίζεσθαι· περὶ τροπὰς δὲ θερινὰς μεταναστάντος τοῦ ἡλίου τηκομένης τῆς χιόνος καὶ ἀνατμιζομένης ὑπὸ τῆς τήξεως νέφη γίνεσθαι, διὰ τὸ τοὺς ἐτησίας ὑπολαμβάνοντας φέρειν πρὸς μεσημβρίαν. συνωθουμένων δὲ τῶν νεφῶν ἐπὶ τὴν Αἰθιοπίαν καὶ τὴν Λιβύην ὄμβρον γίνεσθαι πολύν, ὃν καταρρέοντα πληροῦν τὸν Νεῖλον. τὴν οὖν αἰτίαν τῆς ἀναπληρώσεως ταύτην φησὶ Δημόκριτος.* 5. *Εὐθυμένης δ' ὁ Μασσαλιώτης φησὶν αὐτὸς πεπλευκὼς τὴν ἔξω θάλασσαν ἐπιρρεῖν ὡς ἐπὶ τὴν Λιβύην, ἐστραμμένην δὲ εἶναι πρὸς βορέαν τε καὶ ἄρκτους. καὶ τὸν μὲν ἄλλον χρόνον κενὴν εἶναι τὴν θάλατταν, τοῖς δ' ἐτησίαις ἀνωθουμένην ὑπὸ πνευμάτων πληροῦσθαι καὶ ῥεῖν ταῖς ἡμέραις ταύταις, παυσαμένων δὲ τῶν ἐτησίων ἀναχωρεῖν. εἶναι δὲ αὐτὴν καὶ γλυκεῖαν καὶ κήτη παραπλήσια τοῖς ἐν τῷ Νείλῳ κροκοδείλοις καὶ τοῖς ἱπποποτάμοις ἔχειν.* 6. *Οἰνοπίδης δ' ὁ Χῖος λέγει τοῦ μὲν χειμῶνος τοῦ ποταμοῦ ἀναξηραίνεσθαι τὰς πηγάς, ἐν δὲ τῷ θέρει θερμαινομένας ῥεῖν. τοῦ μὲν*

οὖν ἀναπληροῦσθαι τὴν γινομένην ξηρασίαν τὸ αἴτιον τῶν
οὐρανίων ὑδάτων ἐπιγινομένων τοῖς χειμῶσι συμβαίνειν·
167 τὸν δὲ Νεῖλον οὐχ ὑόμενον τότε, ἐνδεῆ γινόμενον μὴ
συναναφέρειν· καὶ διὰ τοῦτο τοῦ χειμῶνος ἥσσονα αὐτὸν
γίνεσθαι, τοῦ δὲ θέρους πλήρη. 7. Ἡρόδοτος δὲ τοῖς μὲν
λοιποῖς ὑπεναντίως λέγει, παραπλησίως δὲ Οἰνοπίδῃ. τὴν
μὲν γὰρ ῥύσιν τοῦ Νείλου φασὶ τοιαύτην, ὥστε ἀεὶ πλη-
ροῦν τὸν ποταμόν, τὸν δὲ ἥλιον τοῦ χειμῶνος κατὰ τὴν
Λιβύην ποιούμενον τὴν πορείαν, ἀναξηραίνειν τὸν Νεῖλον·
περὶ τροπὰς δὲ θερινὰς μεθιστάμενον πρὸς τὴν ἄρκτον
ὑγραίνειν.

# XI.

## ΑΠΟΛΛΩΝΙΟΥ
### ΤΟΥ ΔΥΣΚΟΛΟΥ
### Ἀλεξανδρέως Γραμματικοῦ
### κατεψευσμένη ἱστορία ἢ ἱστορίαι θαυμάσιαι.

---

α'. Βώλου Ἐπιμενίδης ὁ Κρὴς λέγεται, ὑπὸ τοῦ πατρὸς καὶ τῶν ἀδελφῶν τοῦ πατρὸς ἀποσταλεὶς εἰς ἀγρὸν πρόβατον ἀγαγεῖν εἰς τὴν πόλιν, καταλαβούσης αὐτὸν νυκτός, παραλλάξαι τῆς τρίβου καὶ κατακοιμηθῆναι ἔτη ἑπτὰ καὶ πεντήκοντα· καθάπερ ἄλλοι τε πολλοὶ εἰρήκασιν, ἔτι καὶ Θεόπομπος ἐν ταῖς Ἱστορίαις, ἐπιτρέχων τὰ κατὰ τόπους θαυμάσια. Ἔπειτα συμβῆναι ἐν τῷ μεταξὺ χρόνῳ τοὺς μὲν οἰκείους τοῦ Ἐπιμενίδου ἀποθανεῖν, αὐτὸν δὲ ἐγερθέντα ἐκ τοῦ ὕπνου ζητεῖν ἐφ' ὃ ἀπεστάλη πρόβατον. μὴ εὑρόντα δὲ πορεύεσθαι εἰς τὸν ἀγρόν· ὑπελάμβανε δὲ ἐγρηγέρθαι τῇ αὐτῇ ἡμέρᾳ ἧπερ ἔδοξε κεκοιμῆσθαι· καὶ καταλαβὼν τὸν ἀγρὸν πεπραμένον, καὶ τὴν σκευὴν ἠλλαγμένην, ἀπαίρειν εἰς τὴν πόλιν· καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν, ἐκεῖθεν πάντα ἔγνω, ἐν οἷς καὶ τὰ περὶ τοῦ χρόνου, καθ' ὃν ἀφανὴς ἐγένετο. λέγουσι δὲ οἱ Κρῆτες, ὥς φησιν ὁ Θεόπομπος, ἔτη βιώσαντα αὐτὸν ἑκατὸν πεντήκοντα ἀποθανεῖν· λέγεται δὲ περὶ τοῦ ἀνδρὸς τούτου καὶ ἄλλα οὐκ ὀλίγα παράδοξα.

β'. Ἀριστέαν δὲ ἱστορεῖται τὸν Προκοννήσιον, ἔν τινι 2
γναφείῳ τῆς Προκοννήσου τελευτήσαντα, ἐν τῇ αὐτῇ ἡμέρᾳ καὶ ὥρᾳ ἐν Σικελίᾳ ὑπὸ πολλῶν θεωρηθῆναι, γράμματα διδάσκοντα. ὅθεν πολλάκις αὐτῷ τοῦ τοιούτου συμβαίνοντος, καὶ περιφανοῦς γιγνομένου διὰ πολλῶν ἐτῶν καὶ

πυκνότερον ἐν τῇ Σικελίᾳ φανταζομένου, οἱ Σικελοὶ ἱερόν τε καθιδρύσαντο αὐτῷ, καὶ ἔθυσαν ὡς ἥρωϊ.

3 γ΄. Περὶ δὲ Ἑρμοτίμου τοῦ Κλαζομενίου τοιαῦτά τινα μυθολογεῖται· φασὶ γὰρ αὐτοῦ τὴν ψυχήν, ἀπὸ τοῦ σώματος πλαζομένην, ἀποδημεῖν εἰς πολλὰ ἔτη, καὶ κατὰ τόπους γινομένην, προλέγειν τὰ μέλλοντα ἀποβήσεσθαι, οἷον ὄμβρους μεγάλους καὶ ἀνομβρίας, ἔτι δὲ σεισμούς τε καὶ λοιμοὺς καὶ παραπλήσια, τοῦ σωματίου κειμένου, τὴν δὲ ψυχὴν καθάπερ εἰς ἔλυτρον διὰ χρόνων τινῶν εἰσερχομένην διεγείρειν τὸ σῶμα. Τοῦτο δὲ αὐτοῦ πολλάκις ποιοῦντος, καὶ τῆς γυναικὸς ἐντολὰς ὑπ' αὐτοῦ ἐχούσης, ὅτε μέλλοι χωρίζεσθαι, μηδένα θίγειν τοῦ σωματίου, μηδέ τινα τῶν πολιτῶν, μηδ' ἄλλων ἀνθρώπων, εἰσελθόντες τινὲς εἰς τὴν οἰκίαν καὶ ἐκλιπαρήσαντες τὸ γύναιον, ἐθεώρησαν χαμαὶ κείμενον γυμνὸν τὸν Ἑρμότιμον ἀκίνητον. οἱ δὲ πῦρ λαβόντες κατέκαυσαν αὐτόν, οἰόμενοι τῆς ψυχῆς παραγενομένης καὶ μηκέτι ἐχούσης ὅπου εἰσδύσεται, παντελῶς στερήσεσθαι τοῦ ζῆν· ὅπερ καὶ συνέπεσεν. Τὸν μὲν οὖν Ἑρμότιμον Κλαζομένιοι τιμῶσι μέχρι τοῦ νῦν, καὶ ἱερὸν αὐτοῦ καθίδρυται, εἰς ὃ γυνὴ οὐκ εἰσέρχεται διὰ τὴν προειρημένην αἰτίαν.

4 δ΄. Ἄβαρις δὲ ἐξ Ὑπερβορέων ἦν μὲν καὶ αὐτὸς τῶν θεολόγων· ἔγραφε δὲ καὶ χρησμούς, τὰς χώρας περιερχόμενος, οἵ εἰσι μέχρι τοῦ νῦν ὑπάρχοντες. προέλεγε δὲ καὶ οὗτος σεισμοὺς καὶ λοιμοὺς καὶ τὰ παραπλήσια, καὶ τὰ γιγνόμενα κατ' οὐρανόν. λέγεται δὲ τοῦτον εἰς Λακεδαίμονα παραγενόμενον, εἰρηκέναι τοῖς Λάκωσι, κωλυτήρια θῦσαι τοῖς θεοῖς, καὶ ἐκ τούτου ὕστερον ἐν Λακεδαίμονι λοιμὸς οὐκ ἐγένετο.

5 ε΄. Τὰ δὲ περὶ Φερεκύδην τοσαῦτά τινα ἱστορεῖται. Ἐν Σκύρῳ ποτὲ τῇ νήσῳ διψῶντα ὑδάτιον αἰτῆσαι παρά τινος τῶν γνωρίμων· τὸν δὲ πιόντα εἰπεῖν, σεισμὸν ἐσόμενον ἐν τῇ νήσῳ μετὰ τρίτην ἡμέραν· τούτου δὲ συμβάντος, μεγάλην δόξαν αὐτὸν ἀπενέγκασθαι· πάλιν δὲ εἰς Σάμον πορευόμενος εἰς τὸ τῆς Ἥρας ἱερόν, ἰδεῖν πλοῖον εἰς τὸν λιμένα καταγόμενον καὶ εἰπεῖν τοῖς συνεστῶσιν, ὡς οὐκ εἰσελεύσεται ἐντὸς τῆς λιμένος· ἔτι δὲ λεγόν-

τος αὐτοῦ καταρραγῆναι γνόφον, καὶ τέλος ἀφανισθῆναι τὴν ναῦν.

ς'. Τούτοις δὲ ἐπιγενόμενος Πυθαγόρας Μνησάρχου 6
υἱὸς τὸ μὲν πρῶτον ἐπονεῖτο περὶ τὰ μαθήματα καὶ τοὺς ἀριθμούς, ὕστερον δέ ποτε καὶ τῆς Φερεκύδου τερατοποιΐας οὐκ ἀπέστη. καὶ γάρ τῳ Μεταπόντιον πλοίῳ εἰσερχομένῳ φορτίον ἔχοντι, καὶ τῶν παρατυχόντων εὐχομένων σωστὸν εἶναι καὶ ἐλθεῖν διὰ τὸν φόρτον, ἑστῶτα τοῦτον εἰπεῖν· νεκρὸν τοίνυν φανήσεται ὑμῖν σῶμα ἄγον τὸ πλοῖον τοῦτο. πάλιν δὲ ἐν Καυλωνίᾳ, ὥς φησιν Ἀριστοτέλης γράφων περὶ αὐτοῦ, πολλὰ μὲν καὶ ἄλλα λέγει καὶ τὸν ἐν Τυρρηνίᾳ φησὶ δάκνοντα θανάσιμον ὄφιν, αὐτὸς δάκνων, ἀπέκτεινεν. Καὶ τὴν γινομένην δὲ στάσιν τοῖς Πυθαγορείοις προειπεῖν· διὸ καὶ εἰς Μεταπόντιον ἀπῆρεν ὑπὸ μηδενὸς θεωρηθείς, καὶ ὑπὸ τοῦ κατὰ Σάμον ποταμοῦ διαβαίνων, ἤκουσε φωνὴν μεγάλην ὑπὲρ ἄνθρωπον· Πυθαγόρα χαῖρε. τοὺς δὲ παρόντας περιδεεῖς γενέσθαι· ἐφάνη δέ ποτε καὶ ἐν Κρότωνι, καὶ ἐν Μεταποντίῳ τῇ αὐτῇ ἡμέρᾳ καὶ ὥρᾳ· ἐν θεάτρῳ δέ καθήμενός ποτε ἐξανίσταται, ὥς φησιν Ἀριστοτέλης, καὶ τὸν ἴδιον μηρὸν παρέφαινε τοῖς καθημένοις εἰς χρυσοῦν. λέγεται δὲ περὶ αὐτοῦ καὶ ἄλλα τινὰ παράδοξα. Ἡμεῖς δὲ μὴ βουλόμενοι καταγραφέων ἔργον ποιεῖν, αὐτοῦ τὸν λόγον καταπαύσομεν.

ζ'. Ἀριστοτέλης δ' ἐν τοῖς Φυσικοῖς Προβλήμασιν τοὺς 7
περὶ τὴν φυτείαν τῆς κριθῆς γενομένους χλωρότερα ἴσχειν καὶ τὰ σώματα, μᾶλλον ἢ περὶ τὸν πυρὸν κατασχολουμένους.

η'. Ἄνδρων δὲ ἐν τῇ τετάρτῃ τῶν πρὸς Φίλιππον 8
θυσιῶν· κορώνη ἐν τῇ Ἀττικῇ εἰς τὴν ἀκρόπολιν οὐδεμία ἑώραται εἰσερχομένη, καθάπερ οὐδὲ ἐν Πάφῳ περὶ τὰ θυρώματα τὰ τῆς Ἀφροδίτης μυῖα ἐφισταμένη.

θ'. Ἀριστοτέλης δὲ ἐν τοῖς Φυσικοῖς Προβλήμασί φη- 9
σιν· οἱ μονοσιτοῦντες πικρότερα τὰ ἤθη ἔχουσιν, μᾶλλον ἢ οἱ δὶς τροφαῖς χρώμενοι.

ι'. Θεόπομπος δὲ ἐν τοῖς Θαυμασίοις, ἐν τῷ ἀγῶνι 10
τῶν Ὀλυμπίων πολλῶν ἐπιπολαζόντων ἰκτίνων ἐν τῇ πανηγύρει καὶ διασυριζόντων, τὰ διαφερόμενα κρέα τῶν ἱεροθύτων ἀθιγῆ μένειν.

11 ια'. Ἀριστοτέλης δὲ ἐν Νομίμοις Βαρβαρικοῖς· (ἐν Λάτμῳ) τῆς Καρίας σκορπίοι γίνονται, οἳ τοὺς μὲν ξένους πατάξαντες οὐ λίαν ἀδικοῦσι, τοὺς δὲ ἐπιχωρίους παρ' αὐτὰ ἀποκτείνουσιν.

12 ιβ'. Περὶ Βαβυλῶνα δὲ διαβάντι τὸν Εὐφράτην ποταμὸν ὀφίδια γίγνεται, καὶ τοὺς μὲν ξένους τύπτει, τοὺς δ' ἐντοπίους οὐκ ἀδικεῖ.

13 ιγ'. Ἐν τῷ κατὰ τόπους Μυθικῷ, ἐν Ἁλικαρνασσῷ θυσίας τινὸς τῷ Διῒ τῷ Ἀσκραίῳ συντελουμένης, ἀγέλην αἰγῶν ἄγεσθαι πρὸ τοῦ ἱεροῦ καὶ ἵστασθαι, τῶν δὲ κατευχῶν συντελεσθεισῶν, προβαίνειν μίαν αἶγα ὑπὸ μηδενὸς ἀγομένην καὶ προσέρχεσθαι τῷ βωμῷ, τὸν δὲ ἱερέα λαβόμενον αὐτῆς καλλιερεῖν.

14 ιδ'. Φύλαρχος ἐν τῇ η' τῶν Ἱστοριῶν καὶ κατὰ τὸν Ἀράβιόν φησι κόλπον πηγὴν εἶναι ὕδατος, ἐξ οὗ εἴ τις τοὺς πόδας χρίσειεν, συμβαίνειν εὐθέως ἐντείνεσθαι ἐπὶ πόλυ τὸ αἰδοῖον, καὶ τινων μὲν μηδόλως συστέλλεσθαι, τινῶν δὲ μετὰ μεγάλης κακοπαθείας καὶ θεραπείας ἀποκαθίστασθαι.

15 ιε'. Σκύμνος δὲ ὁ Χῖος τὴν Βρεττανικὴν νῆσον λέγει σταδίων εἶναι τετρακισχιλίων τετρακοσίων τὸ περίμετρον, γίγνεσθαι δὲ ἐν αὐτῇ τὰ γεννήματα ἀπύρηνα, οἷον τὰς ἐλαίας πυρῆνας μὴ ἔχειν, μηδὲ βότρυς γίγαρτον, μηδὲ τὰ ἐμφερῆ τούτοις.

16 ις'. Θεόφραστος δὲ ἐν τῇ περὶ τῶν φυτῶν πραγματείᾳ τὴν θαψίαν ῥίζαν, ᾗ οἱ ἰατροὶ χρῶνται, ἐάν τις σὺν κρέασιν ἑψήσῃ, τὰ πολλὰ ἓν γίνεσθαι, ὥστε ἐκ τοῦ ἀγγείου μηκέτι δύνασθαι ἐξαιρεθῆναι.

17 ιζ'. Κτησίας παρ' Ἰνδοῖς ξύλον γενέσθαι φησίν, ὃ καλεῖται πάρηβον· τοῦτο ἐφ' ἑαυτὸ ἕλκει πᾶν τὸ προσκομισθὲν αὐτῷ, οἷον χρυσόν, ἄργυρον, κασσίτερον, χαλκόν, καὶ τἄλλα μεταλλικὰ πάντα· ἕλκει δὲ καὶ τὰ σύνεγγυς ἱστάμενα στρουθία, ἐὰν δὲ μεῖζον ᾖ τὸ ξύλον, καὶ αἶγας καὶ πρόβατα καὶ τὰ ὁμήλικα ζῷα.

18 ιη'. Φύλαρχος ἐκ ι̅ τῶν Ἱστοριῶν, ἐκ τῆς Ἰνδικῆς φησιν ἐνεχθῆναι λευκὴν ῥίζαν, ἣν κόπτοντες μεθ' ὕδατος καταπλάττειν τοὺς πόδας, τοὺς δὲ καταπλασθέντας ἄνδρας

τῆς συνουσίας λήθην ἴσχειν, καὶ γίγνεσθαι ὁμοίους εὐνούχοις· διὸ καὶ ἔτι ἀνήβων ὄντων καταχρίουσι, καὶ μέχρι θανάτου οὐκ ἐπαίρουσιν.

19 ιθ'. Ἡρακλείδης δὲ ὁ Κρητικὸς, ἐν τῷ περὶ τῶν ἐν τῇ Ἑλλάδι πόλεων, κατὰ τὸ Πήλιον ὄρος φύεσθαί φησιν ἄκανθαν καρποφόρον, ἧς τὸν καρπὸν ἐάν τις τρίψας μετ' ἐλαίου καὶ ὕδατος χρίσῃ τὸ αὑτοῦ ἢ ἄλλου σῶμα, χειμῶνος ὄντος, οὐκ ἐπησθήσεται τοῦ ψύχους.

20 κ'. Κτησίας δὲ ἐν τῇ δεκάτῃ Περσικῶν καμήλους τινὰς ἐν χώρᾳ γίγνεσθαι, ἃς ἔχειν τρίχας πρὸς Μιλήσια ἔρια τῇ μαλακότητι· ἐκ δὲ τούτων τοὺς ἱερεῖς, καὶ τοὺς ἄλλους δυνάστας τὰς ἐσθῆτας φέρειν.

21 κα'. Τῶν παρατετηρημένων δ' ἐστὶ, τὸ τὰ δίχηλα μόνα τῶν ζώων εἰς τοὺς ὀπισθίους πόδας ἀστραγάλους ἔχειν· ἀποδέδωκεν τὴν αἰτίαν Ἀριστοτέλης ἐν τοῖς Φυσικοῖς Προβλήμασιν, διὰ τί ἐν τοῖς ὀπισθίοις καὶ οὐκ ἐμπροσθίοις· οὐδὲν γὰρ μάτην ἡ φύσις ἐποίησεν.

22 κβ'. Συνῶπται δὲ ἐν τῷ βίῳ καὶ τὸ μηδὲν τῶν κερασφόρων ζώων ἀποψοφεῖν· ἀποδέδωκεν δὲ καὶ τούτων τὴν αἰτίαν Ἀριστοτέλης ἐν τοῖς προβλήμασιν.

23 κγ'. Θαυμαστὸν δὲ καὶ τὸν ἥλιον ἐπικαίειν ἡμᾶς, τὸ δὲ πῦρ μηδόλως· καὶ τὸ τὸν ἀδάμαντα μὴ θερμαίνεσθαι πυρούμενον, καὶ μάγνητα λίθον, ἡμέρας μὲν οὔσης, ἕλκειν, νυκτὸς δὲ ἧττον ἢ οὐδόλως ἕλκειν.

24 κδ'. Εὔδοξος ὁ Ῥόδιος περὶ τὴν Κελτικὴν εἶναί τι ἔθνος φησίν, ὃ τὴν ἡμέραν οὐ βλέπειν, τὴν δὲ νύκτα ὁρᾶν.

25 κε'. Ἀριστοτέλης ἐν τῷ περὶ μέθης, Ἄνδρων, φησίν, Ἀργεῖος ἐσθίων πολλὰ καὶ ἁλμυρὰ καὶ ξηρὰ δι' ὅλου τοῦ βίου ἄδιψος καὶ ἄποτος διετέλεσεν· ἔτι δὶς πορευθεὶς εἰς Ἄμμωνα διὰ τῆς ἀνύδρου ὁδοῦ, ἄλφιτα ξηρὰ σιτούμενος, οὐ προσηνέγκατο ὑγρόν· τοῦτο δὲ ἐποίησε δι' ὅλου τοῦ βίου.

26 κς'. Ἀριστοτέλης δὲ ἐν τῷ περὶ τῆς ζωῆς καὶ θανάτου φησί, τὴν χελώνην στερισκομένην τῆς καρδίας, ζῆν· οὐκέτι δὲ διώρισεν ποίαν αὐτῶν, ἢ τὴν χερσαίαν, ἢ τὴν ἔνυδρον.

27 κζ'. Ἀριστοτέλης δὲ ἐν τοῖς Ζωϊκοῖς (δύο γάρ εἰσιν αὐτοῦ πραγματεῖαι, ἡ μὲν περὶ ζώων, ἡ δὲ περὶ τῶν ζωϊ-

κῶν,) οἱ φθεῖρές φησιν ἐν τῇ κεφαλῇ ἐν ταῖς μακραῖς οὐ φθίνουσι νόσοις, μελλόντων τελευτᾶν τῶν πασχόντων, ἀλλ' ἐπὶ τὰ προσκεφάλαια εὑρίσκονται, προλελοιπότες τὴν κεφαλήν.

28 κη'. Ἀριστοτέλης ἐν τοῖς Ζωϊκοῖς, ὁ ῥύπος φησιν ἐν τοῖς ὠταρίοις γιγνόμενος πικρὸς ὤν, ὅταν τελευτᾶν μέλλωσιν ἐν ταῖς μακραῖς νόσοις, γλυκὺς γίνεται· τοῦτο δὲ (φησιν) παρατετήρηται ἐπὶ πολλῶν γιγνόμενον· ἀποδέδωκε δὲ καὶ τὴν αἰτίαν τοῦ γιγνομένου ἐν τοῖς Φυσικοῖς Προβλήμασιν.

29 κθ'. Θεόφραστος ἐν τῇ περὶ Φυτῶν πραγματείᾳ, ἐὰν αἱ μῆτραί φησι προσπέσωσιν, ἀριστολοχίαν ἐν ὕδατι βεβρεγμένην καταντλείσθωσαν πλείονας ἡμέρας.

30 λ'. Ἀριστόξενος δὲ ὁ μουσικὸς τεταρταΐζοντας τὴν ἑλξίνην φησὶν βοτάνην μετὰ ἐλαίου τριβομένην καὶ συγχριομένην πρὸ τῆς λήψεως, ἀπολύειν τοῦ πάθους.

31 λα'. Θεόφραστος ἐν τῷ περὶ Φυτῶν τὰ πρόβατά φησιν τὰ ἐν Πόντῳ τὸ ἀψίνθιον νενόμενα, οὐκ ἔχει χολήν.

32 λβ'. Θεόφραστος ἐν τῷ περὶ Φυτῶν, ἐν Ἰνδοῖς μὴ γίνεσθαι μήτε ἐρέβινθον, μήτε φακόν, μήτε κύαμον.

33 λγ'. Ἔτι Θεόφραστος ἐν τῷ η' περὶ Φυτῶν τῆς Βακτριανῆς ὁδοῦ ἔν τισι κώμαις πυρὸν γίγνεσθαι οὕτως εὐγενῆ, ὥστε πυρῆνος ἐλαίας τὸ μέγεθος ἴσχειν.

34 λδ'. Ὁ αὐτὸς φιλόσοφος ἐν τῇ Ὀλυμπίᾳ καὶ Ζακύνθῳ γῆ μιγνυμένη φησὶ τῷ σίτῳ εὐγενέστερον ποιεῖ φαίνεσθαι τοῦτον.

35 λε'. Τῶν παρατετηρημένων ἐστὶ δὲ καὶ τοῦτο, τὰς ἐγκύους τῶν γυναικῶν συνεχῶς πλησιαζούσας τοῖς ἀνδράσιν, εὐκόπως καὶ ἀκακοπαθήτως τίκτειν· εἴρηκεν δὲ τοῦτο καὶ Ἀριστοτέλης ἐν τῇ ζ' τῶν Ἱστοριῶν.

36 λς'. Σώτακος ἐν τῷ περὶ λίθων, ὁ Καρύστιός φησι λεγόμενος λίθος ἐπιφύσεις ἔχει ἐριώδεις καὶ χνοώδεις, ἐξ οὗ νήθεται καὶ ὑφαίνεται χειρεκμαγεῖα· στρέφουσι δὲ ἐξ αὐτοῦ καὶ ἐλλύχνια, καὶ ἐστὶ καιόμενα λαμπρὰ καὶ ἀκατάκαυστα. τῶν δὲ ἐκμαγείων τῶν ῥυπαινομένων ἡ πλύσις γίγνεται οὐ δι' ὕδατος, ἀλλὰ κληματὶς κάεται καὶ τότε τὸ ἐκμαγεῖον ὑποτίθεται καὶ ὁ μὲν ῥύπος ἀπορρεῖ, αὐτὸ δὲ

λευκὸν καὶ καθαρὸν γίνεται ὑπὸ τοῦ πυρός· καὶ πάλιν εἰς τὰς αὐτὰς ἐγχρήζει χρείας· τὰ δ' ἐλλύχνια μένει τὸν ἅπαντα χρόνον ἀκατάκαυστα καιόμενα μετ' ἐλαίους· δοκιμάζει δὲ καὶ τοὺς πτωματιζομένους ἡ ὀσμὴ τοῦ ἐλλυχνίου καιομένου. γίγνεται δὲ ὁ λίθος οὗτος καὶ ἐν Καρυστῷ μέν, ἀφ' οὗ καὶ τοὔνομα ἔλαβεν· πολὺς δὲ ἐν Κύπρῳ, καταβαινόντων ἀπὸ τοῦ Γεράνδρου ὡς ἐπὶ Σόλους πορευομένοις, ἐν ἀριστερᾷ τοῦ Ἐλμαίου ὑπὸ κάτω πετρῶν· καὶ κατὰ τὸ πανσέληνον αὔξεται, καὶ πάλιν φθίνοντος τοῦ σεληνίου μειοῦται καὶ ὁ λίθος.

λζ'. Ἀριστοτέλης ἐν Φυσικοῖς Προβλήμασιν, τῶν κυρ- 37
τῶν βαρεῖα ἡ ἀναπνοὴ διὰ τοῦ στόματος ἐξέρχεται· ἀποδέδωκεν δὲ καὶ τοῦ γιγνομένου τὴν αἰτίαν.

λη'. Εὔδοξος δὲ ὁ Κνίδιος ἐν τῷ ζ' Γῆς Περιόδου, 38
φησὶν ἐπὶ πᾶσι τῶν ἐν Λιβύῃ τι ἔθνος εἶναι, οἳ ὑπεράνω Σύρτεων δὲ καὶ Καρχηδόνος πρὸς ἀνατολὰς κείμενοι, καλοῦνται Γύζαντες, οἵτινες τέχνης ἐπιτηδεύουσιν, τὰ ἄνθη συλλέγοντες, τὰ ἐν τοῖς τόποις, μέλι ποιεῖν τοσοῦτον καὶ τοιοῦτον, ὥστε γίγνεσθαι οἷον τὸ ὑπὸ τῶν μελισσῶν γιγνόμενον.

λθ'. Ἀριστοτέλης ἐν ταῖς Ἐκλογαῖς τῶν Ἀνατομῶν 39
φησίν· ὄφις ὤφθη ἐν Παφῷ πόδας ἔχων δύο ὁμοίους χερσαίῳ κροκοδείλῳ.

μ'. Ἀριστόξενος ὁ Μουσικὸς ἐν τῷ Τελέσιου βίῳ 40
φησίν, ὥπερ ἐν Ἰταλίᾳ συνεκύρησεν, ὑπὸ τὸν αὐτὸν καιρὸν γίγνεσθαι πάθη, ὧν ἓν εἶναι καὶ τὸ περὶ τὰς γυναῖκας γενόμενον ἄτοπον· ἐκστάσεις γὰρ γίγνεσθαι τοιαύτας, ὥστε ἐνιότε καθημένας καὶ δειπνούσας, ὡς καλοῦντός τινος ὑπακούειν, εἶτα ἐκπηδᾶν ἀκατασχέτους γιγνομένας, καὶ τρέχειν ἐκτὸς τῆς πόλεως· μαντευομένοις δὲ τοῖς Λοκροῖς καὶ Ῥηγίνοις περὶ τῆς ἀπαλλαγῆς τοῦ πάθους εἰπεῖν τὸν θεόν, παιᾶνας ᾄδειν ἐαρινοὺς δωδεκάτης ἡμέρας ξ', ὅθεν πολλοὺς γενέσθαι παιανογράφους ἐν τῇ Ἰταλίᾳ.

μα'. Θεόφραστος ἐν τῷ θ' τῶν Φυτῶν, τὸ σκορπίον 41
βοτάνιον (οἱ δὲ θηλυφόνον καλοῦσιν), ἐπιτιθέμενον τοῖς σκορπίοις ξηραίνειν αὐτοὺς εὐθέως.

μβ'. Τῶν παρατετηρημένων ἐστί, τὸ δυσκατούλωτα 42

ἕλκη γίγνεσθαι, ταῖς τε κυούσαις καὶ σπληνικοῖς καὶ τοῖς κιρσοὺς ἔχουσι καὶ ταῖς γυναιξίν, ὅσαις ἰξίαι περὶ τοὺς μηροὺς ἔνεισιν.

43 μγʹ. Θεόφραστος ἐν τῷ περὶ Φυτῶν, περὶ Σόλους τῆς Κιλικίας παρὰ τὸν ποταμὸν λεγόμενον Πίναρον, οὗ ἡ μάχη Ἀλεξάνδρου πρὸς Δαρεῖον ἐγένετο, αἱ ῥόαι ἀπύρηνοι γίγνονται· δι᾽ ὅλου δὲ τοῦ βίου κόκκοι τὸ οἰνίζον ἔχουσιν.

44 μδʹ. Ἀριστοτέλης ἐν τοῖς περὶ ζῴων, ἡ μέλισσά, φησιν, ἀποβάλλουσα τὸ κεντρίον ἀποθνήσκει· αἱ δὲ βαστάζουσιν ἔξω τοῦ σμηνιῶνος.

45 μεʹ. Τῶν παρατετηρημένων ἐστί, τὸ καὶ τοῖς λευκοΐοις ἄνθεσιν ἢ στεφάνοις διὰ νυκτὸς λύχνους παρακαίεσθαι, ἵνα εἰς τὴν πρωΐαν ταῦτα παραμένῃ ἀμάραντα. ποιοῦσι δὲ τοῦτο οἱ στεφανηπλόκοι.

46 μςʹ. Θεόφραστος ἐν τῇ εʹ τῶν Φυτικῶν Αἰτίων φησὶν τὰ κελύφη τῶν κυάμων περὶ τὰς ῥίζας τῶν δένδρων περιτιθέμενα, ξηραίνειν τὰ φυόμενα· καὶ αἱ κατοικίδιαι δὲ ὄρνιθες συνεχῶς ταῦτα ἐσθίουσαι, ἄτοκοι γίγνονται· ὅθεν καὶ διὰ ταύτην τὴν αἰτίαν, τάχα δὲ καὶ δι᾽ ἄλλας οἱ Πυθαγόρειοι ἀπηγορεύκασιν τῷ κυάμῳ χρῆσθαι· καὶ γὰρ πνευματοποιὸν καὶ δύσπεπτον, καὶ τοὺς ὀνείρους τεταραγμένους ἡμῖν ἐμποιεῖ.

47 μζʹ. Τὰ ὕδνα, βροντῶν συνεχῶν γιγνομένων σκληρότερα γίγνεται, καθάπερ Θεόφραστος ἐν τῷ περὶ Φυτῶν εἴρηκεν.

48 μηʹ. Θεόφραστος ἐν τῷ περὶ Φυτῶν φησιν, ἡ λιβανωτὶς βοτάνη συντιθεμένη μετὰ ἱματίων κωλύει σῆτας ἐγγίγνεσθαι· ἄξια δ᾽ ἐστὶν ἐπιστάσεως τὰ εἰρημένα.

49 μθʹ. Θεόφραστος ἐν τῷ περὶ Ἐνθουσιασμῶν ἐξεῖπεν· φησὶ γὰρ ἐκεῖνος τὴν μουσικὴν πολλὰ τῶν ἐπὶ ψυχὴν καὶ τὸ σῶμα γιγνομένων παθῶν ἰατρεύειν, καθάπερ λιποθυμίαν, φόβους καὶ τὰς ἐπὶ μακρὸν γιγνομένας τῆς διανοίας ἐκστάσεις. Ἰᾶται γάρ, φησιν, ἡ καταύλησις καὶ ἰσχιάδα καὶ ἐπιληψίαν, καθάπερ πρὸς Ἀριστόξενον τὸν μουσικὸν ἐλθόντα (χρήσασθαι αὐτὸν τῷ μαντείῳ τῆς Πασιφάης ἅμα τῷ ἐν Δελφοῖς λέγεται) τὸν μουσικὸν καταστῆσαι τὸν ἐξιστάμενον ἐν Θήβαις ὑπὸ τὴν τῆς σάλπιγγος φωνήν. ἐπὶ

τοσοῦτον γὰρ ἐβόησεν ἀκούων, ὥστε ἀσχημονεῖν· εἰ δέ ποτε καὶ πολεμικὸν σαλπίσειέ τις, πολὺ χεῖρον πάσχειν μαχόμενον· τοῦτον οὖν κατὰ μικρὸν τῷ αὐλῷ προσάγειν· καὶ ὡς ἂν τις εἴποι ἐκ προσαγωγῆς ἐποίησεν καὶ τὴν τῆς σάλπιγγος φωνὴν ὑπομένειν· θεραπεύει δὲ ἡ καταύλησις καὶ ἐάν τι μέρος τοῦ σώματος ἐν ἀλγήματι ὑπάρχῃ, καταυλουμένου τοῦ σώματος, καταύλησις γιγνέσθω ἡμέρας ε΄ ἕως ἐλάχιστα καὶ εὐθέως τῇ πρώτῃ ἡμέρᾳ ἐλάττων ὁ πόνος γενήσεται, καὶ τῇ δευτέρᾳ· τὸ δὲ γιγνόμενον διὰ τῆς καταυλήσεως ἐπιχωριάζει καὶ ἀλλαχῇ, μάλιστα δὲ ἐν Θήβαις, μέχρι τῶν νῦν χρόνων.

ν΄. Θεόφραστος ἐν τῷ περὶ Φυτῶν, ἐν τῇ ἐννάτῃ τῆς 50
πραγματείας, Εὔνομός, φησιν, ὁ Χῖος ὁ φαρμακοπώλης, ἐλλεβόρου πίνων πλείονας πόσεις, οὐκ ἐκαθαίρετο· καί ποτε, ἔφη, ἐν μιᾷ ἡμέρᾳ, συνθέμενος τοῖς ὁμοτέχνοις, περὶ δύο καὶ εἴκοσι πόσεις ἔλαβεν, ἐν τῇ ἀγορᾷ καθήμενος, καὶ οὐκ ἐξανέστη ἀπὸ τῶν σκευῶν· τότε δ' ἀπῆλθεν λούσασθαι, καὶ δειπνῆσαι, ὥσπερ εἰώθει, καὶ οὐκ ἐξήμεσεν· τοῦτο δὲ ἔπραξεν ἐν πολυχρονίῳ συνηθείᾳ γεγονώς, ἀρξάμενος ἀπὸ ὀλίγων, ἕως τοσούτων πόσεων· πάντων δὲ τῶν φαρμάκων αἱ δυνάμεις ἀσθενέστεραι τοῖς συνειθισμένοις, ἐνίοις δὲ καὶ ἄπρακτοί εἰσιν· ἄξιον δὲ ἐπιστῆσαι πρᾶγμα.

να΄. Ἀριστοτέλης δὲ ἐν τοῖς Φυσικοῖς Προβλήμασιν 51
εἴρηκεν· τὸν ἄνθρωπόν φησιν βεβρωκότα καὶ πεπωκότα τὸν αὐτὸν σταθμὸν ἄγειν καὶ ὅτε νῆστις ὑπῆρχεν· πειρᾶται δὲ καὶ τὴν αἰτίαν τοῦ γιγνομένου ἀποδιδόναι.

## XII.

## ΑΣΚΛΗΠΙΑΔΩΝ

*ὑγιεινὰ παραγγέλματα.*

---

*Εὐεξίας τραπέζαν, εἰ θέλεις, μάθε·*
*τῆς ἡμέρας δειπνῆσον εἰσάπαξ μόνον.*
*ἁπλοῦν τὸ δεῖπνον, οὐ πολὺ μέν σοι φίλον.*
*πρὸ τοῦ κόρου βρῶσίν τε καὶ πόσιν φύγε,*
*καὶ συμμέτροις γύμναζε σαυτὸν τοῖς πόνοις.*
*ἐπὶ τὰ δέξια δὲ τοῖς ὕπνοις κλίνου,*
*καὶ τὰ ψυχρὰ πόματα χειμῶνος μίσει.*
*τὴν κρανιακὴν τέμνε τῷ θερεῖ φλέβα,*
*τὴν καθόλου δὲ τοῖς ψυχροῖς μᾶλλον χρόνοις.*
*κἂν ἐν μὲν ἀκμῇ τῆς σελήνης ἐμφράσαι,*
*ἂν δ' ὑπέρακμος, τῆσδε τὸ πλῆρες σκοπεῖ·*
*καὶ γαστέρος κένωσιν ἐκ τῶν σκυβάλων,*
*τό τ' ἀκριβῶς ἄπικρον ἄδιψον στόμα*
*διψοῦς ἄγευστον εἴ τε μὴν καὶ τοῦ πικροῦ.*
*τὸ σῶμα θάλπε ταῖς χλαμύσιν ἐν ψύχει,*
*καὶ τὴν κεφαλὴν στῆθός τε σὸν καὶ τοὺς πόδας.*
*πλὴν τὰς σισύρας φεῦγε ζέοντος ἡλίου,*
*καὶ μᾶλλον, εἰ αἰγός σοι αἱ τρίχες πέλον.*
*κατοικίας ἔκκλινε δυσωδεστέρας*
*ἀεί τε καὶ μάλιστα καύματος χρόνῳ.*
*Μετὰ Θεοῦ τούτοιςδε ἐκφύγοις νόσους.*

---

# XIII.

## ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΨΕΛΛΟΥ
## ΚΑΙ ΥΠΕΡΤΙΜΟΥ
## ΠΟΝΗΜΑ ΙΑΤΡΙΚΟΝ ΑΡΙΣΤΟΝ ΔΙ' ΙΑΜΒΩΝ.

---

*Ἰατρικῶν ἄκουε συντόμως ὅρων*
*Νοσημάτων ὁμοῦ τε καὶ συμπτωμάτων.*

*Ἄφθα διπλοῦν πέφυκεν ἕλκος παιδίοις·*
*Ἡ μὲν γάρ ἐστιν εὐΐατος, λευκόχρους,*
*Ἡ δ' ὑπέρυθρος, παιδίων ἀναιρέτις.*

*Γυμνάσιον, κίνησις εὐτονωτάτη,*
*Ἀναπνοῆς ἄμειψις, ἰσχὺς σωμάτων.*
*Ἡ μέν τίς ἐστι τρίψις εὐτονωτάτη,*
*Δεσμοῦσα σάρκας τὰς λελυμένας πλέον·*
*Ἡ δ' εὔλυτος, λύουσα τὰς ἐσφιγμένας·*
*Μέση τις ἄλλη τῶν ἐναντιωτάτων.* — *Περὶ κόπου.*
*Τριττός τίς ἐστιν ὁ κόπος τῶν σωμάτων·*
*Ὁ μὲν περιττῶν ἔκγονος καὶ δριμέων,*
*Ἄλλος δὲ νεύρων καὶ μυῶν σφοδρὰ τάσις·*
*Καὶ φλεγμονώδης ὁ τρίτος κεκλημένος*
*Ὡς φλέγμα καὶ πύρωσιν ἡμῖν εἰσάγων.*

*Ἡ σωμάτων στένωσις ἡ θρυλλουμένη* — *Περὶ σωμάτων.*
*Ἔμφραξις ἢ πύκνωσις ἐστὶ τῶν πόρων.*

*Ἄριστος ἀὴρ λεπτός, εὔπνους τὴν φύσιν.* — *Περὶ ἀέρος.*

*Ἄνοσμον ὕδωρ, τοῦτ' ἄριστον τὴν φύσιν,* — *Περὶ ὕδατος.*
*Ἄποιον, εὔχρουν, συντόμως διαρρέον.*

Λουτρῶν τὸ θερμὸν ἀσφαλέστατον φρόνει, *Περὶ λουτρῶν.*
Λύον, μάλασσον, ὕπνον ἡδὺν εἰσάγον,
Παραίτιον μάλιστα τῆς εὐσαρκίας,
Τοὺς ἐγκρατῶς βιοῦντας ὠφελοῦν πλέον.

Οὗτος χαρακτὴρ ἀκριβοῦς εὐκρασίας·
Σύμμετρός ἐστιν εὐμέλεια σωμάτων,
Φύσις μέσως ἔχουσα τῶν ἐναντίων,
Τῶν ποιοτήτων ἡ πιωτέρα κρᾶσις,
Πρὸς τὰς ἐνεργείας τε τὰς τοῦ συνθέτου
Εὖ πως ἔχουσα τὴν καλὴν συμμετρίαν.
Ἐναντία τούτων δὲ δύσκρατος φύσις.

Μικρὰ κεφαλὴ δεσμὸς ἐστενωμένος *Περὶ κεφαλῆς.*
Σφίγγων τὸν ἐγκέφαλον, εἰπεῖν δέ, πνίγων
Ἡ δὲ πλέον πλασθεῖσα τῆς συμμετρίας,
Εἰ μὲν πέλει γέννημα ῥώμης ἐμφύτου,
Ἐπαινετὴ πέφυκεν εὖ πεπλασμένη·
Εἰ δ' ἔστιν ὕλη τῆς περιττῆς οὐσίας,
Δύσχρηστον αὐτὴν ταῖς ἐνεργείαις νόει·
Εἰ δ' αὖ μέσως ἔχουσα, χρηστὴ τὴν φύσιν.
Εὔκρατον ἐγκέφαλον ὧδε θηράσαις·
Σύμμετρός ἐστι ταῖς ἐνεργείαις ὅλαις,
Πλάττει τὸ σῶμα παγκάλως καὶ ποικίλως,
Ἐν τῷ βρέφει δείκνυσιν ἄνθην τῆς κόμης *Περὶ χροιῶν*
Χροιὰν πυρρὰν ἔχουσαν ἠλαττωμένην, *κόμης.*
Τοῖς παισὶν ὑπόξανθον, εἶτα τοῖς μέσοις
Τὸ ξανθὸν ἐκφύουσαν ἠκριβωμένως.

Σημεῖα ταῦτα γαστρὸς ἐξηραμμένης, *Σημεῖα γαστρός.*
Ταχεῖα δίψα, σύντομον πλήρωμά τε,
Ἐδεσμάτων ὄρεξις ἐξηραμμένων·
Τῆς δ' αὖ διύγρου ταῦτα συντόμῳ λόγῳ·
Τὸ μήτε διψῆν, μήτε τὴν πόσιν στέργειν·
Θερμῆς δὲ ταῦτα· πέψις ἀκριβεστέρα,
Ὄρεξις ἥττων, δίψα τοῦ πότου πλέον·
Ψυχρᾶς δὲ ταῦτα· πέψις ἀσθενεστέρα,
Ὄρεξις εὐαίσθητος, ἡδονὴ ψύχους.

*Περὶ πνεύμονος.*

*Τοῦ πνεύμονος δὲ ταῦτα σημεῖα φρόνει·*
*Πνεύμων ἄριστος, εὐφυῶς ἀναπνέων,*
*Τὴν ἕξιν ἀπέριττος, εὖ ὕλης ἔχων,*
*Εἰλικρινοῦς μάλιστα φωνῆς ἐργάτης.*

*Περὶ καρδίας.*

*Τῆς καρδίας δὲ τὰς κράσεις οὕτω μάθοις.*
*Ἀναπνοῆς ὄγκωσις ἢ σφυγμοῦ τάχος,*
*Εὐτολμία τε, πρὸς τὰ δεινὰ θρασύτης,*
*Δασύς τε θώραξ, στέρνα λάσια πλέον,*
*Γνωριστικὰ πέφυκε θερμῆς καρδίας·*
*Σφυγμοὶ δὲ μικροί, καὶ φόβοι καὶ δειλίαι,*
*Στέρνων ψίλωσις, τὴν ψυχὰν δηλοῦσί σοι·*
*Ξηρὰν δὲ γνωρίσειεν ἡ σκληρὰ φύσις,*
*Σφυγμὸς μὲν οὐχ ἕτοιμος, ἄγριος δέ γε·*
*Ὑγρὰν δὲ γνωρίζουσιν ἦθος ὀργίλον,*
*Σφυγμοὶ μαλακοί, συμπαθεστέρα φύσις.*

*Περὶ ἥπατος.*

*Θερμὸν μὲν ἧπαρ γνωριοῦσιν αἱ φλέβες*
*Τὴν εὐρύτητα δαψιλῆ κεκτημέναι,*
*Ξανθὴ χολὴ τὰ πρῶτα, τῆς δ' ἀκμῆς μέσης*
*Μέλαινα, θερμότης τε πολλὴ σωμάτων.*

*Περὶ φλέγματος.*

*Ψυχρὰν δέ σοι δείκνυσι φλέγματος φύσιν,*
*Φλεβῶν τε πολλὴ στεγνότης ἐν τῷ βάθει,*
*Τριχῶν ψίλωσις, ψυχρὸν αἷμα τὸ πλέον·*
*Ξηρᾶς δέ εἰσι σύμβολα ξηραὶ φλέβες,*
*Ὑγρᾶς δέ, τούτων μαλακωτέρα φύσις.*

*Περὶ ὄρχεων.*

*Ὄρχεις δὲ θερμοὺς δείκνυσι προθυμία*
*Πυκνῆς ὀχείας, καὶ τριχῶν ἡ δασύτης·*
*Μήτηρ δέ ἐστιν ἥδε πως τῶν ἀρρένων*
*Ψυχρὰ δὲ κρᾶσις δεικνύει τἀναντία.*
*Καὶ τῆς μὲν ὑγρᾶς κράσεως γνώρισμά τι,*
*Τῶν σπερμάτων τὸ πλῆθος ὑγρότης θ' ἅμα·*
*Ξηρὰ δὲ κρᾶσις ἡττόνως τούτων ἔχει.*

*Αὕτη πέφυκε λαχάνων ἡ ποιότης.* *Περὶ λαχάνων.*
*Ὑγρὰν ψυχράν τε τὴν θριδακίνην νόει,*
*Γεννῶσαν ἡδὺν ὕπνον, εὔτροφον φύσει,*
*Αὔξουσαν αἷμα καὶ τρέφουσαν ἡδέως.*
*Ἔχει δὲ ταύτας καὶ φύσις τῶν ἰντύβων*
*Τὰς ποιότητας, ἀλλ' ὅμως τεθραυσμένας.*
*Ἡ μαλάχη ψύχει μέν, ἀλλ' ἐλαττόνως,*
*Ὑγρὰν δὲ ποιεῖ τὸ πλέον τὴν γαστέρα,*
*Ὑπακτική τε τῆς περιττῆς γαστέρος·*
*Ῥύπτει τὸ τεῦτλον, ἐκκενοῖ τὴν γαστέρα,*
*Δάκνει στόμαχον, ἧπαρ εὐρύνει πλέον.*
*Κράμβη δίσεφθος δεσμός ἐστι γαστέρος·*
*Ἡ δ' αὖ μόνεφθος, ἁλσὶν ἐμμεμιγμένη,*
*Ὑπακτικὴ πέφυκε τῶν ἐγκειμένων.*
*Ἡ δ' ἀτράφαξις, προστίθει καὶ τὸ βλίτον,*
*Ὑγρὰ μὲν ἄμφω καὶ λύοντα γαστέρα,*
*Ἀλλ' εὔτροφον τὸ σῶμα δεικνύοντά πως.*
*Ἀτρακτυλίς, σκόλυμος, ἠκανθωμένα,*
*Τρόφιμα καὶ σύμμετρα γαστρὸς τῇ κράσει·*
*Ἡ κινάρα δὲ δυσστόμαχος τυγχάνει.*
*Οὐρητικὰ σέλινα, σμύρνιον, σίον.*
*Κάρδαμον ἠδ' ὤκιμον, ἀλλὰ καὶ νάπυ,*
*Ἅπαντα θερμὰ τυγχάνει καὶ δριμέα,*
*Δύσπεπτα, δυσστόμαχα, πλειστόχυμά τε.*
*Ἡ δ' ἀκαλήφη, καὶ κνίδη καλουμένη,*
*Λεπτή τίς ἐστιν, ἐκκενοῖ τὴν γαστέρα.*
*Τὸ δ' αὖ γε γιγγίδιον ἐμφύτως στύφον,*
*Ἄριστον, εὐστόμαχον εἰς ἀποτρόφους,*
*Εὔσιτον, εὔορεκτον, οὐ σάρκας τρέφον.*
*Ἐκφρακτικὴ κάππαρις, ἡδίστη πλέον,*
*Ὄξει μιγεῖσα φλεγμάτων ἀναιρέτις.*
*Ὅρα δὲ καινὴν φύσεως ποικιλίαν·*
*Βλίτοι, μαλάχαι, τεῦτλα καὶ θριδακίναι,*
*Ὑγρὰ μέν εἰσι τοῦ φυτοῦ τὴν οὐσίαν,*
*Ξηρὸς δὲ τούτοις ἀσπάραγος τυγχάνει·*
*Ἡ δ' αὖ ῥαφανίς, γογγύλη τε καὶ νάπυ,*
*Τὸ κάρδαμον, πύρεθρον, ἡ κράμβη πλέον,*

Τὸ μὲν φυτὸν φέρουσιν ἐξηραμμένον,
Ἔχουσι δ' ἀσπάραγον ὑγρὸν τὴν φύσιν.
Ἡ γογγύλη δέ, βουνιὰς κεκλημένη,
Τρόφιμος, εἰ δίσεφθος· εἰ δὲ πολλάκις
Γεύσαιο ταύτης, δυσστόμαχος πλέον.
Ὀρεκτικὴ πέφυκεν ἡ βολβοῦ φύσις
Τὴν γαστέρα ῥύπτουσα καὶ τονοῦσά πως,
Τρόφιμος, εἰς ἔρωτας εὐφυεστέρα,
Γεννητική τε πνευμάτων καὶ σπερμάτων.
Πράσα τε καὶ σκόροδα, τὰ κρόμμυά τε,
Πάντα δριμύττει καὶ τέμνει καὶ λεπτύνει.
Ἄποιον ὕδνον καὶ καταψύχον πλέον.
Οἱ δ' αὖ μύκητες φλεγματώδεις τὴν φύσιν·
Οἱ δ' ἀμανῖται τοῦτό πως ἐλαττόνως.

Περὶ ὀσπρίων.

Τῶν δ' ὀσπρίων δ' αὖ τὴν φακῆν ἀποτρέπου·
Μελάγχολος πέφυκε, δεσμὸς γαστέρος.
Κοῦφοι κύαμοι καὶ φυσώδεις τὴν φύσιν.
Ὁ δ' ἐρέβινθος ῥυπτικός τε τυγχάνει,
Καὶ σπέρμα γεννᾷ, καὶ λίθους διαθρύπτει.
Τὰ θέρμια δύσπεπτα. Τῆλις ἡ πόα
Θερμὴ πέφυκε, προτρέπει τὴν γαστέρα.
Ὁ δ' αὖ φάσουλος καὶ τρόφιμος τυγχάνει
Κενωτικός τε τῶν περιττῶν ἐκτόπως.

Περὶ κολοκύνθης, πεπόνων καὶ ὡραίων καὶ παντοίων ὀπωρῶν.

Ἡ κολόκυνθα καὶ λύει τὴν γαστέρα,
Ψύξιν τε γεννᾷ καὶ καθυγραίνει πλέον
Πέπων κακοστόμαχος ἡττόνως τρέφων.
Ὁ σίκυος δύσπεπτος, ὑγρὸς τὴν φύσιν.
Σῦκον, σταφυλαί, καὶ τρέφουσιν ἠρέμα,
Ἧττόν τε δυσστόμαχα, πλειστόχυμά τε·
Τῆς δὲ σταφυλῆς εὐχυμώτερον σῦκον,
Νεφροὺς καθαίρει καὶ κενοῖ τὴν γαστέρα·
Αἱ δ' ἰσχάδες σύμπαντα πρὸς τοὐναντίον,
Ὠμοὺς χυμοὺς τίκτουσι, πληροῦσιν φύσης·
Τῶν δὲ σταφυλῶν ἡ ἀσταφὶς βελτίων.
Τὰ συκάμινα ψυχροποιὰ μετρίως·

*Τίκτουσι δ' ὑγρότητα πολλὴν ἐν βάθει.*
*Ἡ δ' αὖ γε διπλῆ τῆς κεράσου ποιότης*
*Διπλοῦς ὁμοίως τοὺς χυμοὺς παρεισάγει·*
*Ἡ γὰρ γλυκεῖα τῆς ὀπώρας ποιότης*
*Βλάπτει στόμαχον, ἐκκενοῖ δὲ γαστέρα,*
*Ἡ δὲ στύφουσα, τῷ στύφειν τὴν γαστέρα,*
*Φθείρει στόμαχον· οὐχ ὕπεισιν οὐδόλως.*
*Ὁ κωνικὸς στρόβιλος εὔχυμος φύσει.*
*Μῆλον γλυκάζον καὶ τρόφιμον τυγχάνει,*
*Καὶ θερμόν ἐστι μᾶλλον ἐξωπτημένον.*
*Κυδώνιον δὲ ῥωστικὸν μὲν τυγχάνει,*
*Ἐφεκτικὸν δ' ἐστι τῆς γαστέρος πλέον.*
*Ῥοιὰ ψύχει. Μέσπιλα τὸ πλέον στύφει.*
*Φοῖνιξ τονοῖ στόμαχον ἐστεγνωμένος·*
*Ἐφεκτικὸς δέ ἐστι γαστρὸς ἐκτόπως.*
*Τῶν δ' αὖ γ' ἐλαιῶν τάσδε τὰς γνώσεις ἔχε·*
*Ἡ δρυπετὴς ἄπεπτος, ἄλγος γαστέρος·*
*Ἁλμάς, κολυμβάς, εὐόρεκτοι τὴν φύσιν.*
*Τῶν δ' αὖ καρύων τὰς διαιρέσεις μάθε·*
*Τὰ λεπτὰ πλείω τὴν τροφὴν δίδωσί σοι,*
*Μείζω δ' ἔλαττον, τοῖς μικροῖς ἀντιστρόφως.*
*Ἀμύγδαλον δὲ τμητικώτατον πάνυ.*
*Τὸ πιστάκιον ἧπαρ ἐκτρέφει φύσει.*
*Τὰ σηρικὰ δύσπεπτα, δυσστόμαχά τε.*
*Δαμασκηνὰ κινοῦσι γαστέρος φύσιν.*
*Δύσπεπτός ἐστι τῶν κεράσων ἡ φύσις.*
*Τὸ κίτρον μὲν δύσπεπτον, ἡ σὰρξ δὲ τρέφει.*
*Τρόφιμος ὁ βάλανος εὐσάρκῳ φύσει·*
*Δεῖται δὲ δεινῶς γαστέρος πυριπνόου.*
*Τὸ κάστανόν θ' ὅμοιον, ἀλλ ἐλαττόνως.*

*Πτηνῶν δὲ σαρκὰς καὶ τετραπόδων ὅρα.* *Περὶ πτηνῶν.*
*Πτηνῶν ὁ πέρδιξ εὐστόμαχος τυγχάνει,*
*Εὔπεπτος, ἡδὺς καὶ τρόφιμος ἐκτόπως.*
*Οἱ δ' ἀτταγῆνες καὶ περιστεραὶ νέαι,*
*Εὔπεπτα πάντα καὶ πλέον σαρκοτρόφα.*
*Κίχλα δὲ καὶ κόττυφος, ἠδὲ πυργίτης,*

*Τὰ πάνθ᾽ ὅμοια τοῖς προγριθμημένοις,*
*Σκληρὰν δ᾽ ἔχει τὴν σάρκα τῶν ἄλλων πλέον.*
*Νήττης τε, φάττης ἡ φύσις καὶ τρυγόνος*
*Σκληρά τε καὶ δύσπεπτος, ἰνώδης πλέον.*
*Ὁ χὴν, ὁ ταώς, τῶν γεράνων ἡ φύσις,*
*Δύσπεπτα· πλὴν τρόφιμα δείκνυνται φύσει.*
*Ἅπαν τρόφιμόν ἐστιν ὕειον κρέας,*
*Γλίσχρον δὲ καὶ δύσπεπτον, ἡδὺ δ᾽ ἐκτόπως.*
*Κακόστομαχον τὸ πρόβατον τυγχάνει·*
*Μᾶλλον δὲ δυσστόμαχον αἴγειον κρέας·*
*Τὸ δὲ τράγειον θερμοκοιλίοις δίδου.*
*Μελάγχολον βοῦς καὶ λαγὼς καὶ δορκάδες.*

*Ἅπας τυρὸς δύσπεπτος, ἐκτρέφων λίθους·*
*Ὁ πρόσφατος δέ, συμμέτρως ἁλῶν ἔχων,*
*Μαλακός, ἡδὺς καὶ τρόφιμος τυγχάνει.*

*Ἰχθὺς ἅπας πέφυκεν ὑγρὸς καὶ ψύχων·*
*Ὁ δ᾽ αὖ πετραῖος εὐχυμώτερος φύσει.*
*Πέτραι πελαγῶν κρείττονες πρὸς ἰχθύας,*
*Καὶ τῶν πελαγῶν οἱ ποταμοὶ χειρόνως*
*Τοὺς ἰχθύας τρέφουσι τοὺς ποταμίους·*
*Ἰχθὺς δὲ λίμναις ἐμμόνως τεθραμμένος*
*Ἄπεπτος, ὑγρός, δυσστόμαχος τὴν φύσιν.*
*Ὀστρακόδερμα πάντα συμπεπεμμένα*
*Γεννῶσι πικρὸν χυμὸν ἐν τοῖς ἐντέροις·*
*Βλάπτει δ᾽ ἔλαττον ἡ φύσις τῶν ὀστρέων.*
*Κίχλαι δὲ καὶ σωλῆνες, ἠδὲ πορφύραι,*
*Κῆρυξ δὲ καὶ σπόνδυλος, ἠδὲ κοχλίαι,*
*Καὶ δηκτικὸς πάγουρος, ἀστακὸς πλέον,*
*Καρίδες ἢ κάραβος ἢ καὶ καρκῖνοι,*
*Δύσπεπτα πάντα, δυσστόμαχα τὴν φύσιν.*
*Ἀνόστεως δὲ τευθὶς ἠδὲ σηπία*
*Ἁλυκὸν ἐκτρέφουσι χυμὸν ἐν βάθει·*
*Ὅμοια τούτοις καὶ λίβατος καὶ βάτος.*
*Ἡ δὲ τρυγὼν εὔπεπτον ἔχει τὴν φύσιν·*
*Φώκη δὲ καὶ φάλαινα καὶ θύννη πλέον.*

*Δελφίς τε καὶ ζύγαινα γαστέρα θλίβει,*
*'Ασυμμέτρως ἔχοντα σαρκικοῦ πάχους.*

*Οἴνων δὲ τήνδε τὴν διαίρεσιν νόει.* *Περὶ οἴνων.*
*'Ερυθρὸς οἶνος χυμὸν οὐ καλὸν τρέφει·*
*'Ο δὲ γλυκὺς τρόφιμος, ἀλλ' ὅμως βλάβη*
*Τῆς γαστρός ἐστιν, ἐκλύων ταύτην φύσει·*
*Δυσανάδοτος, εὐστόμαχος ὁ στύφων.*
*Οἶνος δ' ἄριστος κιρρός ἐστι τὴν χρόαν.*

*Ὕπνου τὸ χρῆμα χρῆμα τῇ φύσει μέγα.* *Περὶ ὕπνου.*
*Πέττει τὰ σῖτα, ζωπυροῖ τὴν γαστέρα,*
*Κόπους, ὀδύνας καὶ πόνους ἀμαλθύνει,*
*'Ορθοῖ λογισμὸν πολλάκις τετραμμένον.*

### *ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ ΠΡΟΓΝΟΣΤΙΚΟΝ.*

*Νοσημάτων σημεῖα ταῦτ' ὀλεθρίων·*
*Ὄψις νεκρώδης, ὄμμα κοῖλον δακρύον,*
*Σφυγμῶν μικρὰ κίνησις ἀντωθουμένη,*
*Κλίσις καταρρέουσα τῆς κλίνης κάτω,*
*'Οξεῖα ῥίς, ἄνισος ὄψις ὀμμάτων,*
*Φεύγειν τὰ λαμπρά, ψηλαφᾶν τοῖς δακτύλοις.*
*Εὐσφυξία δὲ καὶ φρενῶν ἑτοιμότης,*
*Τἀναντία τε τῶν διηγορευμένων,*
*Σωτηρίας σημεῖα τῆς τοῦ κειμένου.*
. . . . . . . . . . . . . . .
. . . . . . . . . . . . . . .
*Νοσήματός σοι γνωριοῦσι τὸν χρόνον*
*Καὶ τὴν λύσιν μάλιστα τούτων καὶ κρίσιν.*
*Τῶν ἡμερῶν πέφυκεν ἐν νόσῳ κρίσις·*
*'Αλλ' αἱ μὲν εἰσάγουσιν ἀκριβῆ λύσιν,*
*Αἱ δὲ πλέον φέρουσιν εἰς τἀναντία.*
*Ἡ τρισκαιδεκάτη δὲ τούτων ἐν μέσῳ·*
*Πρώτη δ' ἀρίστη τῶν ἁπασῶν ἑβδόμη,*
*Καὶ δὴ μετ' αὐτὴν αὖθις ἡ δισεβδόμη·*
*Τίθει μετ' αὐτὴν ἐννάτην καὶ δεκάτην*

*Καὶ δισδεκάτην, καὶ μετ' αὐτὰς πλησίον*
*Πέμπτην· ἀρίθμει δ' ἑβδόμην πρὸς δεκάτην,*
*Αὖθις τετάρτην καὶ τρίτην κατωτέρω,*
*Ὀκτωκαιδεκάτην τε τούτων πλησίον,*
*Ἕκτην τ' ἐν ἀρχαῖς, ὀγδόην καὶ δεκάτην·*
*Δωδεκάτην τε καὶ πρὸς ἓξ τὴν δεκάτην,*
*Καὶ τὴν δεκάτην ἡμέραν πρὸς ἐννέα,*
*Κακὰς γίνωσκε, παντελῶς ὀλεθρίας.*
*Τῆς κρίσεως πρόγνωσις αὕτη τυγχάνει·*
*Τῆς εἰσβολῆς πρόληψις ἡ πρὸ τῆς τρίτης,*
*Διὰ τρίτης κίνησις ἀκριβεστάτη,*
*Ἡ τῶν περιττῶν πέψις, οὔρων, πτυσμάτων·*
*Τούτων μὲν οὖν μέλλουσαν εὑρήσεις κρίσιν·*
*Αὖθις δὲ τούτοις τήν γε νῦν τελουμένην,*
*Εἰ δυσφρονοῦντα τὸν νοσοῦντα προσβλέποις,*
*Ἀλγοῦντα τὸν τράχηλον ἢ τετραμμένον,*
*Αἱμορροοῦντα καὶ στροφούμενον κάτω.*
*Καὶ ῥὶς δ' ἐρυθρὰ καὶ κένωσις δακρύων,*
*Καὶ μαρμαρυγῆς ἀθρόα φαντασία,*
*Σημεῖα πάντα κρίσεως τελουμένης.*

*Σφυγμῶν γένη γίνωσκε τῶν πρώτων δέκα·*
*Ταχύν, βραδύν, σύμμετρον ὡς πρὸς τὸν χρόνον.*
*Οὗτος ἀριθμός ἐστι τῶν κινουμένων.*
*Ταχὺς μὲν οὖν πέφυκεν, ὃς βραχεῖ χρόνῳ*
*Διάστασιν δίεισι πλείω τοῦ χρόνου·*
*Βραδὺς δέ, ὅς, μακρῷ χρόνῳ ...... τρέχων,*
*Ἐλάττονας δίεισι τὰς διαστάσεις·*
*Ὁ σύμμετρος δ' ἕστηκεν εἰς ἄμφω μέσος.*
*Τὸ δεύτερον δὲ τῶν σφυγμῶν γένος τόδε.*
*Τρεῖς εἰσι πᾶσαι τῷ λόγῳ διαστάσεις·*
*Μῆκος, πλάτος, βάθος τε, σωμάτων λόγοι.*
*Ὡς κοῖλον οὖν τι σῶμα τὴν ἀρτηρίαν*
*Αἱ τρεῖς ἔχουσι τοῦ λόγου διαστάσεις·*
*Σκόπει γὰρ αὐτὸς ἐμφρόνως τοῖς δακτύλοις*
*Τὸ μῆκος αὐτὸ καὶ βάθος καὶ τὸ πλάτος·*
*Εἰ δὲ πλέον τὸ μῆκός ἐστι τοῦ μέτρου,*

Μακρὸν κάλει κίνημα τοῦ σφυγμοῦ τόδε·
Εἰ δ' αὖ γε πλεῖον φωράσειας τὸ πλάτος,
Πλατὺν διδάσκου σφυγμὸν ἀκριβεῖ λόγῳ·
Εἰ δὲ πρὸς ὕψος ἄλλεται σφύζον πλέον,
Ὑψηλὸν εἰπὲ τὸν κινούμενον φύσει.
Τἀναντία δὲ τῶν περάτων τυγχάνει
Τἀναντία πέρατα τῶν ἐναντίων,
Μικρός, στενός, ταπεινός, ὡς πρὸς τὰ τρία.
Τρίτον γένος πέφυκε τῶν σφυγμῶν πάλιν,
Ὅπερ πέφυκε τοῦ πόνου ζυγοστάτης.
Κλῆσις δὲ τούτου, σφοδρότης, ἀμυδρότης,
Καί τις μεταξὺ τῶν τόνων συμμετρία.
Σφοδρὸς μὲν οὖν πέφυκεν ὁ πλήττων βίᾳ
Τοὺς τῶν ἰητρῶν δακτύλους συνημμένους·
Ὁ δ' αὖ γε πλήττων τὴν ἀφὴν παρειμένως
Ἀμυδρός ἐστι προσφυῶς κεκλημένος·
Σύμμετρος, ὃς πέφυκε τοῖν δυοῖν μέσος.
Τὸ δεικνύον δὲ σύστασιν τῆς οὐσίας
Τοῦ σώματος κάλλιστα τῆς ἀρτηρίας,
Ἢ μαλθακὸν πέφυκεν, ἢ τούτων μέσον·
Εἰ σκληρόν ἐστι, σκληρὸς ὁ σφυγμὸς πέλει,
Εἰ μαλακόν, μαλακὸς ὠνομασμένος,
Εἰ σύμμετρον, σύμμετρος· οὐκ ἄλλως δ' ἔχει.
Γένος δὲ πέμπτον τῇ παρεκχύσει νόει
Τοῦ σώματος, βέλτιστε, τῆς ἀρτηρίας·
Ἡ κοιλότης γὰρ ἢ μένει πληρεστάτη,
Ἣν ἔγχυλον λέγουσι καὶ σεσαγμένην,
Ἢ τῶν ἰατρῶν τοὺς κρίνοντας δακτύλους
Κενεμβατοῦντας ταῖς ἀφαῖς δείκνυσί πως·
Ἀλλ' εἰ μέν ἐστιν ἔγχυλος, πλήρη κάλει,
Εἰ δ' ἔστιν ὥσπερ πομφόλυξ, κένην λέγε,
Τὸν δ' ἐν μέσῳ σύμμετρον, οὕτω γὰρ δέον,
Τὸν δ' αὖ γε δεικνύοντα τὴν τῆς καρδίας
Ἔνθερμον οὐσίωσιν ἕκτον μοι κάλει·
Ἢ γὰρ ψυχρὸς πέφυκεν, ἢ θερμὸς πλέον,
Ἢ ποιοτήτων συμμέτρως δυοῖν ἔχων.
Ὁ πυκνὸς ἠδ' ἀραιὸς ἕβδομον γένος·

*Κινουμένης γὰρ ὧδε τῆς ἀρτηρίας*
*Διπλῆν κίνησιν ἐξ ἐναντιωτάτων,*
*Διττὰς ἀνάγκη τὰς τάσεις πεφυκέναι·*
*Διασταλεῖσα καὶ γὰρ ἴσχει πως στάσιν,*
*Καὶ συσταλεῖσα δευτέραν ἡσυχίαν·*
*Ἀλλ', εἰ μὲν ἐμμείνειεν ἐν βραχεῖ χρόνῳ,*
*Σφυγμὸν κατεργάσαιτο πυκνὸν ἐκτόπως·*
*Εἰ δ' ἠρεμήσει τὸ πλέον τοῦ συμμέτρου,*
*Ἀραιός ἐστιν ὁ σφυγμὸς κεκλημένος.*
*Τὴν πυκνότητα τὴν ἀραιότητά τε*
*Μέσος διϊστᾷ συμμέτρως κεκλημένος.*
*Ὁ ῥυθμὸς αὖθις ἄλλο δείκνυσιν γένος·*
*Ἐστὶ δὲ ῥυθμὸς πρὸς χρόνον χρόνου κρίσις·*
*Χρόνος δὲ διττός ἐστι τῶν κινουμένων.*
*Τῶν ἡσυχαζόντων δὲ τούτων τὴν κρίσιν*
*Ῥυθμὸν κατωνόμασαν εὔρυθμοι λόγοι·*
*Ὁ συγκρίνων δὲ τὰς στάσεις ἀρτηρίας*
*Πρὸς τὰς κινήσεις, ἢ στάσεις πρὸς τὰς στάσεις,*
*Ἢ τὰς κινήσεις πρὸς κινήσεις ἐμμέτρως,*
*Γένος πέφυκε ῥυθμικὸν κεκλημένον.*
*Τοῦ δ' αὖ γε ῥυθμοῦ τὴν διαίρεσιν λάβε.*
*Τέμνουσι καὶ γὰρ τοῦτον ἀκριβεῖς λόγοι*
*Πρὸς μὲν τὸ κρεῖττον εἶδος εἰς εὐρυθμίαν,*
*Πρὸς δ' αὖ τὸ χεῖρον αὖθις εἰς ἀρυθμίαν.*
*Εὔρυθμον οὖν ἄρυθμόν τ', ὄγδοον γένος·*
*Ἔννατον ἄλλο δυσκολώτερον γένος,*
*Εἰς τοὺς ὁμαλούς, εἴς τε τοὺς ἀνωμάλους*
*Σφυγμοὺς πεπονθὸς τὴν τομὴν ἐκ τῆς τέχνης.*
*Ἄμφω δ' ἀνεύροις ἀκριβώσας τὴν τέχνην*
*Μιᾷ κινήσει καὶ πολλαῖς ἀρτηρίαις·*
*Ὁμαλὸς οὖν πέφυκεν ἐν πολλοῖς τόνος,*
*Ὃς τὰς κινήσεις τοῦ τόνου καὶ τοῦ τάχους,*
*Ἁπλῶς τε πάντων τῶν γενῶν ἐν τῷ μέρει,*
*Ἴσας φυλάττει μηδαμοῦ τετραμμένας·*
*Ἀνώμαλος δέ ἐστιν ἐξ ἐναντίου,*
*Ὁ μὴ φυλάττων τάξιν ἐν κινουμένοις·*
*Οὗπερ γένους πέφυκεν ἐκλελεγμένος*

*Εἶτ' αὖθις ἄλλος, ὃν παρεμπίπτοντά πως*
*Οἱ τῆς τέχνης λέγουσι προσφυεῖ λόγῳ.*
*Ὁ μὲν γάρ ἐστι προσδοκωμένου τόνου*
*Ἔλλειψις ἀπρόοπτος ὡς πρὸς τὴν φύσιν·*
*Ὁ δ' ἄλλος ἐστίν, εἰ παρεμπέσοι μέσος,*
*Ἀπροσδόκητος καὶ πρὸ τῆς ἡσυχίας·*
*Αἱ δὲ κινήσεις ὥσπερ ἐκ τῶν κλιμάκων*
*Πᾶσαι καταρρέουσιν εἰς τοὐναντίον·*
*Τοῦτον μυουρίζοντα τὸν σφυγμὸν κάλει.*
*Αὕτη μέν ἐστι τῶν ἀνωμάλων φύσις,*
*Σφυγμῶν πολλῶν σύστημα τυγχάνουσά πως·*
*Ἄλλη δέ τις πέφυκε ποικιλωτέρα,*
*Σφυγμὸν τὸν αὐτὸν δεικνύουσα ποικίλως·*
*Τέμνει γὰρ οὕτως τὴν διάστασιν λόγος.*
*Θοῦ σφυγμὸν ὁρμήσαντα συντομωτέρως,*
*Ἔπειθ' ὑφέντα τοῦ τόνου καὶ τοῦ τάχους,*
*Καὶ συσταλέντα πρὸς τὸ τέρμα τοῦ δρόμου,*
*Ἢ καὶ διαλλάξαντα πρὸς τοὐναντίον,*
*Αὖθις δέ μοι ποίκιλλε ταῦτα τῷ λόγῳ.*
*Ἡ γὰρ κίνησις ἡ παρεξηλλαγμένη*
*Ἄτμητός ἐστιν, ἢ πάλιν τετμημένη,*
*Καὶ τὴν τετμημένην δὲ τῷ λόγῳ τέμνε·*
*Ἢ γὰρ πάλιν πρόεισιν, ἢ τετραμμένη*
*Παλινδρομεῖ πως ὥσπερ ἀντωθουμένη·*
*Ἀλλ', εἰ μὲν ὡς ἄτμητος ἴσχει τὸν δρόμον*
*Τῆς ὠκύτητος καὶ βραδυτῆτος μέσως,*
*Ἀνισοταχὴς ἐστιν ὠνομασμένη·*
*Εἰ δ' ἠρεμοίη καὶ πάλιν διατρέχοι*
*Ἐκ βραδυτῆτος εἰς ταχύτητα πλέον,*
*Ἡ κλῆσις αὐτῷ δορκαλίζων τυγχάνει·*
*Παλινδρομῶν δὲ δίκροτος πέφυκέ πως.*
*Σφυγμῶν δὲ κλῆσίς ἐστι ποικιλωτέρα·*
*Ἡ κυματώδης, ἡ κατὰ σκώληκά τε,*
*Μύρμηκος ἄλλην κλῆσιν ἠμφιεσμένη,*
*Παλμῶδες ἄλλο μυριόκλονον γένος,*
*Ὁ δὲ κλονώδης, αὖθις ἄλλος ἐμπρίων,*
*Ὧν δύσκολός τις ἡ φύσις καὶ ποικίλη,*

Καὶ πρὸς τὰ μέτρα δυσκολωτέρα πλέον.
Δέκατον ἄλλο καὶ τελευταῖον γένος,
Ἀνωμάλου γέννημα τοῦ λελεγμένου,
Οὗ τὸν μὲν εἴποις τὸν σφυγμὸν τεταγμένον,
Τὸν ἄλλον αὖ ἄτακτον ἀκριβεῖ λόγῳ·
Ὁ μὲν γὰρ ἴσος πανταχοῦ, τεταγμένος,
Ὁ παντελῶς δ' ἄνισος ἠριθμημένος
Ἄτακτός ἐστι προσφυῶς κεκλημένος,
Ἀνωμάλῳ δ' ἄτακτος οὐ ταὐτὸν πέλει·
Ὁ γὰρ φυλάττων τάξιν εἰς ἀνωμάλους
Τεταγμένος πέφυκεν ἀντεστραμμένως.
Καὶ τῶν μὲν ἄλλων ὠνομασμένων ἄνω
Μέσος τίς ἐστι σύμμετρος κεκλημένος·
Τῶν ὁμαλῶν δὲ τῶν τε μὲν ἀνωμάλων,
Καὶ τῶν ἀτάκτων τῶν τε μὴν τεταγμένων,
Σφυγμός τις οὐ πέφυκεν οὐδόλως μέσος.

**Περὶ διαχωρημάτων.**

Ὀττεύεταί τις πρὸς τὸ μέλλον τῆς νόσου
Οὐ σφυγμικοῖς κρούμασιν, ἀλλὰ καὶ κόπροις,
Καὶ ποιότησι πτυσμάτων πολυχρόοις·
Οὔρων τε σημείωσις ἀρκεῖ πολλάκις
Δεῖξαι τὸ μέλλον, ὡς ὁ Πύθιος τρίπους.
Ἡ μὲν γὰρ ὑπόπυρρος ἐν χρόᾳ κόπρος
Τὴν σύστασιν δείκνυται μαλακωτάτην.
Καὶ μὴ λίαν δύσεσμος καὶ σεσημμένη
Σημεῖόν ἐστιν ἀσθενούσης γαστέρος
Τῆς κρείττονος δ' αὖ ἕξεως γνώρισμά τι.
Πυῤῥὰν δὲ δεινῶς ἐκκενωθεῖσαν κόπρον
Νόσου χολώδους σύμβολον σαφῶς ἔχε·
Χλωρὰ δὲ κόπρος τὴν ἰώδη δεικνύει,
Ἡ δ' αὖ μέλαινα τὴν μέλαιναν εἰκότως,
Ψύξιν πελιδνὴ καὶ νέκρωσιν τοῦ βάθους
Ἡ λιπαρὰ σύντηξιν, ἡ γλίσχρος πλέον.

**Περὶ οὔρων.**

Ἐντεῦθεν οὔρων ἄρξομαι γνωρισμάτων.
Ἄριστον οὖρον σύμμετρον τῇ συστάσει,
Λευκὴν ὁμαλὴν τὴν ὑπόστασιν φέρον,

*Συνημμένην μάλιστα, μὴ κεκομμένην,*
*Τὸ χρῶμα πυρρόν, ὑπόπυρρον ἐξ ἴσου,*
*Ξανθοῦ τε λάμπον ἀκριβῶς στιλβηδόνι.*
*Τῶν χρωμάτων δὲ τυγχανόντων ποικίλων,*
*Πρῶτον τὸ λευκόν εἶθ' ὕπωχρον τυγχάνει·*
*Μέσον δὲ τούτων, χρωμάτων πολὺ πλάτος·*
*Τὸ πρῶτον ὃ γράφουσιν εἰκότως γάλα,*
*Μορφὴν ἔχον γάλακτος ἠκριβωμένως·*
*Τὸ δεύτερον δὲ γλαυκόν ἐστι τὴν φύσιν·*
*Τὸ χαροπὸν δ' ἔπειτα τοῦ γλαυκοῦ κάτω*
*Μαλοῖς καμήλων προσφυῶς εἰκασμένον,*
*Ἢ προσφυές πως τοῖς ὀνυχίταις λίθοις·*
*Ἔπειθ' ὕπωχρον ὡς . . . . . δεδειγμένον,*
*Τὴν ὁμόβραστον εἰκονίζον χυμένην.*
*Βαφέν τε μᾶλλον ὠχρόν ἐστι τὴν χρόαν.*
*Τὸ δ' ὑπόπυρρον Κελτικοῖς χρυσοῖς ἴσον,*
*Τὸ δ' αὖ γε πυρρὸν ἀκριβῶς βεβαμμένον*
*Εὔροιτον ὄντως εἰκονίζον χρυσίον·*
*Κνίκῳ μὲν ὑπόξανθον ἐμφερὲς πέλει,*
*Τὸ ξανθὸν αὖθις εἰκονισμένον κρόκῳ·*
*Τὸ δ' ὑπέρυθρον φοινικοῦν πέφυκέ πως*
*Ἐξ ἰχωρώδους αἵματος βεβαμμένον·*
*Τὸ δ' αὖ ἐρυθρὸν αἵματος φαίνει χρόαν·*
*Τὸ δ' οἰνόχρουν τε πορφυρίζον αἵματι·*
*Τὸ κυανοῦν δ' ἔοικε τῷ σεσημμένῳ·*
*Μῖξις τὸ φαιὸν χρωμάτων ἐναντίων·*
*Τὸ χλωρὸν ὥσπερ ἡ ποάζουσα χλόη·*
*Τὸ δ' αὖ πελιδνὸν ὡς μόλυβδος τυγχάνει·*
*Ἐφ' οἷσπερ ἐστὶ τοῦ μέλανος ἡ χρόα.*
*Τοῦ σώματος δὲ τριπλεκοῦς πεφυκότος*
*Ἐκ πνευμάτων, ὑγρῶν τε καὶ στερεμνίων,*
*Πάλιν τριφυὴς τῶν στεγανῶν οὐσία*
*Ἐκ πιμελῶν, σαρκῶν τε καὶ τῶν ὀστέων,*
*Ἀφ' ὧν ἑκάστων ἡ σμύχουσα θερμότης*
*Οὖρον καθιστᾷ σύντομον καὶ ποικίλον·*
*Ἐκ πιμελῆς γὰρ ἐν βάθει τετηγμένης*
*Ὅμοιον ὡς ἔλαιον οὖρον ἐκτρέχει.*

*Αἱ ποικίλαι δὲ συστάσεις τε καὶ χρόαι*
*Καὶ ποικίλας ἔχουσι κλήσεις εἰκότως.*
*Τὸ πρῶτόν ἐστι προσφυῶς ἐλαιόχρουν,*
*Ἐλαιοφανὲς δεύτερον κεκλημένον,*
*Τὸ τρίτον εἰς ἔλαιον ἠκριβωμένον.*
*Εἰ χρῶμα δ' εἰσδέξεται συγκεκαυμένον,*
*Σπασμὸν προδηλοῖ καὶ τελευτὴν αὐτίκα·*
*Εἰ δ' ἐκ νεφρῶν πρόεισιν, ἀθρόον τρέχει.*
*Τὸ δ' αὖ πέταλον καὶ πίτυρον καὶ κρίμνον*
*Ὑποστάσεις λέγουσι τῶν στερεμνίων·*
*Τὸ μὲν γάρ ἐστιν ὡς λεπτῆς δεδειγμένον,*
*Πίτυρόν ἐστιν οὐσίας παχυτέρας.*
*Τὸ δ' αὖ γε κρίμνον ὡς τὸ σῶμα τοῦ σίτου*
*Ἐν τῷ μύλωνι συντριβέντος τῇ μύλῃ·*
*Σύντηξίς ἐστι τοῦτο τῶν στερεμνίων.*
*Σκόπει δ' ὅμως τὸ χρῶμα τοῦδε τοῦ κρίμνου·*
*Λευκὸν γὰρ ὂν πέφυκεν ἐκ τῶν ὀστέων·*
*Εἰ δ' αὖ ἐρυθρόν, αἵματος διεῤῥύη.*
*Οὔρων δὲ τὴν κάκοσμον ὄσφρησιν νόει.*
*Οὖρον κάκοσμον καὶ δακνῶδες ἐν νόσοις*
*Σεσημμένην δείκνυσιν . . . . . . . . . . .*
*Αὖθις δὲ λευκὸν ἐκρυὲν τετραμμένοις,*
*Ἔλυσε τούτοις τὴν σκοτισθεῖσαν φρένα.*
*Ἐν πυρετοῖς δὲ προδραμὸν τοῖς ὀξέσι*
*Μέλαν, δυσῶδες, θάνατον προμηνύει,*
*Εἰ μὴ προῆλθε κύστεως κακουμένης.*
*Αἱ δ' ὀροβώδεις χυμάτων ὑποστάσεις*
*Ἐκ σαρκικῆς ῥέουσι πάντως οὐσίας.*
*Οὔρου δὲ τριττῆς τυγχανούσης οὐσίας*
*(Τὸ μὲν γάρ ἐστι χρῶμα, δεύτερον χύμα,*
*Ὑπόστασις δὲ καὶ τελευταῖον· τρίτον,*
*Ἢ μᾶλλον εἰπεῖν τοῦ παρεγκεκραμένου,*
*Τριττὴ πέφυκε κλῆσις ἁρμόττουσά πως*
*Πρὸς τὴν θέσιν κάλλιστα καὶ τὸ χωρίον·*
*Ὑπόστασις γὰρ ἡ κάτω τεθειμένη·*
*Τὸ δ' αὖ μεταξὺ χύματος περιπλέον*
*Καλοῦσιν αἰώρημα προσφυεῖ λόγῳ·*

*Τὸ τὴν ἄνω χώραν δὲ προσφυῶς ἔχον*
*Νέφος καλοῦσιν, οἱ δὲ πολλοὶ νεφέλην),*
*Οὔρου δὲ τριττῆς τυγχανούσης οὐσίας,*
*Οὐ πάντα πᾶσι μίγνυται φύρδην ἅμα.*
*Λεπτὸν γὰρ οὖρον τὴν φύσιν καὶ λευκόχρουν*
*Ἄπεπτον οὐ δέξαιτο μῖξιν εἰκότως*
*Τοῦ νεφοειδοῦς σώματος τῆς οὐσίας.*
*Πῶς γὰρ συνέλθοι πέψις εἰς ἀπεψίαν;*
*Κἂν πυρρόν ἐστι, κἂν ὠχρόν, κἂν ξανθόχρουν,*
*Μένει δὲ λεπτόν, οὐ κραθείη τῷ νέφει.*

*Κείσθω δὲ ταῦτα μέχρι μοι τοῦ μετρίου.*
*Πολλὴ γάρ ἐστι μίξεων ποικιλία,*
*Ἐμοὶ δὲ γνώμη καὶ σκοπὸς τῶν ἐμμέτρων,*
*Μὴ πάντα πάντως συλλαβεῖν τὰ τῆς τέχνης,*
*Μικρὰν τεκεῖν ὄρεξιν ἀνδράσιν φίλοις*
*Γραμματικοῖς, ῥήτορσι καὶ φιλοσόφοις*
*Τῆς τῶν ἰατρῶν ἀκριβεστάτης τέχνης,*
*Ὅπως, ποθοῦντες τὰς χάριτας τοῦ μέτρου,*
*Σὺν τῷ μέτρῳ λάβωσι καὶ τὰ τῆς τέχνης.*
*Ἀρκοῦντες οὖν δὴ ταῦτα τῶν οὔρων ὅροι.*

*Τῶν πυρετῶν δὲ γνῶσιν ἐντεῦθεν λάβε.* ***Περὶ πυρετῶν.***
*Ὅρος πέφυκε πυρετοῦ τῆς οὐσίας,*
*Παρατραπεῖσα θερμότης τῶν σωμάτων*
*Ἐκ καρδίας ῥέουσα ταῖς ἀρτηρίαις,*
*Καὶ πρὸς τὸ πᾶν χυθεῖσα σώματος πέρας,*
*Καὶ τὰς ἐνέργους δυνάμεις τε καὶ φύσεις*
*Σαφῶς καταβλάπτουσα τῇ δεινῇ ζέσει.*
*Ἡ θερμότης δὲ ποιότης δεδειγμένη*
*Τὸ μᾶλλον εἰσδέξαιτο καὶ τοὐναντίον.*
*Ὡς οὐσίας δὲ τοῦ πυρετοῦ [κειμένης],*
*Διαιρέσεις διδοῦμεν ἀκριβῶς δύο·*
*Διαφορὰς μάλιστα ταύτας ῥητέον.*
*Ἄλλη μέν ἐστιν οὐσιώδης τῷ λόγῳ,*
*Ἐπουσιώδης ἀκριβῶς ἡ δευτέρα.*
*Τοῦ σώματος δὲ τριπλεκοῦς πεφυκότος*

Ἐκ πνευμάτων, ὑγρῶν τε καὶ στερεμνίων,
Ὁ μέν τίς ἐστι πυρετὸς τῶν πνευμάτων,
Ὑγρῶν τις ἄλλος, ἄλλος αὖ στερεμνίων.
Πρῶτον δὲ πάντων σκεπτέον τῷ τεχνίτῃ
Τὴν τῆς ὕλης ὕπαρξιν, ἥτις τυγχάνει·
Ψυχρά τίς ἐστι, καὶ παχεῖα τὴν φύσιν,
Ἢ ποιότητας τὰς ἐναντίας ἔχει;
Ἔπειτα τοῦτο δευτέρως τηρητέον·
Ἄσηπτός ἐστιν, ἢ πάλιν σεσημμένη;
Εἶτ' αὖθις ἄλλο μᾶλλον ἠκριβωτέον·
Ἐκτὸς πέφυκε τῶν φλεβῶν ἡ θερμότης,
Ἢ φλεψὶ χρῶτο μᾶλλον οἰκητηρίοις;
Οὐ πάντα καὶ γὰρ πάντα δρῶσι τῇ φύσει.
Ἔχει δ' ἕκτον τε τὸν κατάλληλον λόγον·
Τὸ προσφιλὲς γὰρ αἷμα καὶ τηροῦν φύσιν,
Ἄσηπτον ὄν, πλεῖστον δέ, καὶ φλεβῶν ἔσω,
Πληθωρικὴν δράσειε σώματος φύσιν.
Εἰ πυρετῶν ἄτμητον ἐν ζέσει γένος,
Ἐντυγχάνει δὲ τῇ φύσει σεσημμένον,
Ὕλης σαπείσης πυρετοὺς σοι δεικνύει·
Εἰ δ' εἰς ἓν ἐκρεύσειε σώματος μέρος,
Σαπὲν μέν, ἐργάσαιτο τὰς ἀποστάσεις
Ἃς φασιν ἀπόστημα τεχνικοὶ λόγοι·
Εἰ δ' οὐ σαπῇ, βλάστημα φοινικοῦν φύσει.
Τὸν αὐτὸν ἕξει καὶ χολὴ τούτοις τρόπον·
Εἰ μὲν γὰρ εἰς ἅπασαν οὐσίαν δράμοι
Εἰλικρινής, ἄσηπτος, ἴκτερον δράσει·
Σαπεῖσα δ' ἐργάσαιτο καῦσων' ἐν βάθει·
Ἐκτὸς δὲ τυγχάνουσα τῶν φλεβῶν πάλιν
Τριταῖον ἐργάσαιτο τὸν κεκομμένον·
Εἰ δ' ἐγχυθείη σώματος πρὸς ἓν μέρος,
Ἕρπητα μὲν πλάσειεν, οὐ σεσημμένη,
Σεσημμένη δ', ἕρπητα βιβρώσκοντά πως.
Χυμὸς δ' ὁ δεινὸς καὶ μελάγχρους τὴν φύσιν,
Εἰ πᾶν συνέξει, σῆψιν οὐ δεδεγμένος,
Μέλανα ποιήσειεν ἴκτερον φύσει,
Σεσημμένος δὲ τὴν τεταρταίαν ζέσιν

Ἄτμητον ἐντός, εἰ δὲ μή, τετμημένην.
Εἰ δ' αὖ ἐπεισφρήσειεν εἰς ἓν χωρίον,
Σκίρρον μὲν ἐργάσαιτο μὴ σεσημμένος·
Σεσημμένον δὲ πόλλ' ἐτέχθη θηρία,
Γάγγραινα, φαγέδαινα, πολλοὶ καρκῖνοι.
Τοῦ φλέγματος δὲ πολλαπλοῦ πεφυκότος
(Τὸ μὲν γὰρ ὡς ὕαλος αὐτὸς τυγχάνει,
Τὸ δ' ἁλυκὸν πέφυκεν, ὀξῶδες τρίτον,
Τὸ δὲ γλυκείας ποιότητός ἐστί πως),
Ὅπερ πέφυκεν ὡς ὕαλος τὴν φύσιν· .......
Τὸ δ' αὐτό σοι δράσειεν ὀξῶδες γένος,
Τὸ δ' ἁλυκόν τι πυρετοὺς καθ' ἡμέραν,
Ἀμφημερινοὺς προσφυῶς κεκλημένους·
Τὸ δὲ γλυκὺ προσηνές ἐστι τῇ φύσει.
Γνωρισμάτων δὲ πυρετῶν ἐφημέρων
Ἡ γνῶσις αὕτη· πέψις οὔρων αὐτίκα,
Τὸ θερμὸν ἡδύ, τοῦ νοσοῦντος ἡ φύσις
Οὐ δυσφόρως φέρουσα τὴν ἀρρωστίαν,
Ἀρτηρίαν κίνησις οὐ τονουμένη·
Θυμοὶ δὲ τούτων αἴτιοι καὶ φροντίδες,
Ἀγρυπνία τε καὶ κόπος καὶ ξηρότης,
Ἔγκαυσις, ἢ σύντασις, ἠδ' ἀσιτία.
Τῆς σήψεως δὲ πυρετοὺς τοὺς ἐκγόνους
Ἐξεικονίζει ξηρότης καὶ θερμότης,
Δεινή, δριμεῖα, καὶ καπνώδης ἐσχάτως,
Μικροῦ κατεσθίουσα καὶ τοὺς δακτύλους,
Οὔρων ἔπειτα συμφυὴς ἀπεψία.
Τῶν δὲ τριταίων κήρυκές σοι μυρίοι·
Ῥῖγος κλονῶδες, δίψος ἀκριβῶς φλέγον,
Ζέσις πυρίπνους, εἶτά πως ἡττωμένη,
Ἱδρὼς ἕτοιμος, εἰ ποτῷ χρήσαιό μοι,
Γαστρὸς τάραξις καὶ χολῆς ἀποβλύσεις,
Ὡρῶν δυοκαίδεκα τῇ ζέσει χρόνος.
Σημεῖα δ' ἄλλα τοῦ τεταρταίου τρόμου·
Ψύξις τὸ πρῶτον, ἀσθενής τε θερμότης,
Οὖρόν τε λεπτόν, ὑδατῶδες, λευκόχρουν,
Σφυγμοί τ' ἀραιοὶ καὶ μέγιστοι πολλάκις.

Ὁ δ' αὖ βαρύνων τὴν φύσιν καθ' ἡμέραν
Ἀμφημερινός ἐστιν ἠκριβωμένος,
Οὗ πρῶτόν ἐστιν ἀκριβὲς γνώρισμά τι,
Ψύξις δυσεκθέρμαντος, οὐ πολλὴ ζέοις,
Αὖθις κένωσις φλέγματος παχυτάτου,
Χροία τις ὠχρόλευκος, οὔρων λεπτότης,
Ἐρυθρότης τε πολλάκις καὶ παχύτης.
Ὁ δ' ἠπίαλος συνθέτως κεκλημένος
Ἀμφημερινῷ σύγγονός πως τυγχάνει,
Ἐξ ὑαλώδους πνεύματος τεταγμένος,
Οὐ μὴ σαπέντος, ἐνσαρέντος δ' εἰς ἅπαν,
Ῥίγους ἀνεκθέρμαντον ἀνθήσει φύσιν·
Ἐξ ἡμίσειας δ' εἰ σαπῇ τῇ διπλόη,
Καὶ διπλόην ἔφυγεν ἀρρωστημάτων.
Ὧι μὲν γὰρ οὐ σέσηπεν ἐμβαλεῖ ῥίγος,
Ὧι δ' ἐτράπη δράσειε θερμότητά πως.
Οἱ μὴ τετμημένοι δὲ τοῖς τετμημένοις
Ὁμοιοτήτων τυγχάνουσι πλειόνων.
Μία γὰρ αὐτοῖς φύσεως ἀνισότης,
Τὸ μὴ τελευτᾶν εἰς ἀθέρμαντον τέλος.
Καύσου δὲ συμπτώματα ταῦτα τυγχάνει·
Δῆξις στομάχου, δίψα συντεταμένη,
Μέλαινα γλῶσσα, προσφυὴς ἀγρυπνία,
Παρεκτροπή τε τοῦ φρονοῦντος πολλάκις·
Τῶν ἑκτικῶν δὲ τοὺς φθάσαντας ἐν τέλει
Εἰς τὸν μαρασμὸν ὧδε θηράσαιό μοι·
Πολλαὶ γὰρ αὐτοὺς δεικνύουσιν εἰκόνες·
Τὰ πρῶτα . . . . . . . . . . . . . . . .
Ξηραί . . . . . . . . . . . . . . . . . .
Ξηρὸν μέτωπον καὶ μύσις τῶν βλεφάρων,
Σφυγμοί τε πυκνοί, δέρματός τε ξηρότης,
Καὶ ζωτικοῦ στέρησις ἄνθους σωμάτων.
Ἀμφημερινὸς δ' εἰ τριταίῳ συνδράμοι,
Ἄτμητος, ὡς ἔοικε τῷ τετμημένῳ,
Ἡμιτριταίου συμπλάσειεν οὐσίαν.
Οὗτος δὲ διπλοῦς ἐστιν, ἢ κατὰ κρᾶσιν,
Ἢ τοῖς πέρασι τῶν δυοῖν μεμιγμένος·

*Ἀλλ' εἰ μὲν ἴσοι συνδράμωσιν οἱ δύο,*
*Φρίκην ἀπειργάσαντο τὴν καλουμένην,*
*Μέσως ἔχουσαν ψύξεώς τε καὶ κλόνου·*
*Τοῦ δραστικωτέρου δὲ τῶν συγκειμένων,*
*Ἴδοις ἐναργεῖς καὶ πλέον τὰς δυνάμεις.*

*Πάθη δὲ λοιμοῦ δεινά πως καὶ ποικίλα.*
*Παρεκτροπαὶ νοῦ καὶ χολῆς ἀποβλύσεις,*
*Τῶν ὑποχονδρίων τάσεις τε καὶ πόνοι,*
*Ψύξις, ἱδρῶτες, καὶ διάρροια πλέον,*
*Οὖρον χολῶδες, θώρακος σφοδρὰ ζέσις,*
*Δίψα δριμεῖα, γλῶσσα συμπεφρυγμένη.*

*Τῆς συγκοπῆς δ' αὖ αἴτια ταῦτα φρόνει.*
*Ἀγρυπνίαν, κένωσιν, ἄλγημα τρύχον.*

*Σύντηξίς ἐστι τῆς καθ' ἡμᾶς οὐσίας*
*Φθορὰ πρόδηλος γαστρόθεν κενουμένη,*
*Ὀρέξεως ἔκπτωσις ἐκ διττοῦ πάθους,*
*Χυμῶν πονηρῶν, κράσεώς τε δυσκράτου.*

*Ὁ βούλιμος δὲ παντελὴς ἀσιτία·*
*Ἡ δ' αὖ κυνώδης τῆς ὀρέξεως τάσις*
*Ἐκ φλέγματος μέν ἐστιν ὀξώδους φύσει·*
*Τοῦ δ' ἐσθίειν πέφυκε πῦρ ἀπληστίας.*

*Ἡ ναυτία πέφυκε γαστέρος κλύδων,*
*Χυμῶν πονηρῶν ὧδε συμπεπλεγμένων.*

*Τὸν λυγμὸν ἢ κένωσις αὔξει γαστέρος,*
*Ἢ μᾶλλον ἡ πλήρωσις ἀντεστραμμένως.*

*Τοῦ λειποθυμεῖν καὶ κένωσις αἰτία,*
*Καὶ πῦρ φλογίζον ἐμφύλως τὴν καρδίαν.*

*Ἄλγος κεφαλῆς, φλεγμονὴ τῶν ἐγκάτων,*
*Παρατροπή τε τῶν φρενῶν τεταμένη.*

*Ἐκ ξηρότητος τὴν φαλάκρωσιν φρόνει.*
*Τὰ τοῦ γένους τίθει δὲ πλὴν τῶν σχημάτων,*
*Ἀλωπεκίτας, ὀφεωνύμους τύπους.*

*Ἡ πιτυρώδης τῆς κεφαλῆς οὐσία*
*Χολῆς δριμείας, αἵματος μελαγχόλου,*
*Καὶ φλεγμάτων αὖ ἁλμυρῶν γέννημά τι.*

*Ἀχὼρ κεφαλῆς δέρματος γλίσχρον πάθος,*
*Τιτρῶν τὸ δέρμα, τοῖς μελιττῶν κηρίοις*
*Ἐοικὸς εἰς τύπωσιν ἀκριβεστάτην·*
*Γεννᾷ δὲ τοῦτο φλέγμα νιτρῶδες μόνον.*

*Ὅταν ἴδῃς βλάστημα πυρρόν, στρογγύλον,*
*Ἑλκῶδες, ὑπόσκληρον, ἀλγύνον φύσιν,*
*Σῦκον τὸ βλαστὸν ὡς φερώνυμον κάλει.*

*Ἄλγος κεφαλῆς, δύσφορον σύμπτωμά τι.*
*Γεννᾷ δὲ τοῦτο δύσκρατός τις ποιότης*
*Χυμῶν τε πλῆθος, καὶ δυοῖν συζυγία,*
*Ἔγκαυσις αὖθις, ψύξις, ἀλλὰ καὶ μέθη,*
*Ἡ θερμότης, μᾶλλον δὲ πληγὴ καιρία·*
*Ἡ ξηρότης δ' ἔλαττον ἀλγύνει κάρην.*
*Ἀνώδυνον δὲ τὴν ὑγρὰν γίνωσκέ μοι.*
*Τῶν αἰτίων δὲ τὰς ἀδήλους οὐσίας*
*Καὶ δέρμα δηλοῖ καὶ βολὴ τῶν ὀμμάτων.*
*Πάθος κεφαλῆς τὴν κεφαλαίαν νόει,*
*Τὴν ἡμικρανίαν τε τοιοῦτον φρόνει·*
*Παραίτιοι γὰρ ἐμμόνων ἀλγημάτων,*
*Ἡ μὲν τὸ πᾶν πλήττουσα δεινῶς κρανίον,*
*Ἡ δ' ἐκ μέρους τύπτουσα πληγαῖς καιρίαις.*
*Αὔξει δὲ τούτων τῶν παθῶν τὴν οὐσίαν*
*Οἶνος πολύς, κραυγή τε καὶ σφοδρὸς ψόφος,*
*Καὶ λαμπρότητες φωτοειδεῖς πολλάκις.*
*Ἄλλοις μὲν ἔνδον τῆς κεφαλῆς ἡ πάθη.*
*Ἀλγοῦσι τούτοις αἱ βάσεις τῶν δηγμάτων·*
*Οἷς δ' ἐκτός ἐστι τοῦ πάθους ἡ σφοδρότης,*
*Τούτοις δυσαλθὲς γίνεται τὸ κρανίον.*

Ἡ δὲ φρενῖτις φλεγμονὴ κεκρυμμένη
Μήνιγγας ἐκκαίουσα τοὺς πεφλεγμένους
Ἢ καὶ τὸν ἐγκέφαλον ἀρρήτῳ πάθει·
Γεννᾷ δὲ ταύτην αἷμα πλεῖστον πολλάκις,
Χολή τε δίχρους, ἢ μέλαινα τὸ πλέον,
Μετατραπείσης ὧδε τῆς ξανθοχρόου·
Καὶ τῶν φρενῶν δὲ τῷ πάθει βεβλημένων,
Πέπονθεν ἐγκέφαλος ὡσαύτως ἄνω·
Ἐκ τῶν ἄνω γὰρ τῆς κάρας ἀκροστέγων
Νεύρων κάτεισιν εἰς φρένας συζυγία,
Δι' ὧν κεκοινώνηκε τοῦ σφοδροῦ πάθους
Ἡ τῆς κεφαλῆς συμπαθής πως οὐσία.
Δηλοῖ δὲ ταύτην συμφυὴς ἀγρυπνία
Λήθη τε πάντων, ὄμμα πλῆθον αἱμάτων,
Γλῶσσα τραχεῖα, καὶ βοὴ πεφυρμένη,
Καὶ ψηλάφησις δακτύλων ἄνευ λόγου,
Ἀναπνοῆς κίνησις ἠραιωμένη,
Σφυγμοί τ' ἀμυδροὶ καὶ μικροί, σκληροὶ πλέον.

Τὴν ἐρυσιπέλατον ἔμφυτον φλόγα
Οὐδ' ἐγκέφαλος ἐκδιδάσκει πολλάκις·
Καὶ γνωρίσαις ἄδηλον οἷς ὁρᾷς πάθος,
Ἄλγει κεφαλῆς, λαμπροτήτων ἐμφάσει,
Ὑγρῷ προσώπῳ καὶ ψυχρῷ δεδειγμένον.

Λογιστικοῦ πάθημα λήθαργον φρόνει,
Ἐκ φλέγματος γέννησιν οὐσίαν τ' ἔχον.
Ληθαργικὰ δὲ ταῦτα σημεῖα φρόνει,
Ὕπνον πολύν, χάσμην τε, πνεύματος τάσιν,
Τὴν τῶν περιττῶν ἐκκένωσιν ποικίλην,
Σφυγμοὺς κλονώδεις, καὶ τρόμους τῶν σωμάτων.

Ἡ κατοχὴ πάθος τι δεινὸν τῇ φύσει,
Πλήρωσις οὖσα τῶν φρενῶν τοῦ χωρίου,
Νέκρωσις αὐτόχρημα τοῦ πεπονθότος·
Κεῖται γὰρ οὗτος ὕπτιος τεταμένος,
Ἔχων τε τὸ βλέφαρον ἠνεωγμένον,

*Μὴ σκαρδαμύττον ὥσπερ ἐκπεπληγμένον,*
*Σφύζον ἀμυδρῶς, ἀσθενῶς, παρειμένως.*
*Ἔστι δὲ τοῖς πάσχουσι διπλοῦς τις λόγος·*
*Ἢ φλέγματος γὰρ ἰσχύσαντος τὸ πλέον,*
*Ἢ τῆς χολῆς, πέπονθε τούτοις ἡ φύσις·*
*Διαιρέσεις δ' ἴσχουσα πρὸς τὴν φρενίτιν*
*Καὶ τὸν βαρὺν λήθαργον· εἰ γὰρ καὶ μέσως*
*Ἔχουσιν ἄμφω, πλὴν διαιροῦνται πάλιν.*
*Ἄλλοι δέ φασι μὴ διπλοῦν τὴν οὐσίαν,*
*Ἁπλῆν δ' ὑπάρχειν τοῦ λελεγμένου πάθους·*
*Ξηρὰ γὰρ ὕλη τὰς ὀπισθίους πύλας,*
*Ἃς κοιλίας λέγουσι τεχνικοὶ λόγοι,*
*Φράττουσα πυκνῶς τῆς ὑπερθύρου κάρας,*
*Τὴν κατοχὴν ἤνεγκεν οὐ ψευδωνύμως.*
*Ὁ γὰρ πεπονθὼς καὶ κατασχεθεὶς ἄφνω,*
*Ὡς ἦν κρατηθεὶς σχήματός τε καὶ τύπου,*
*Μένει κατ' αὐτό, μὴ λυθέντος τοῦ πάθους.*

*Τάφος δὲ μνήμης δύσκρατός τις ὑγρότης·*
*Μωρώσεως δὲ καὶ κάρου καὶ ψυχρότης,*
*Τῶν ἐγκεφάλου κοιλιῶν πεφραγμένων.*
*Ἡ δὲ σκότωσις καὶ δίνη καλουμένη*
*Στροφή τίς ἐστι τῆς κεφαλῆς πνευμάτων*
*Καὶ κοιλιῶν σύντριμμα τῶν ἐμπροσθίων.*

*Τὴν ἐπιληψίαν δὲ τοιαύτην μάθε.*
*Τοῦ σώματος πέφυκεν ἀθρόον κλόνος.*
*Σπασμός, πάθους σύμπτωμα δεινὸν ἐκτόπως,*
*Τὰς κρείττονας βλάπτουσα πάσας δυνάμεις.*
*Διττὴν δὲ τούτου τοῦ πάθους τὴν οὐσίαν*
*Ἰατρικοὶ λέγουσιν ἔντεχνοι λόγοι,*
*Ἢ φλέγμα δεινόν, ἢ χολὴν μελαντέραν*
*Τὸν ἐγκέφαλον, τὰς ἐν αὐτῷ κοιλίας,*
*Πιλοῦσαν ἢ φράττουσαν ἐμφύτῳ βάρει.*
*Θώραξ τε πάσχων, πολλάκις καὶ κοιλία,*
*Καὶ χεὶρ κακῶς ἔχουσα, καὶ μήτρα πλέον,*
*Κύτος τε γαστρός, χεῖρες αὖθις καὶ πόδες,*

*Καὶ δάκτυλός τις, ἢ μέρος τῶν δακτύλων,*
*Τὸ δεινὸν εἰργάσαντο τοῦ κακοῦ πάθους,*
*Ψυχρᾶς ἀναβλύσαντος αὔρας ἐκ βάθους*
*Καὶ τὴν κάραν πλήξαντος ἰώδει βέλει.*
*Γνώσῃ δὲ τοῦτο καὶ προγνώσῃ πανσόφως,*
*Δυσθυμίαν ἄγνωστον εἴς τινα βλέπων*
*Ψυχῆς τε δεινὴν ἀπροαιρέτως τάσιν,*
*Ὠχρὸν πρόσωπον, γλῶτταν ἡνίας ἄνευ,*
*Ὕπνον ταράκτην, συμφορὰς ὀνειράτων.*
*Κἂν μὴ πρὸς αὐτὰ φαρμάκοις χρήσαιό μοι,*
*Ἴδοις ἂν αὐτὴν τὴν σκότωσιν αὐτίκα.*

*Μελάγχολον δὲ καὶ μανιῶδες πάθος*
*Παρατροπὴ πέφυκε πυρετοῦ δίχα,*
*Ἢ τῆς κεφαλῆς συμπαθῶς κλονουμένης,*
*Ἢ συμπαθούσης τοῖς πεπονθόσιν τόποις·*
*Ἢ τοῦ στομάχου τῷ πάθει βεβλημένου,*
*Τῶν ὑποχονδρίων τε συμπεπονθότων,*
*Ἀνερρύη κάτωθεν αὔρα πικρίας*
*Τὸν ἐγκέφαλον συνθολοῦσα ποικίλως.*
*Σημεῖα τούτω, δειλία, δυσθυμία,*
*Γέλως ἄτακτος, εἶτα πένθος ἀθρόον,*
*Ἀπεψία, κίνησις ὀξυρεγμίας,*
*Προγνώσεως οἴησις, ἔμφοβος τρόμος,*
*Πάθη πολυστένακτα, μισανθρωπία.*
*Ἐνθουσιασμός, συμφορῶν ἀνατλάσεις.*

*Δεινὸν πάθος πέφυκεν ὁ πνιγαλίων,*
*Ὃν ἐφιάλτην ὠνόμασαν οἱ πάλαι.*
*Ἐφάλλεται γὰρ ἐξ ἀπέπτου γαστέρος*
*Εἰς τὴν κεφαλὴν οἷα καπνώδης φύσις.*
*Νυκτὸς δὲ μᾶλλον γίνεταί πως ἡ πάθη.*
*Καὶ συμπεσόντος ἐξαπίνης τοῦ πάθους*
*Ναρκῶν ὁ πάσχων δείκνυται νάρκην ξένην.*
*Νοῶν γὰρ ὡς πέπονθεν, οὐ σθένει λέγειν,*
*Ἀλλ' οἴεται μὲν καὶ κινεῖσθαι καὶ λέγειν,*
*Μένει δὲ ναρκῶν τῇ κλίνῃ βεβλημένος·*

Δοκεῖ δὲ καὶ βάσταγμα δύσφορον φέρειν,
Φαντάζεται δὲ τοῦτο πολλάκις βλέπειν,
Ὁρᾷ δὲ μηδὲν ὧν δοκεῖ σάφ' εἰδέναι.
Κἂν μή τις ἰάσαιτο τοῦτον φαρμάκῳ,
Δεινῇ πεσεῖται συμφορᾷ νοσήματος.

Μελάγχολόν τι πρᾶγμα λυκανθρωπία.
Ἔστι γὰρ αὐτόχρημα μισανθρωπία.
Καὶ γνωριεῖς ἄνθρωπον εἰσπεπτωκότα,
Ὁρῶν περιτρέχοντα νυκτὸς τοὺς τάφους,
Ὠχρόν, κατηφῆ, ξηρόν, ἠμελημένον.

Τὴν ἀποπληξίαν δὲ χείρονα φρόνει
Παθῶν ἁπάντων, ὡς νεκροῦσαν αὐτίκα.
Ἔμφραξις αὕτη καὶ πίλησις ἀθρόα
Τῶν ἐγκεφάλου κοιλιῶν τῶν μειζόνων,
Ὧν ἐμφραγεισῶν πᾶσα σώματος φύσις
Αἰσθήσεως ἄμοιρός ἐστιν αὐτίκα.
Μέρους δ' ἐν αὐτῷ τὴν πάθην δεδεγμένου,
Ἐξ ἡμισείας τοῖς παθοῦσιν ἡ βλάβη.
Τοῦ δ' αὖ γε νώτου τὸ βλάβος πεπονθότος,
Τὰ τοῦ προσώπου συμβλαβήσεται κάτω.
Ὁ δ' ἐγκέφαλος τὴν κάκωσιν εἰ πάθοι,
Μυῶν ῥαχιτῶν συντεθέντων ἀθρόον
Τετανικὸν πάθημα τὴν τάσιν λέγε.
Ψυχροῦ χυμοῦ γέννημα δ' ἐστὶν ἡ πάθη.
Ἀλλ' εἰ μὲν εἰς τοὔπροσθέν ἐστιν ἡ τάσις,
Ἐμπρόσθιον λέγουσι τὴν βλάβην τόνον,
Ὀπίσθιον δ' αὖ, εἴπερ ἦν ὀπισθία·
Ἰσόρροπος γὰρ εἴπερ ἐστὶν ἡ βλάβη,
Ἀσύνθετος τέτανος ἐστὶν ἡ νόσος.

Τρόμον κατεργάσαιτο καὶ ψυχρὰ πόσις,
Καὶ γῆρας αὐτό, καὶ ψυχρὰ δυσκρασία,
Χυμός τε γλίσχρος, καὶ φόβος, καὶ ψυχρότης.

*Ἡ μὲν τάραξις ὑγρότης τῶν ὀμμάτων*
*Καὶ θερμότης σύμμικτος ἔκ τινος πάθους*
*Ἔξωθεν εἰσρέοντος εἰς τὴν οὐσίαν·*
*Ὀφθαλμία γὰρ ἡ τάραξις τυγχάνει.*
*Χήμων δέ ἐστι τῶν βλεφάρων ἡ τάσις,*
*Ὡς μὴ καλύπτειν τοὺς κύκλους τῶν ὀμμάτων.*
*Τὸ τῶν φλεβῶν δὲ ῥῆμα τοῦ προσκειμένου*
*Πέφυκεν ὑπόσφαγμα, πληγῶν ὃν τόκος.*
*Τὸ δ' ἐμφύσημα τῶν βλεφάρων οὐσίας*
*Ὀγκωσίς ἐστιν· ἡ δὲ ψωροφθαλμία*
*Κνησμός τις ἡδὺς ἐκ νίτρων καὶ φλεγμάτων·*
*Ἡ σκληροφθαλμία δὲ δυσκινησία,*
*Ὑγρασίας ἄνευθεν αὐτῶν ὀφθαλμῶν·*
*Ἡ ξηροφθαλμία δὲ κνησμώδης πόνος.*
*Τὸ δ' ἐκτρόπιον ὄγκος ἐστὶ σαρκίου,*
*Ἐπηρεάζον τοῦ βλεφάρου τὴν φύσιν·*
*Τὸ δὲ τράχωμα τοῦ βλεφάρου τραχύτης·*
*Σύκωσις, ἡ σύντασις αὐτοῦ τοῦ πάθους·*
*Τύφλωσις, ἡ μάλιστα τοῦ κακοῦ τάσις.*
*Χαλάζιον δέ ἐστιν ὑγροῦ τις τάσις*
*Ἐν τῷ βλεφάρῳ συμπαγέντος ἀθρόον·*
*Ἡ δὲ κριθή, πρόμηκες ἐν ταρσῷ πάθος.*
*Τὸ τῶν τριχῶν ψίλωμα τῶν βλεφαρίδων*
*Μίλφωσιν ὠνόμασαν ἔντεχνοι λόγοι·*
*Ἐγκανθίς ἐστι κανθὸς ἐξωγκωμένος·*
*Ῥυὰς δέ γ' ἡ μείωσις αὐτῶν τυγχάνει.*
*Πρόπτωσις, ἐξόγκωσις ἔκ τινος πάθους*
*Τοῦ ῥαγοειδοῦς ὑμένος κεκλημένου·*
*Πλὴν τὴν μικρὰν μὲν μυοκέφαλον λέγε,*
*Τὴν δ' αὖ γε μείζω σταφύλωμά μοι κάλει,*
*Ἔπειτα μῆλον· ἧλός ἐστιν ἐσχάτη.*
*Ἧλον δὲ καὶ λεύκωμα ταὐτόν μοι φρόνει.*
*Ἡ δὲ πτέρυξ πέφυκε νευρῶδες πάθος,*
*Ὄγκωσις αὐτοῦ τοῦ γε προσπεφυκότος·*
*Τὸ καρκίνωμα τοῦ κέρως δεινὴ νόσος.*
*Ἡ δ' ἀνθράκωσις τῆς βλεφαρίδος πάθος.*
*Ἡ μυδρίασις ὑγρότητος ἐκγόνη,*

Αὐτῆς κορῆς πάθημα πεπλατυσμένης,
Ὥσπερ πέφυκεν ἡ φθίσις στενουμένης.
Ὁ νυκτάλωψ, σκότωμα, δύντος ἡλίου.
Γλαύκωμα δεινὸν ἠδ' ἀνίατον πάθος,
Ὑγροῦ τις ἀλλοίωσις ἐν τῷ κρυστάλλῳ,
Μετάστασίς τε πρὸς τὸ γλαυκὸν τῆς χρόας.
Τὸ δ' ὑπόχυμα, τοῦ κέρως καὶ κρυστάλλου
Ὑγρὰ μεταξὺ σύστασις κεχυμένη.
Μικρὰν ζόφωσιν τὴν ἀμαύρωσιν φρόνει,
Τὴν ἀμβλυωπίαν δὲ σύγχυσιν θέας.
Ὁ δὲ στραβισμὸς τῶν κινούντων σωμάτων
Σπασμός τίς ἐστι καὶ μυῶν λοξὴ τάσις·
Εἰ σπέρματος πέφυκεν ἔμφυτον πάθος,
Εἰ δ' ἐκ χολώδους οὐσίας ἀναρρόπου
Τὰς συστάσεις εἴληφεν, ἰασαιό πως.

Παρωτίς ἐστι τῶν παρ' ὠσὶν ἀδένων
Ὄγκωσις, ἢ σύρροια χυμῶν πλειόνων,
Ὕλης ῥυείσης ἐκ κεφαλῆς ἀθρόας.

Μόγκωσίς ἐστιν ἐμφραγέντων ἀθρόον
Τῶν ἰσθμοειδῶν ὀστέων ἐκ φλεγμάτων·
Φάρυγξ πεπονθὼς τοὺς ἐσωτέρους μύας
Ποιεῖ συνάγχην, εἰ δὲ τὰς ἔξω γνάθους,
Παρασυνάγχην προσφυῶς κεκλημένην.
Λάρυγξ τε πάσχων τοὺς ἐσωτέρους μύας
Ποιεῖ κυνάγχην προσφυῶς κεκλημένην,
Παρακυνάγχην ὥσπερ ἠλαττωμένην.

Βὴξ καὶ κόρυζα καὶ κατάρρους τὰ τρία
Ὕλης μιᾶς γέννημα δυσφορωτάτης·
Γεννᾷ γὰρ αὐτὰ τῆς κεφαλῆς ὑγρότης.
Ἀλλ' εἰ μὲν εἰς μυκτῆρας ἡ ῥύσις φθάσοι,
Κόρυζαν ἐργάσαιτο τοῦ μέρους πάθος·
Εἰ δ' ἄχρι τοῦ φάρυγγος αὕτη προσδράμοι,
Ποιεῖ κατάρρουν· εἰ δὲ συρρεύσει κάτω,
Τὴν βῆχα γεννᾷ τὴν κακήν, τὴν βυθίαν.

Τίκτει δὲ ταύτην καὶ ψυχρὰ δυσκρασία,
Θερμή τις αὖθις, πυρετοῦ πεφυκότος,
Πνεύμων τε πάσχων καὶ φθίσις καὶ πλευρῖτις.

Ἀσθματικός τις, εἰ πυκνῶς ἀναπνέει·
Εἰ δ' ὀρθὸς ἑστώς, ὀρθόπνους ἐκ τοῦ πάθους.
Ὕλη δὲ τούτων τῶν δυοῖν παθημάτων
Ὕλη παχεῖα, γλίσχρος, ἰξώδης φύσει,
Τοῦ πνεύματος φράττουσα δεινῶς τοὺς πόρους.
Πάθος τι δεινὸν ἡ περιπνευμονία,
Τῆς σπογγοειδοῦς φλεγμονή τις οὐσίας,
Ἢ τῶν κατάρρων ἔγγονος δεδειγμένη,
Ἢ πρῶτον ἐμφανεῖσα συμφύτῳ πάθει.
Δύσπνοιά σοι κάτοπτρον ἔσται τοῦ πάθους,
Στήθους τε ῥεγμός, καὶ γνάθων ἐρυθρότης,
Τῶν ὀμμάτων ὄγκωσις, ἔμπυρος ζέσις,
Ἡ τῶν χιτώνων λιπαρὰ θεωρία.
Φλεβὸς ῥαγείσης, αἵματος βλύζει φύσις,
Καὶ συσσαπείσης ἧττον αἷμα συρρέει,
Βεβρωμένης δ' ἔλαττον, ἀλλ' οὐδ' ἀθρόον,
Πλεῖστον δὲ πλῆθος τῆς ἀναστομωμένης,
Ἣ μηδὲν ἀλγύνουσα λύσει τὸ πλέον·
Αἱμορροΐδες καὶ στάσεις καθαρσίων,
Ἀλλ' οὐδὲ ῥῆξις συμφορῶν παραιτία·
Μόνην δὲ δεινὴν τὴν ἀνάβασιν νόει.
Ἀλλ' εἰ μὲν ἐκ φάρυγγος αἷμ' ἀπορρέοι
Τῶν τοῦ στομάχου χωρίων ἀναρρέει·
Σὺν βηχὶ δ' ἐκβλύσειεν ὧν τις ἐκπνέει.
Ἀλλ' εἰ μὲν ἀφρῷ προσφερὴς πως τυγχάνει
Νόθου τε λευκοῦ χρωματίζει τὸ χρῶμα
Ἀνωδύνως τ' ἄνεισι θλίψεως ἄνευ,
Ἐκ πνεύμονος ῥεῖ, καὶ κτενεῖ πεπονθότας·
Εἰ δ' ὡς ὑποχρέμπτοιτό τις τὴν οὐσίαν,
Ἐκ τῆς τραχείας ἔστ' ὁ ῥοῦς ἀρτηρίας.
Εἰ δ' αὖ μελάγχρους αἱμόπτυστος ἡ χύσις,
Ἐκ θώρακος πρόεισι θρομβωδεστέρα.
Ἡ δ' ἐμπύησις θωράκων ἡλκωμένων

Ἐξ αἵματος πέφυκε, πλὴν ἀναρρόπου.
Τὸ σπογγοειδὲς δ' εἰ βλύσειε πνευμόνων,
Φθίσις τὸ συμβάν, μὴ μύονιος τοῦ πάθους·
Ἡ πλευρίτις δὲ φλεγμονή τε καὶ ζέσις
Τῆς ζωννυούσης ὑμενώδους οὐσίας
Πλευρὰς ἁπάσας ζέματος λεπτοῦ τάσει,
Ἧι συμβέβηκε βὴξ τε καὶ σύμπνοιά πως,
Καὶ κλειδὸς ἄχρι συντεταμένος πόνος.
Διακρινεῖς δὲ τὴν ἀληθῆ πλευρίτιν
Τῆς ἡπατώδους φλεγμονῆς διττῷ πάθει·
Ἡ μὲν γὰρ ἴσχει νυγματώδη τὸν πόνον,
Καὶ βῆχα διττήν, πῆ μὲν ἄπτυστον, μόνως
Δεικνῦσαν ὡς ἄπτυστός ἐστιν ἡ νόσος,
Πῆ δὲ πτύελον μετρίως πεπεμμένον,
Καὶ σφυγμὸν ἴσχει σκληρὸν ἐμπρίοντά τε·
Ἡ δὲ δριμεῖα φλεγμονὴ τῶν ἡπάτων
Οὐ νυγματώδη τὸν πόνον σοι δεικνύει,
Οὐ σφυγμὸν ἐμπρίοντα τῆς ἀρτηρίας,
Ξηρὰν δὲ βῆχα καὶ πρόσωπον λευκόχρουν.
Εἰ δ' ἐκτὸς οἰδήσειαν οἱ μύες μόνοι,
Κἂν πλευρίτις πέφυκεν, ἀλλ' ὁμωνύμως,
Ὡς μήτε βήττειν, μήτε μὴν πτύειν ὅλως·
Τῇ χειρὶ δ' εἰ ψαύσαιο τοῦ πεπονθότος,
Κάμνοντες ἀλγύνουσιν αὐτίκα πλέον.

Εἰ καρδία δὲ πρωτοτύπως σοι πάθοι,
Ἢ φλεγμονὴν ἔσωθεν ἢ δυσκρασίαν,
Ἢ καὶ ῥαγείη τὴν ἐπίπνουν κοιλίαν,
Θάνατον ὀξὺν τῷ παθόντι προσφέρει.
Εἰ δ' αὖ γε συμπάθειαν ἕξει δευτέρως,
Εἴ τε πρὸς ἧπαρ, εἴ τε γαστέρος στόμα,
Εἴ τε πρὸς ἐγκέφαλον, ἢ πρὸς κοιλίαν,
Συγκοπτικὸν δράσειε τἀνθρώπῳ πάθος,
Καὶ λειποθυμήσουσιν οἱ πεπονθότες,
Δεινῶς τ' ἐφιδρώσουσι συγκεκομμένως,
Παλμοί τε τούτοις συμπεσοῦνται καρδίας.

*Ἡ τοῦ στομάχου πολλάκις δυσκρασία,*
*Πολλὴ ῥυεῖσα, τὴν ὄρεξιν ἐκλύει.*
*Ἀλλ' εἰ μὲν ἐστι δύσκρατός τις θερμότης,*
*Διψῆν ἀνάγκη, βορβορύττειν πολλάκις,*
*Τὰ ψυχρὰ πέττειν, καὶ στερέμνια πλέον·*
*Ψυχρὰν δὲ τεκμήραιο τοῖς ἐναντίοις.*
*Ἡ δ' ἐκ χυμῶν ὄρεξις ἐκβεβλημένη*
*Δηλοῖ τὸν ὠθήσαντα χυμὸν αὐτίκα,*
*Εἰ λεπτός ἐστι καὶ δακνώδης τὴν φύσιν,*
*Εἰ γλίσχρος ἐστὶν οἷα κολλώδης φύσει·*
*Ἀλλ' εἰ μὲν ἕξει τοὺς χυμοὺς ἡ κοιλία,*
*Ἐμοῦσι τούτους οἱ νοσοῦντες αὐτίκα·*
*Εἰ δ' ἐν χιτῶσίν εἰσιν ἐμπεπλασμένοι,*
*Ἢ καὶ πεθέντες ταῖς ἐκείνων οὐσίαις,*
*Κἂν ναυτιῶσιν, οὐκ ἐμοῦσι τὸ πλέον.*

*Ἐμπνευμάτωσίς ἐστι γαστρὸς μὲν πάθος,*
*Ἀτμὸς δὲ χυμῶν, εἴτ' ἀπέπτων σιτίων.*
*Γεννᾷ δὲ τούτους θερμότητος χαυνότης.*

*Ἡ χολέρα δ' αὖ ἐκτάραξις γαστέρος*
*Ἄνω κάτω κενοῦσα τὴν φθορὰν μόλις,*
*Ἐκ τῶν ἀπέπτων σιτίων τελουμένη·*
*Γεννᾷ δὲ ταύτην καὶ χυμῶν μοχθηρία.*

*Τὴν λειεντερίαν δὲ διπλῆν μοι νόει·*
*Ἢ γίνεται γὰρ ἐντέρων ἡλκωμένων*
*Ἕλκωσιν ἁπλῆν, μὴ λίαν βαθυτάτην·*
*Ἢ καὶ λυθείσης τῆς καθεκτικῆς θύρας,*
*Λειεντερικὴ συμβέβηκέ πως νόσος·*
*Καὶ γὰρ πέφυκεν ἐκκένωσις βρωμάτων*
*Ἄπεπτος ὑγρά, μηδαμῶς πεπεμμένη.*
*Τὸ δεύτερον δὲ τούτου τοῦ πάθους πάθος*
*Καὶ κοιλιακὸν ὠνόμασαν οἱ πάλαι.*
*Ἀμφοῖν δέ πως πέφυκε λεπτή τις κρίσις·*
*Ἀπεψία γάρ, εἴ γε συντεταμένη,*
*Τῶν ἐντέρων πάθη τις, οὐ τῆς κοιλίας.*

*Τενεσμός ἐστι τοῦ κενοῦν προθυμία,*
*Βραχεῖαν ἐξάγουσα χυμῶν οὐσίαν.*
*Οἴδημα καὶ γὰρ γλεγμονῶδες ἐν τέλει*
*Κεντεῖ πρὸς ἐκκένωσιν, ἀπατᾷ δέ γε.*

*Δυσεντερία δ' ἕλκος ἐστὶν ἐντέρων*
*Ἐκ συμπαθείας, ἢ πάθους πρωτοσπόρου.*
*Ἀποκρίσεις δὲ δεικνύουσι τὴν βλάβην,*
*Πρῶτον χολώδεις, εἶτα καὶ ποικιλίαι*
*Ἰχωροειδεῖς, αἱματώδεις τὴν φύσιν,*
*Τῆς ἑτέρας χολῆς τε τῆς μελαγχρόου.*
*Ἀλλ' εἰ μὲν ἐκκρίνοιτο κοπρία μόνον,*
*Πάθος πέφυκεν ἐντέρων τῶν παχέων·*
*Εἰ δ' ἡ κόπρος πέφυκεν ἐξηλκωμένη*
*Τῶν ἐντέρων δείκνυσι τῶν λεπτῶν βλάβην.*

*Νόσος κολικὴ δυσφορώτατον πάθος.*
*Κόλον δέ ἐστιν ἔντερον κοῖλον μέγα,*
*Τῆς δεξιᾶς μὲν ἐκφυὲν πως λαγόνος,*
*Τὴν δ' αὖ γε λαιὰν συμπεριπλέκον κύκλῳ,*
*Πλείστων ὀδυνῶν αἴτιον πεπονθόσιν.*
*Ἔχει δὲ πολλὰς τοῦ πάθους τὰς αἰτίας·*
*Χυμὸς γὰρ ἴσως δυσδιαίρετος φύσει,*
*Ἐν τοῖς χιτῶσι τοῦ κόλου ῥεύσας μέσον,*
*Στρόφοις ἐνοχλεῖ καὶ πόνοις καὶ ναυτίαις,*
*Φράττει τε πάσας τῆς κόπρου τὰς ἐξόδους.*
*Ποιεῖ δὲ τοῦτο συμφυὴς ἀπεψία*
*Ἐκ ποικίλων μάλιστα τῶν ἐδεσμάτων.*
*Καὶ πνεύματος δὲ πολλάκις πολλὴ ῥύσις*
*Τὴν τοῦ πάθους ἔπλασαν οὐσίας μόνην·*
*Ζέσις τε πολλὴ φλεγμονῆς ἐγχωρίου*
*Δεινῶς θορυβεῖ τοῦ κόλπου τὴν οὐσίαν·*
*Οὖς ἡ κένωσις τῶν περιττῶν πολλάκις*
*Ἔβλαψεν, ὠδύνησεν ἐμπύρῳ βέλει.*

*Ὁ δ' ἰλεὸς σύμπτωμα δεινὸν τῇ φύσει·*
*Ὁ γὰρ κρατηθεὶς τῷ βροτοκτόνῳ πάθει*

Ἐκ τοῦ φάρυγγος τὴν κόπρον παραπτύει.
Τούτῳ δὲ πολλαὶ προσβολαὶ τῶν αἰτίων.
Καὶ φλεγμονὴ γάρ, βρωμάτων τ᾽ ἀπεψία,
. . . . . . . . . λιτις τῶν ἐντέρων,
Τὸ δεινὸν εἰργάσαντο τῆς νόσου πάθος.

Νεφρῶν πάθη κάκιστα, κύστεως πλέον,
Ἃ κοινά πως πέφυκεν ἄλγη τοῦ κόλου,
Ἀπεψίαι, στρόφοι τε, κλεῖθρα γαστέρος,
Καὶ τρυπανώδεις τοῦ πεπονθότος πόνοι.
Διαίρεσις δὲ τῆσδε τῆς κοινωνίας
Αὕτη πέφυκεν ἐμφρόνως νοουμένη·
Τοῖς γὰρ κακῶς ἔχουσιν ἐν πάθει κόλον
Ἡ δεξιὰ πέπονθε λαγόνος φύσις,
Ἡ πικρία δὲ τῆς ὀδύνης τοῦ πάθους
Ἄνω κάτωθεν μέχρις ἥπατος τρέχει,
Καὶ κλείεται κάτωθι πᾶς κόπρου πόρος,
Τὸ δ᾽ οὖρον αὐτοῖς φλεγματῶδες εἰς ἄκρον·
Τοῖς δ᾽ αὖ γε κύστιν καὶ νεφρὸν πεπονθόσι,
Τούτοις παρεμπέπηγεν ὁ σφοδρὸς πόνος,
Ναρκᾷ τε μηρὸς τοῦ κατ᾽ εὐθεῖαν πόρου·
Λίθος τε τούτοις πλάττεται ποικιλόχρους.
Καὶ παιδίοις μὲν κύστις ἐξάγει λίθους,
Πλάττουσι δ᾽ αὐτοὺς οἱ νεφροὶ τοῖς ἀνδράσι.
Νεφριτικῶν δὲ ταῦτα σημεῖα φρόνει·
Ἄπεπτον οὖρον, ἀλλὰ μὴν καὶ λευκόχρουν,
Τρίψεις ἔχον κάτωθε πολλῶν ψαμμίων,
Ἔπειξιν εἰς οὔρησιν, αἰδοίων τάσεις·
Ὕλη δέ ἐστι τοῖς πεπλασμένοις λίθοις
Χυμὸς γεώδης ἐκ παχείας οὐσίας
Τῇ θερμότητι τῶν νεφρῶν πεφυρμένης·
Τὴν φλεγμονὴν δὲ τῶν πεπονθότων πόρων
Πύρωσιν, ἄλγος, ἀκριβώσεις καὶ τάσεις,
Παρατροπὴν νοῦ, πῦρ καταφλέγον φύσιν,
Χολῆς κένωσιν, οὖρον οὐκ ἐπιρρέον.

Τὸ δ᾽ ἧπαρ ὕλη ποικίλων νοσημάτων·
Ἁλίσκεται γὰρ φλεγμοναῖς, σκίρροις πλέον,

*Ἐμφράξεσι μάλιστα τοῖς βροτοκτόνοις·*
*Ἐξασθενοῦν τε πρὸς τὸ πέττειν σιτία*
*Ἐργάζεται πάνδεινα τῇ φύσει πάθη.*
*Τὰς τέσσαρας γὰρ δυνάμεις κεκτημένον,*
*Εἰ μὲν κενοῖ δίυγρον οὐσίαν κάτω,*
*Τὴν ἑλκτικὴν πέπονθε δύναμιν μόνην·*
*Εἰ δ' ὡς κρεώδεις ἐξάγει τὰς οὐσίας*
*Πρὸς τὴν μεταπλάττουσαν ἠσθένηκέ πως.*
*Ἔπειτα φλεγμήναντος ἥπατος φύσει,*
*Τῷ δεξιῷ πέπηγεν ἐν βάθει πόνος,*
*Δεινόν τε καῦμα τὴν φύσιν καταφλέγει,*
*Καὶ δίψα, καὶ βήξ, ἀλλὰ καὶ δύσπνοιά τις*
*Δεινῶς σπαράττει τὴν πεπονθυῖαν φύσιν·*
*Ἀλλ' εἰ μὲν εἴη τοῖς σιμοῖς τετρωμένον,*
*Καὶ λειποθυμήσουσιν οἱ πεπονθότες*
*Ἕξουσι δ' αὖθις ὑδρικὰς παρεγχύσεις.*
*Εἰ δ' αὖ τὰ κυρτὰ φλεγμονῆς ἔχει τάσις,*
*Τοῖς δακτύλοις γνοίη τις ὄγκον αὐτίκα.*

*Ὑδρωπικῶν δ' αὖ εἰσβολὴν παθημάτων*
*Καχεξίαν λέγουσι τεχνικοὶ λόγοι.*
*Ὁ δ' ὕδερος τί; ψύξις ἐστὶν ἡπάτων,*
*Σκίρρωσιν οἷα καὶ ζέσιν πεπονθότων·*
*Ἢ συμπαθούντων τοῖς πεπονθόσιν τόποις,*
*Ὕδρωψ παρεβλάστησε δυσχερὴς νόσος,*
*Τὰς αἱματώδεις οὐκ ἔχουσα συστάσεις.*
*Ἀθροίζεται δ' ἐντεῦθεν ὑγρὸν πνεῦμά τε,*
*Μέσον πεφυκὸς ὑμένος τεταμένου*
*Καὶ τῶν ἑλικτῶν χορδοειδῶν ἐντέρων.*
*Κἂν μὲν τὸ πνεῦμα τῶν ὑγρῶν εἴη πλέον,*
*Ὕδρωψ ἐπλάσθη τῷ ψοφεῖν τυμπανίας·*
*Εἰ δ' ἐστὶ πλείων ὑγρότητος οὐσία,*
*Ὕδρωψ ἐτεύχθη προσφυῶς πως ἀσκίτης·*
*Εἰ δ' ἐκχυθείη πρὸς τὸ πᾶν τῆς οὐσίας*
*Ῥοῦς αἱματώδης, φλεγματώδης τὴν χρόαν,*
*Ὕδρωψ ὁ λευκόφλεγμός ἐστι τῇ φύσει.*

*Χυμοὺς δ' ὑφέλκων τοῖς πόροις μελαντάτους*
*Ἐξ ἥπατος σπλὴν, τῇ καταλλήλῳ φύσει*
*Ἐξασθενήσας, ἢ φραγεὶς τὰς εἰσόδους,*
*Τοὺς ἰκτέρους δράσειε τοὺς μελαγχρόους.*
*Ἀλλ' εἰ μὲν οὐ πέφυκε τῷ σπλάγχνῳ βάρος,*
*Τὴν ἑλκτικὴν δύναμιν πέπονθεν μόνην·*
*Εἰ δ' ἄλγος ἴσχει, τυγχάνει πεφραγμένος,*
*Ἐν ᾧ πέφυκε φλεγμονή τε καὶ ζέσις,*
*Οὖρον δυσῶδες, καὶ κάκοσμον τὸ στόμα,*
*Καὶ τῶν σκελῶν ἕλκωσις οὐκ ἰωμένη·*
*Εἰ δ' ἴκτερος γένηται παύων τὴν νόσον*
*Μετάστασιν δείκνυσιν ἔξω τῆς ὕλης.*
*Τὸ δ' αὖ περιτόναιον εἰ ῥαγῇ βίᾳ*
*Ὄλισθον εἰργάσατο δεινὸν ἐντέροις.*

*Ἀκούσιος κένωσις ἡ τῶν σπερμάτων*
*Ἡ τῆς γονῆς πέφυκεν ἔκλυτος ῥύσις,*
*Πάθος μυσαρὸν, γονόρροια τοὐπίκλην,*
*Τὸν καυλὸν οὐ τείνουσα τὸν φυτοσπόρον,*
*Ἐξασθενοῦντος τοῦ καθεκτικοῦ τόνου*
*Τὸ σπέρμα τηρεῖν, ὥστε μὴ καταρρέειν.*

*Ἡ δ' αὖ σατυρίασις, αἰδοίου πάθη*
*Καὶ παλμὸς ὀξὺς, καὶ φλογίζουσα ζέσις,*
*Δεινῶς ζεσάντων τῶν σποροτρόφων πόρων.*

*Τὸν πριαπισμὸν Πριάπου φερωνύμως*
*Αὔξησιν εἰς μέγιστον αἰδοίου νόει,*
*Ὁρμὴν ἀναφρόδιτον, ἔντασιν μόνον.*
*Γεννᾷ δὲ τοῦτον φλέγμα μετρίως ζέσαν,*
*Καὶ πνεῦμα τῆξαν καὶ κινῆσαν τὴν φύσιν.*

*Γυναιξί τις πέφυκεν ἔμμηνος ῥύσις,*
*Ἧς αἴτιον πρώτιστον ἄμβλωσις τόκου,*
*Ἡ σώματος δύσκρατος ἴσως οὐσία,*
*Πάθημα μήτρας, ὑστέρας καλουμένης,*
*Ἡ ψύξις, ἢ κάκωσις, ἢ πληγῆς βάρος.*

*Ἡ δ' αὖ ὑπερκάθαρσις ἀθρόα ῥύσις.*
*Ῥοῦς δ' αὖ γυναικῶν πνευματισμὸς ὑστέρας.*
*Τὴν δ' ἐμπαθῆ δὲ φλεγμονὴν τῆς ὑστέρας*
*Καὶ πνεῦμα τίκτει, καὶ κατάψυξις πάλιν,*
*Καὶ μᾶλλον ἐξάμβλωσις ἢ πληγῆς βάρος.*
*Σημεῖα τούτου πυρετὸς τεταμένος,*
*Ἄλγος τραχήλου, καὶ τένοντος τὸ πλέον,*
*Σφυγμοί τε μικροί, καὶ μύσις τῆς ὑστέρας.*
*Συνίσταται δ' ἕλκωσις ἐν μήτρᾳ πάλιν,*
*Ἢ δυστοκούσης, ἢ δι' ἐμβρυουλκίαν.*
*Ἀλλ' εἰ μὲν ἡ πρόχειρος ἕλκωσις τύχα,*
*Δίοπτρον αὐτὴν εἰκονίσει σοι μόνον.*
*Εἰ δ' ἐν βάθει πέφυκεν ἕλκους ἡ φύσις*
*Γνοίης τὸ ποιὸν ἔκ γε τῶν κενουμένων.*
*Καὶ καρκίνου πέφυκεν ἐν μήτρᾳ πάθος·*
*Ὁ μὲν μεθ' ἕλκους καὶ δριμείας οὐσίας,*
*Ὁ δὲ στεγνός τις, οὐδαμῶς ἡλκωμένος·*
*Τὸν χωρὶς ἕλκους ἱστορήσει σοι τάδε·*
*Σκληρός τις ὄγκος τῆς παθούσης ὑστέρας,*
*Χροιὰ τρυγώδης καὶ πελιδνὴ πολλάκις,*
*Βουβῶνος ἄλγος, ὀσφύος καὶ γαστέρος·*
*Τὸν δ' αὖ μεθ' ἕλκους δεικνύει καὶ σκληρότης,*
*Ἡ σκληρότης δὲ τῆς πονούσης ὑστέρας*
*Ἢ πολλάκις σύμπαντος αὐτοῦ τοῦ κύτους.*
*Ἐφεκτικὸν πέφυκεν ἐμμήνων τόδε,*
*Μαστούς τε πως δείκνυσιν ἐξωγκωμένους,*
*Πρὸς ὕδερόν τε τοῦτο λήγει πολλάκις.*
*Ἐκ ψύξεως δὲ μυσάτης τῆς ὑστέρας*
*Ἐμπνευμάτωσις εὐθέως περιρρέει,*
*Ἢ πρὸς τὰ κοῖλα τοῦ λελεγμένου κύτους,*
*Ἢ πρὸς τὸ σῶμα τῆς παθούσης ὑστέρας.*
*Πνὶξ δ' ὑστέρας ὕψωσίς ἐστιν ὑστέρας,*
*Τὰ καίρια θλίβουσα σώματος μέρη,*
*Μήνιγγας αὐτάς, καρδίαν, παρωτίδας.*
*Τούτου κάτοπτρον ὠχρότης καὶ νωθρότης,*
*Σκελῶν συνολκή, καὶ γνάθων ἐρυθρότης,*
*Δεσμοί τε γλώττης, καὶ σκέλη παρειμένα,*

Αἰσθήσεως νέκρωσις, ἄστατοι φρένες.
Ἐναντίον πρόπτωσίς ἐστιν ὑστέρας·
Τῶν φυσικῶν γὰρ χωρίων ὑπορρέει·
Ἢ γὰρ ῥαγέντων τῶν κρατούντων ὑμένων,
Ἢ συμπεσούσης τῆς γυναικὸς ὑψόθεν,
Ἢ καὶ λυθέντος πρὸς τὸ γῆρας τοῦ τόνου,
Ταῖς ὑστέραις πρόπτωσις ἐμπέπτωκέ πως.

Ἡ δ' ἰσχιὰς πέφυκεν ἰσχίων πάθος·
Χυμοῦ γὰρ αὐτῶν τῇ διαρθρώσει μέσον
Ψυχροῦ παγέντος καὶ θλίβοντος τὴν φύσιν,
Πάθος συνέστη κλήσεως ἰσχιάδος.

Τὴν δ' αὖ ποδάγραν καὶ νόσον τὴν ἀρθρῖτιν
Ἡ θρεπτικὴ δύναμις ἀτονουμένη
Ἐκ τῆς ἀπλήστου πλησμονῆς τῶν σιτίων,
Παχύν τε σωρεύουσα χυμὸν ἐν βάθει,
Γεννᾷ, προφαίνει, τοῖς ἰατροῖς δεικνύει·
Ὁ συλλεγεὶς γὰρ χυμὸς ἐξ εὐσιτίας
Πολὺς πρὸς αὐτὰς τὰς διαρθρώσεις ῥέων
Τείνει τὰ νεῦρα, τῇ τάσει δ' ἀλγηδόνας
Πολλὰς δίδωσι τοῖς πεπονθόσιν τόποις.
Ἀλλ' εἰ μὲν εἰσρεύσειε τοῖς ποσὶν μόνοις,
Ποδαγρικὴ πέφυκε πάντως ἡ νόσος·
Εἰ δ' αὖ τὸ σύμπαν σῶμα συγκατακλύσει,
Πρόδηλός ἐστιν τοῦτο πᾶσιν ἀρθρῖτις.
Πώρους δὲ ποιεῖ τῇ διαρθρώσει ῥεῦσις
Χυμοῦ γεώδους φαρμάκων τε ξηρότης.

Χείμετλα δ' εἰσὶ τὰς πρὸς ὥραν τοῦ ψύχους
Ἕλκη διαρρέοντα δακτύλων μέσον.

Ὁ δὲ πτέρυξ ὄνυξιν ἐμπέφυκέ πως·
Τὴν πλαγίαν γὰρ σάρκα μετρίως τρέφει.

Ἡ κλῆσις τοὐλέφαντος εἰκὼν τυγχάνει
Τῆς θηριώδους τοῦ νοσήματος θέας.

Γεννᾷ δὲ ταύτην καὶ χολὴ κεκαυμένη,
Ἰλύς τε καὶ τρὺξ αἵματος σεσηπότος.
Ἀλλ' ἡ μὲν ἔστιν οὐδ' ἐπιχειρητέα,
Ἡ δ' ἔστιν ἥττων, ἐνδιδοῦσα φαρμάκοις.

Ψώρα δὲ καὶ λέπρωσις ἔκγοναι δύο
Ὕλης μελάγχρου, καὶ διαλλάττουσί πως.
Ἡ μὲν λέπρα τάχιστα τὴν δορὰν ξέει,
Δύνει τε μέχρι τοῦ βάθους τῶν σωμάτων,
Καὶ σχηματίζει κυκλικῶς τὸ χωρίον,
Ἀφ' οὗ λεπίδες ἐκρέουσιν αὐτίκα·
Ψῶραι δ' ἐπεξύσαντο τὴν δορὰν μόνον
Ἐν σχηματισμοῖς ποικίλοις τῶν τραυμάτων.

Ἰχὼρ δὲ λεπτὸς σὺν χυμοῖς παχυτέροις
Λειχῆνα γεννᾷ· ῥίζα δ' οὗτος τῆς λέπρας.

Λευκὴ δέ ἐστι δέρματος πεπονθότος
Μετάστασίς τις πρὸς τὸ λευκὸν τῆς χρόας.
Γεννᾷ δὲ ταύτην φλέγματος γλίσχρου φύσις.
Λευκὴ δὲ πρωτόρριζος ἀλφὸς τυγχάνει,
Τρέπων τὸ σῶμα μέχρι τῶν ὀρωμένων.

Πρόδηλός ἐστι κλῆσις ἐξανθημάτων·
Χυμῶν γὰρ ἄνθη τυγχάνουσι ποικίλων.
Ἢ νυκτὸς ἕλκος, νυκτὸς ἀλγῦνον πλέον,
Φλυκταινοειδές, ὑπέρυθρον τὴν χρόαν.

Δορᾶς φρόνει βλάστημα τὴν μυρμηκίαν,
Μικρόν, τυλῶδες, οἷα μύρμηξ ἐσθίον,
Βάσιν πλατεῖαν τῇ φύσει κεκτημένην,
Τὴν δὲ στενὴν ἔχουσαν ἀκροχορδόνην.

Τὸ γάγγλιον δὲ συστροφὴ νεύρου πέλει.

Ἡ φλεγμονὴ δ' ὄγκωσις ἐμπύρῳ ζέσει
Φλέγουσα κοινῶς τοὺς πεπονθότας τόπους,

*Καὶ πᾶς μὲν ὄγκος φλεγμονὴ πεφλεγμένος·*
*Ἡ κυρίως δὲ φλεγμονὴ κεκλημένη*
*Ἐξ αἵματος πέφυκεν εἴς τινας τόπους*
*Χρηστοῦ ῥυέντος, τῷ πάχει τε συμμέτρου.*
*Γάγγραινα δ' ἐστὶ φλεγμονή τις πυρφόρος,*
*Νεκροῦσα δεινῶς τοὺς πεπονθότας τόπους.*
*Ὁ δὲ σφάκελος φλεγμονὴ μὲν τυγχάνει·*
*Καύσας δὲ πᾶσαν τοῦ τόπου τὴν οὐσίαν,*
*Αἰσθήσεως ἀφῆκεν ἐστηρημένον.*
*Σφάκελος αὖθις ὀστέων σεσημμένων.*

*Ἕρπης χολῆς βλάστημα τῆς ξανθοχρόου.*

*Ἐρυσίπελας ἐκ χολῆς ξανθοπλόκου,*
*Ἐξ αἵματός τε συμμιγέντος, βλαστάνει,*
*Μεταστρέφων τὴν κλῆσιν ὡς πρὸς τὴν ὕλην.*

*Βουβῶν δὲ καὶ φύγεθλον, ἀλλὰ καὶ φῦμα,*
*Πάθη πέφυκεν ἀδένων καλουμένων.*
*Πλὴν ἀλλὰ βουβὼν φλεγμονὴ τῶν ἀδένων,*
*Φῦμα πρὸς ἐκπύησιν ἠρεθισμένον,*
*Φύγεθλον ἡ ζέσασα φλεγμονὴ πλέον,*
*Τεκοῦσά τ' ὄγκον ἐρυσιπελατόχρουν.*

*Ὄγκος δοθιὴν ἐκ χυμῶν παχυτέρων*
*Ἐν σαρξὶ τὴν σύμπηξιν εὐθέως ἔχων.*

*Φλυκταινοειδὲς ἡ τερέβινθος φῦμα.*

*Ἄνθραξ διφυοῦς αἵματος γέννημά τι,*
*Εἰς τὴν μέλαιναν ἐκτραπέντος οὐσίαν,*
*Ἔχοντος ἕλκος ἐσχαρῶδες τὴν φύσιν.*

*Ὁ θηριώδης καρκῖνος τῶν σωμάτων*
*Ἁπανταχῇ πέφυκε ῥιζοῦσθαι φύσει,*
*Μᾶλλον δὲ τιτθοῖς τῶν γυναικῶν βλαστάνει.*
*Χολὴ δὲ τοῦτον ἡ μελαντέρα τρέφει,*

*Πληροῖ δὲ κύκλῳ τὰς προκειμένας φλέβας,*
*Ἃς ἄν τις εἰκάσειε θηρίου πόδας.*

*Τὸ δ' ἐμφύσημα πνεῦμα λεπτὸν τυγχάνει,*
*Ἢ πρὸς τὸ σῶμα τῆς δορᾶς ἠθροισμένον,*
*Ἢ πρὸς τὰ κοῖλα τῆς κάτωθι κοιλίας.*

*Ὁ σκίρρος ἐστὶν ὄγκος ἐσκληρωμένος*
*Αἰσθήσεως ἄμοιρος, οἷά τις τύλος.*
*Οὐκ ἀκριβῆ δὲ τὸν δυσαίσθητον λέγε*
*Χυμῶν δὲ τοῦτον ἡ περίγλισχρος φύσις*
*Αὔξει πρὸς ὄγκον καὶ τυλώσασα τρέφει.*

*Χοιρὰς δ' ἀδὴν πέφυκεν ἐσκιρρωμένη.*

*Τὸ κηρίον δ' ὄγκωσις ἐντετρημένη,*
*Ὡς οἷα σίμβλον βλύζον ἔγχυμον μέλι,*
*Κατὰ τράχηλον τὸ πλέον καὶ μασχάλας.*

*Ὁ κόλπος ἕλκος οὐδαμῶς συνημμένος.*
*Κόλπος τυλώδης, ἡ καλουμένη σύριγξ.*

*Τοὺς δ' αὖ διὰ σφήνωσιν ἀρθρώδους πόνους*
*Οἱ τεχνικοὶ λέγουσιν ἀγκύλας λόγοι.*

*Τρία γένη πέφυκεν ἑλμίνθων μόνα·*
*Ἡ μὲν γάρ ἐστι στρογγύλη κεκλημένη·*
*Ἡ δ' ἀσκαρὶς πέφυκε τὸ τρίτον γένος.*
*Ὕλη δὲ πασῶν φλεγματώδης οὐσία.*

*Τοὺς λυσσοδήκτους ὧδε φωράσειέ τις.*
*Φεύγουσιν ὕδωρ, καὶ δάκνουσιν ὡς κύνες,*
*Ὡς ὑλακὴν πέμπουσιν ἐξεστηκότες,*
*Ἱδροῦσι δεινῶς, σπασμὸν ἴσχουσι ξένον,*
*Ἐρυθρὸς αὐτοῖς πᾶς ὁ χρὼς τῶν σωμάτων.*

Ὑποσπαθισμὸς εἶδός ἐστιν ὀργάνου
Χειρουργικοῦ, τέμνοντος ὁρμὰς ῥευμάτων.
Ὁ δὲ σκυφισμὸς σχῆμα τῆς χειρουργίας.
Τῶν ὑμένων σκλήρωσις ἔκ τινος τρόπου,
Οἳ γλῶσσαν ἀμπέχουσι χιτῶνος δίκην,
Δεινὸν πέφυκεν ἀγκυλόγλωσσον πάθος.

Ἡ δ' ἀντιὰς τί; φλεγμονὴ παρισθμίων,
Καὶ ξηρότης μάλιστα καὶ δυσχρηστία.

Ὁ γαργαρεὼν πλῆκτρον οἷα τυγχάνει
Φωνῆς ἐνάρθρου· ῥεῦμα δ' εἰσδεδεγμένος,
Εἰ μὲν πρόμηκες σχῆμα τῇ τάσει λάβοι,
Κίων καλεῖται τεχνικωτέροις λόγοις·
Εἰ στρογγύλος δὲ καὶ παχὺς γίνοιτό πως,
Κλῆσιν σταφυλῆς καὶ θέαν προσλαμβάνει.

Χειρουργία τις ἡ λαρυγγοτομία.

Τὸ στεάτωμα σκληρόν ἐστι σαρκίον·
Τὸ δ' ἀθέρωμα λεπτὸν οἷ' ἄχνη σίτου.
Ἡ μηλικηρὶς ὡς χλιάζον σῶμά τι.

Ὄγκος δὲ χαῦνος ἀνεύρυσμα τυγχάνει·
Γεννᾷ δὲ τοῦτον αἱματόπνους οὐσία.

Ἡ βρογχοκήλη τοῦ τραχήλου τυγχάνει
Ὄγκωσις, ὡς ἔπαρμα τοῦ βρόγχου τάχα.

Ἐξόμφαλόν τι ἐστιν ὀμφαλοῦ πάθος
Ἢ συρραγέντος τοῦ παθόντος ὑμένος,
Ἢ συμπεσόντος εἰς τὸν ὀμφαλοῦ τόπον,
Ἢ συνδραμούσης ὑγρότητος ἐνθάδε,
Ἢ συρρυείσης αἱματώδους οὐσίας·
Καὶ πλεῖστ' ἂν εἴποις αἴτια πρὸς τὸν λόγον.

Πόσθη τὸ δέρμα τῆς βαλάνου τυγχάνει.

*Ὑποσπαδισμὸς σχῆμά πως χειρουργίας.*

*Φίμωσις ἐστὶν ἡ μὲν ὡς βύουσά πως*
*Ἄνωθεν τὴν βάλανον εὐσάρκῳ σκέπῃ·*
*Ἡ δ' ὡς ὑποτρέχουσα καὶ γυμνοῦσά πως.*
*Ὁ θύμος εἶδος φύματος τῆς βαλάνου·*
*Λυμαίνεται δὲ ταῦτα καὶ πόσθην ἴσως.*

*Καθητερισμὸς κύστεως χειρουργία.*

*Ἡ σαρκοκήλη ῥευματισμὸς διδύμου.*
*Ἡ κιρροκήλη κιρσός ἐστι σωμάτων*
*Τῶν ἐκτρεφόντων τῶν διδύμων οὐσίαν.*

*Ἑρμαφροδίτων ἀγχίθυρος ἡ φύσις.*

# XIV.

## Ψ Ε Λ Λ Ο Υ

## ΠΕΡΙ ΛΙΘΩΝ ΔΥΝΑΜΕΩΝ.

1 Κεφ. α'. Αἰτιολογίσασθαι μέν σοι τὰς ἐν τοῖς λίθοις δυνάμεις οὐκ ἂν τολμήσαιμι, οὐδὲ μιμήσομαι κατὰ τοῦτο τὸ μέρος τῶν δογματικῶν τὴν προπετείαν, δυνάμενος ἀφ' ἑκάστου πολλὰ εὑρεσιλογεῖν. Ἑκάστης δὲ τῶν διεγνωσμένων ἡμῖν λίθων καὶ ἃς μάλιστα ἀγαπῶμεν οἱ ἄνθρωποι τὰς ἐνούσας δυνάμεις ἀνακαλύψω σοι, ἵνα ἐν καιροῖς αὐτοῖς χρῷο καί τινα ὠφέλειαν καρπίζοιο παρ' αὐτῶν, καὶ ἵνα τὰς ἀγνώστους ἡμῖν λίθους ἐάσω τὸν Ὀνοκάρδιον καὶ τὴν Ὁλκάδα, καὶ τὸν Σπογγίτην, τόν τε Λειμωνιάτην, καὶ τὸν Λύγκουρον, τόν τε Τριγλίτην, καὶ τὸν Τριόφθαλμον, καὶ τὸν Σακόδιον καὶ Συριγγίτην, καὶ τὸν Σχιστόν, καὶ ὅσοι τοιοῦτοι, ὧν τὰ ὀνόματα μόνον ἴσμεν, οὐ μέντοι γε αὐτοῖς ἐντυγχάνομεν· ἀπὸ τῶν γνωριμωτέρων ἡμῖν ἀπάρξομαι.

2 β'. Αὐτίκα ὁ Ἀδάμας· χροιὰν μὲν οὗτος ἔχει ὑελίζουσαν καὶ στιλπνήν, κραταιός τέ ἐστιν καὶ δύσθραυστος. ἡμιτριταίους πυρετοὺς σβέννυσιν ἐξαρτώμενος.

3 γ'. Ὁ Αἱματίτης· ὀνομάζεται δὲ οὕτως, ὅτι βρεχόμενος ὕδατι αἱματώδη χροιὰν ἀφίησι· ὀφθαλμίας ἰᾶται μεθ' ὕδατος ἐγχριόμενος.

4 δ'. Ἀμέθυσος ὑακινθώδης μέν ἐστι τὴν χροιάν, ἰᾶται δὲ καὶ κεφαλαλγίας, καὶ τοὺς πίνοντας οἶνον φυλάττει νήφοντας, ὅθεν αὐτῷ καὶ τοὔνομα.

5 ε'. Ὁ ἄνθραξ ἐν Ἰνδοῖς μὲν ἔχει τὴν γένεσιν· ἐστὶ δὲ ἄνθραξιν ἐμφερής, καὶ ὁ μέντοι ἐστὶ τηλεφεγγής, ὁ δὲ

βραχύτητι μελάντερος. εὑρίσκεται δὲ ἐν ὄρεσιν ἀντιλάμπων
ταῖς ἀκτῖσι ἡλιακαῖς καὶ ποικιλλόμενος μέν. τοῦτον οἱ λι-
θογνώμονες ἴσασι, οὐ μήν γε καὶ τὰς δυνάμεις αὐτοῦ
μεμαθήκασιν, εἰ μὴ μόνον τὸν ἀνθρακίτην τὸν παρὰ
Θεσπρωτοῖς γενόμενον, ἔλαττον τὸ πυραυγὲς ἔχοντα, κε-
φαλαλγίας ἰᾶσθαί φασι παρὰ τῷ κάμνοντι θυμιώμενον.

ϛʹ. Ὁ Ἀχάτης· ἔστι δὲ ποικίλος τὴν χροιὰν καὶ 6
διηγλαϊσμένος· καὶ ὁ μὲν πάρωχρος, ὁ δὲ φοινικόχρους ἢ
σαρκοειδής. Ὀφθαλμῶν ῥεύματα καὶ κεφαλαλγίας ἰᾶται,
ἐπέχει δὲ καὶ ῥοῦν γυναικῶν καὶ τῷ ὑγρῷ ὕδρωπι ἀντίθε-
τός ἐστι καὶ τοσοῦτον αὐτῷ τὸ περιὸν τῆς ξηραντικῆς δυ-
νάμεως, ὡς καὶ ὕδωρ ἀναπίνειν δύνασθαι καὶ κενὸν ἄγγος
ποιεῖν.

ζʹ. Ὁ δὲ Βήρυλλος· τρεῖς δὲ τούτου τοῦ λίθου 7
μορφαί· καὶ ὁ μὲν αὐτῶν ἐλαιοβαφής ἐστι τὴν χροιάν, ὁ
δὲ θαλάττῃ προσεοικώς, ὁ δὲ λαμπρὸς τὰς αὐγὰς καὶ ὁμο-
φυὴς καὶ λάμπων πόῤῥωθεν. οὗτος οὖν ὁ λίθος ἐντάσεις
ἰᾶται καὶ σπασμοὺς καὶ ὀφθαλμῶν ὀδύνας καὶ ἴκτερον.

ηʹ. Ὁ Γαλακτίτης ἀποῤῥήτῳ βρύει γάλακτι, ἔνθεν 8
γὰρ αὐτῷ καὶ τοὔνομα· κατασπᾷ δὲ γάλα ταῖς γυναιξί·
λήθην δὲ ἐργάζεται τῶν κακῶν καὶ μνήμην τῶν καλῶν.
ἀντίθετος δὲ ἐστὶ καὶ θηρίων πληγαῖς περιαπτὸς γεγονώς.

θʹ. Τὸ ἤλεκτρον· ἔστι δὲ τὸ μὲν Ἰνδικόν, τὸ δὲ 9
Λιγυστικόν. οἰκειοῦνται δὲ παρὰ τὸν Ἠριδανὸν παταμόν.
ἔνιοι δὲ καὶ δάκρυον αὐτό φασι δένδρου τινός· κοῦφον
γάρ ἐστι καὶ θυμιᾶται ὡς ὁ λιβανωτὸς καὶ ἡ μαστιχή.
ἰᾶται δὲ δυσουρίαν περιαπτόμενον καὶ πυρετὸν ἀπαλλάτ-
τει καὶ στομάχου ῥεῦμα ἵστησι, καὶ τοῖς ὀφθαλμοῖς δὲ
ἐγχριώμενον ὀξυδορκίαν χαρίζεται.

Κεφ. ιʹ. Ἡ Ἴασπις φύσει κρυσταλλοειδής, ὀλίγου 10
ἐπιτεινομένη τὴν χροιάν. καὶ ἀρίστη μὲν ἡ πορφύρουσα,
δευτέρα δ' ἡ φλεγματικωτέρα παράλευκος· ἔστι δέ τις καὶ
ἀεροειδής· ἀναστέλλει δὲ ῥεύματα κεφαλῆς καὶ τοὺς ἐφιάλ-
τας ἀπωθεῖται, καὶ λοιμικοῖς ἀντιτάττεται πάθεσι καὶ ἐπι-
ληπτικοῖς. Ἔστι δέ τις Ἴασπις σμαραγδίζουσα· ἡ δὲ ἐμ-
φερὴς χίονι, καὶ ἄλλη ἐμφερὴς ἄρνου ἐγκεφάλῳ, ἧς οὔπω
οὐδεὶς ἐγνώκει τὴν δύναμιν.

11 Κεφ. ια΄. Ὁ Ἰδαῖος Δακτύλος ἐν Ἴδῃ τῆς Κρήτης γίνεται, καὶ ἐστὶ τὸ σχῆμα δακτύλῳ ἀνδρὸς ἐμφερὴς τῷ ἀντίχειρι, τὴν χροιὰν σιδηρόχρους· οὗτος ὁ λίθος δικαιότατος πάντων τῶν λίθων ἐστί· τὰς μὲν γὰρ ἐκ τῶν δικαίων μίξεων γενομένας σπορὰς τελειοῖ, φθείρει δὲ τὰς ἀθεμίστους καὶ παρανόμους.

12 Κεφ. ιβ΄. Ὁ κρύσταλλος ἔοικε μὲν ὕδατι καθαρῷ ἐγκαεὶς δὲ ὑπὸ ἡλίου χροιὰν ἀμεθύσου μεταλαμβάνει, ἐπὶ δὲ τὸ βαθύτερον τραπεὶς Ἰάσπιδι γίνεται ὅμοιος. οὗτος τρόμους ἀπερύκει καὶ ἐκλύσεις νεύρων ἀνατριβόμενος.

13 Κεφ. ιγ΄. Ὁ λυχνίτης· ἔστι δὲ νυκτάλωπος ἀρτηθεὶς ἀπὸ τοῦ τραχήλου, ῥεύματά τε ἐπέχει ὀφθαλμῶν ἐν λινῷ ῥάκει περιτιθεὶς τῷ μετώπῳ.

14 Κεφ. ιδ΄. Ὁ μαγνίτης λίθος ἐστὶ μέγας καὶ βαρὺς καὶ ἀνώμαλος, καὶ ὁ μέν τις ἐπισπᾶται τὸν σίδηρον, ὁ δὲ ἀναπτύει· ἀναλυόμενος δὲ γάλακτι ὀξυδορκίαν ποιεῖ καὶ μελαγχολίαν ἰᾶται.

15 Κεφ. ιε΄. Ὁ ὄνυξ εὐμεγεθής ἐστι, ὥστε τοὺς Ἰνδοὺς πόδας κλίνης ἐντεῦθεν τορεύειν· διαρθεὶς δὲ πρὸς αὐγὴν παντοίαν ἀναφέρει χροιάν, ἢ γὰρ ἀνθρακώδη, ἢ μέλαιναν, ἢ σαρκοειδῆ· ἀναλυθεὶς δὲ ἐπέχει φαντασίας νυκτερινάς, ὀδοῦσί τε ῥευματιζομένοις παρατριβόμενος ὠφελεῖ.

16 Κεφ. ιϛ΄. Ὁ σάπφειρος ἵστησι ῥεύματα ὀφθαλμῶν μετώπῳ περιαφθείς. ἑλκώσεις ἰᾶται ποθεὶς μετὰ γάλακτος· ξηραντικός γάρ ἐστιν καὶ στυπτικὸς καὶ πυρετοῖς ὀξέσιν ἀντίθετος.

17 Κεφ. ιζ΄. Σαρδόνυξ ἡ λίθος. αὕτη μέσην ἔχει γραμμὴν λευκήν. ἐστι δὲ μονόχρως. ὀφθαλμῶν ἵστησι ῥεύματα καὶ διεζωσμένη τοὺς τῶν ἐμβρύων ἐπέχει ὀλίσθους. ἡ δὲ ποικίλη ὠφελεῖ μελαγχολικοῖς ἐξαρτωμένη.

18 Κεφ. ιη΄. Ὁ Σεληνίτης. καλεῖται δὲ οὕτως, ὅτι ὀφθαλμὸν οἷόν τινα ἔχων συναυξόμενον τοῦτον καὶ συμμειούμενον ταῖς τῆς σελήνης αὐξήσεσι καὶ μειώσεσι δείκνυται.

19 Κεφ. ιθ΄. Ἡ Σμάραγδος πρασοειδής ἐστι καὶ ἠρέμα χρυσίζουσα, καί τι καὶ τοῦ γλαυκοῦ παρεμφαίνουσα χρώματος. γεννᾷ δὲ ταύτην καὶ Αἰθιοπία καὶ Αἴγυπτος καὶ

*Πέρσις καί τινα ὄρη τῆς Ἀττικῆς. αὕτη καταπλαττομένη μεθ' ὕδατος ἐλεφαντικοῖς βοηθεῖ, πινομένη δὲ μεθ' ὕδατος αἵματος ἐπέχει ῥοάς.*

*Κεφ. κ'. Ὑάκινθος. τοῦτον τίκτει μὲν ἡ Ἰνδων· 20
ἔστι δὲ θαλαττόχρως· ἰᾶται δὲ πνευματώσεις καὶ ῥήγματα μελαγχολίαν τε παύει σὺν ὄξει ποθείς.*

*Κεφ. κα'. Χρυσόλιθος ἀντίθετον σχῆμα ποιεῖ πά- 21
θεσιν ὀφθαλμῶν.*

*Κεφ. κβ'. Χρυσήλεκτρος. οὗτος φορούμενος περὶ 22
τράχηλον σβέννυσι πυρετούς.*

*Κεφ. κγ'. Χρυσόπρασος. οὗτος περὶ τοὺς καρ- 23
ποὺς φορούμενος παρέχει ὀξυδορκίαν, στόμαχόν τε ἰᾶται καρδιαλγοῦντας καὶ λύει ἐμπνευματώσεις.*

*Κεφ. κδ'. Χαλαζίας. λευκός ἐστιν οὗτος καὶ στε- 24
ρεὸς καὶ κρυστάλλῳ μικρῷ ἐοικώς. περιαρτώμενος δὲ ἰᾶται σκορπίων πληγάς.*

*Κεφ. κε'. Τοπάζιον λίθος ἐστὶ διαφανής, ὑέλῳ 25
παρεμφερής. φύεται δὲ εἰς τὸν Ἀρραβικὸν λεγόμενον κόλπον ἔν τινι πελαγίᾳ νήσῳ, καὶ ἡμέρας μὲν οὐχ ὁρᾶται, κρύπτει γὰρ αὐτοῦ τὸ φέγγος ἥλιος, νυκτὸς δὲ διαλάμπει πόρρωθεν. καὶ τραχὺς μὲν εὑρίσκεται καὶ ἀνώμαλος, τεχνικοῖς δὲ ὀργάνοις λεαίνεται. οὗτος μαινομένους ἀποκαθίστησι τριβεὶς καὶ ποθείς. δρᾷ δὲ τὰ αὐτὰ καὶ περίαπτος.*

*Κεφ. κϛ'. Τούτων δὲ τῶν παρὰ τοῖς λίθοις δυνά- 26
μεων αἰτίας πολλοὶ ἐθάρρησαν ἀποδοῦναι, τῶν μὲν ἀρχαιοτέρων σοφῶν Ἀναξαγόρας καὶ Ἐμπεδοκλῆς καὶ Δημόκριτος, τῶν δὲ οὐ πολὺ πρὸ ἡμῶν ὁ ἐκ τῆς Ἀφροδισίας Ἀλέξανδρος ἄνθρωπος περὶ πάντων ἁπλῶς εἰπεῖν καὶ τῶν ἀπορρήτων τῆς φύσεως προχειρότατος. Σοὶ δὲ ἀποχρῶσα ἔστω ἡ ἑκάστου τῶν λίθων δύναμις καὶ ἐνέργεια· τοὺς δὲ λόγους αὐτῶν καὶ τὰς αἰτίας παρὰ τοῖς ἄνω θησαυροῖς ἔασον.*

# XV.

## ΣΩΡΑΝΟΥ ΕΦΕΣΙΟΥ
## ΠΕΡΙ ΣΗΜΕΙΩΝ ΚΑΤΑΓΜΑΤΩΝ
## ΚΑΙ
## ΒΙΟΣ ΙΠΠΟΚΡΑΤΟΥ.

---

## ΕΚ ΤΩΝ ΤΟΥ ΑΥΤΟΥ.
## ΠΕΡΙ ΜΗΤΡΑΣ ΚΑΙ ΓΥΝΑΙΚΕΙΟΥ ΑΙΔΟΙΟΥ.

---

### ΠΕΡΙ ΣΗΜΕΙΩΝ ΚΑΤΑΓΜΑΤΩΝ.

Ed. Cocchii p. 44 α΄. *Ἐπὶ κρανίου.* Κάταγμά ἐστι διαίρεσις ὀστοῦ κατ᾽ εἶδος δὲ ἐπὶ κρανίου, τὸ μὲν ὠνόμασται ῥωγμή, τὸ δὲ ἐγκοπή, τὸ δὲ καμάρωσις, τὸ δὲ ἐγγείσωμα, τὸ δὲ ἐμπίεσμα, τὸ δὲ ἀποσκεπαρνισμός, ὡς δὲ ἔνιοι λέγουσιν καὶ ἀπήχημα καὶ ἔλιγμα.

β΄. *Ῥωγμὴ* μὲν οὖν ἐστιν ἁπλῆ ῥῆξις ὀστέου παραπλησία ταῖς ὁρωμέναις ἐπὶ τῶν ὑελῶν σκευαρίων, ἡ μὲν ἄγαν στενὴ καὶ τριχοειδής, ἡ δὲ ποσῶς πλατυτέρα, διαφέρουσα κατὰ μῆκος, ἐπεί ποτε μὲν κατὰ τῶν πλείστων ἐπιδιήκει μερῶν τοῦ κρανίου, ποτὲ δὲ ἐνδοτέρω ῥαφῆς ὁρίζονται, καὶ κατὰ βάθος, ἢ γὰρ ἐξ ἐπιπολῆς μόνης ῥήγνυσθαι τὴν ἐπιφάνειαν, ἢ μέχρι διπλόης, ἢ μέχρι μηνίγγων. Καταλαμβάνεται δὲ προεσταλμένων τῶν ὑποκειμένων τῇ ὄψει, στενοῦ δὲ ὄντος τοῦ τραύματος μηλώσει. Λεπτῆς γὰρ μηλωτίδος ἐντεθείσης τραχύτης ὑποπεσεῖται. Διακρίνεται δὲ τῆς ῥαφῆς τῷ εὐθυτενεστέραν μὲν εἶναι τὴν ῥωγμήν, νύττειν τε καὶ τραχύνειν ἐνιάκις τὰ ἐπικείμενα, σκολιωτέραν δὲ τὴν ῥαφὴν καὶ μηδέποτε τραχύνουσαν. Τὴν δὲ ἄχρι μηνίγγων καταληπτέον ἐκ τῶν παρεπομένων

*μήνιγγι νυσσομένῃ καὶ φλεγμαινούσῃ καὶ διαπυϊσκούσῃ· τὴν γὰρ μηδὲν τούτων ἐπιφέρουσαν οὐδὲ καταλαμβάνειν εὔχρηστον· τότε γὰρ δεῖται τῆς ἀνασκευῆς ὅταν ἐπιφέρῃ τι τῶν εἰρημένων.*

*γ΄. Ἐγκοπὴ δέ ἐστι ῥῆξις ὀστέου πλαγία γινομένη διὰ πρόπτωσιν ἐπάκμου σώματος· καὶ ταύτης δὲ παρὰ τὸ βάθος ἡ διαφορὰ παραπλησία τῇ ῥωγμῇ, καταληπτὴ δὲ τῇ* 47 *ὁράσει, μέχρι οὗ ποτε καὶ τὴν τῆς μήνιγγος ὁρᾶσθαι παλμόν.*

*δ΄. Καμάρωσις δέ ἐστιν δυοῖν ὀστέων ἀνάκλασις πρὸς ἄλληλα τὴν συνέρεισιν ποιησαμένων, ὅταν ἐπακμόν τι σφηνωθὲν μετὰ βίας ἀνασπασθῇ, καταλαμβάνει δὲ τοῦτο ὄψις. Πρὸς δὲ τὴν σημείωσιν ὄγκος ὑποπεσεῖται μετὰ τραχύτητος. Ἔσθ᾽ ὁπότε δὲ καὶ τῆς διπλόης σωζομένης, καθ᾽ ὃ συνήρεικεν ἀλλήλοις τὰ χείλη, δι᾽ ἧς κενεμβατεῖ καθιέμενον τὸ ἄκρον τῆς μηλωτίδος.*

*ε΄. Ἐγγείσωμα δέ ἐστιν ὀστέου ῥαγέντος ὑπὸ τὸ ἀντικείμενον ὑποδρομή, θλίψιν ἐπιφέρουσα μηνίγγων, ποτὲ μὲν κατὰ πᾶν ἀπολελυμένης τῆς κατὰ βάσιν συνεχείας, ποτὲ δὲ κατά τι μενούσης.*

*ς΄. Ἐμπίεσμα δὲ ῥῆξις ὀστέου πολυμερὴς μετὰ τοῦ ὑφιζηκέναι τὸ καταγέν, ὡς καὶ θλίψιν ἀποτελεῖν. Καταλαμβάνει δὲ ἑκάτερον ὄψις καὶ μήλωσις· κοιλὸν γὰρ ἑκάτερον μετὰ τῆς ἐν κύκλῳ τραχύτητος ὑποπίπτει, καὶ σύνεικον τὸ καταγὲν ὀστοῦν πάντως.*

*ζ΄. Ἀποσκεπαρνισμὸς δὲ ὁλοτελὴς ὀστοῦ ἀποκοπὴ παράλοξος, καθάπερ ἐπὶ τῶν σκεπάρνοις ἀποπελεκομένων ξύλων· καὶ ἀποσύρματα λέγεται, συναφαιρουμένης καὶ τῆς ἐπικειμένης σαρκός.*

*η΄. Ἀπήχημα δέ ἐστιν κατ᾽ ἐνίους ἡ ἐκ τῶν ἀντικειμένων τοῖς πεπληγόσι μέρεσιν τοῦ κρανίου γενομένη ῥωγμή, δίχα τραύματος τῶν ἐπικειμένων.*

*θ΄. Θλάσμα δὲ κατ᾽ ἐνίους τὸ ἐπὶ τῶν παιδῶν τοῦ ὀστέου κοίλωμα, παραπλησίως τοῦ ἐπὶ τῶν δερματίνων ἢ μολυβδίνων ληκύθων ἄνευ ῥήξεως. Ὁ μέντοι Δημήτριος τοῦτο ἐμπίεσμα καλεῖ.*

*ι΄. Περὶ δὲ τοῖς ἄλλοις τόποις κατάγματα γίνεται, τὰ μὲν σχιδακηδὸν ὡς ἀπ᾽ εὐθείας σχίζεται, τὰ δὲ καυληδὸν*

ἢ ῥαφανηδὸν ἢ σικυηδόν, τὰ δὲ εἰς ὄνυχα ἢ καλαμηδὸν ὑπολόξως κατὰ πέρας εἰς ἄλληλα, ὥστε περιφέρειαν ἔναγμον
48 γίνεσθαι σχήματι ὄνυχος παραπλησίαν, τὰ δὲ κατὰ ἀπόθραυσιν ὡς πανταχόθεν ἀπολελυμένην ἔχειν τὴν συνέχειαν, τὰ δὲ ἀλφιτηδὸν καὶ καρυηδόν, ὅσα εἰς ἄραγμα πολυμερῶς εἰς λεπτὰ μέρη ῥήγνυται.

ια΄. Περὶ ῥινός. Ῥινὸς μὲν οὖν καταγείσης σημείωσις γίνεται ἡ σκαλίωσις, ἐνίοτε καὶ ἀποθραύεταί τι μέρος αὐτῆς καὶ διὰ τῶν δακτύλων μετάγεται. Τὴν δὲ ἄνευ πάσης διαστροφῆς ῥῆξιν διὰ μηλωτίδος καταλαμβάνομεν, ἢ καὶ δακτύλων, ἐπινυσσομένων τῶν ἐπικειμένων.

ιβ΄. Περὶ γέννυος. Γέννυς δὲ ῥαφανηδὸν μὲν πολλάκις, σχιδακηδὸν δὲ ὀλιγάκις κατάγνυται, ποτὲ δὲ καὶ κατὰ θραῦσιν ἀδιάστροφος μένει, ἢ διαστρέφεται συννεύουσα ἢ παραλλάσσουσα ἄνω ἢ κάτω, ἔσω ἢ ἔξω περιτρεπομένη. Σημειωτέον δὲ τὸ ἐπὶ ταύτης κάταγμα τῇ ὑπεροχῇ καὶ τῇ κοιλότητι, καὶ τῇ διαστροφῇ τῇ πρός τι τῶν εἰρημένων μερῶν, ὥστε μὴ κεῖσθαι τοὺς ὀδόντας αὐτοῖς οὐ καταλλήλως, καὶ τῷ πρὸς τὴν διὰ τῶν δακτύλων κίνησιν ψόφον γίνεσθαι τὸν νυγμόν, ἐν δὲ τῇ συννεύσει τὴν ὑπεροχὴν ἐν τῇ εὐρυχωρίᾳ τοῦ στόματος εὑρίσκομεν. Γινομένης δὲ περιοχῆς ἢ κοιλότητος κἂν ταῖς ἐξαρθρήσεσι, διακριτέον τὸ πρὸς τοῖς κορωνοῖς ῥαφανηδὸν γινόμενον κάταγμα, διὰ τοῦ κινεῖσθαι κατὰ τὴν διὰ τῶν δακτύλων παραγωγήν, τὸ ἐξάρθρημα δὲ ἀκίνητον εἶναι μέχρι τῆς διαστάσεως.

ιγ΄. Περὶ κλειδός. Κλειδὸς δὲ καταγείσης σχιδακηδὸν μὲν πλατυτέραν αὐτῆς τὴν θέσιν ὁρῶμεν, πρός τε τὴν ἐπέρεισιν τῶν δακτύλων ἐντυποῦται τὸ δέρμα εἰς παραμήκη κοιλότητα, καὶ προσεπινύττεται. Ῥαφανηδὸν δὲ πρὸς τὴν ἐπέρεισιν τῶν δακτύλων κινούμενον ὑποπίπτει τὸ ὀστοῦν, καὶ πρὸς τὴν παραγωγὴν διὰ τῆς ψαύσεως τρίζον· ὁ δὲ θώραξ φαίνεται στενότερος περιτροπῆς γενομένης, ὁρᾶται δὲ καὶ διαστροφὴ καὶ ὄγκος καὶ κοιλότης. Εἰς ὄνυχα δὲ τὸ ἄκρον τοῦ κατάγματος στεγνότερον ὑποπίπτει, καὶ σκόλοπι παραπλησίως νύσσει τὸ σύγκριμα. Ἀλφιτηδὸν δὲ πολλάκις, καὶ ἀνωμαλία τοῖς δακτύλοις ὑποπίπτει.

*ιδ΄. Περὶ ὠμοπλάτης.* Τῆς ὠμοπλάτης τὸ μὲν τραπεζῶδες εἰ καὶ σπανίως ῥήγνυται καὶ ἐμπιέζεται.

*ιε΄. Περὶ ῥάχεως.* Ἡ δὲ ῥάχις θραύεται, καταλαμβάνεται δὲ τραύματος μὲν γενομένου διὰ τῆς ὄψεως,
χωρὶς δὲ τραύματος ἡ μὲν ἁπλῆ ῥῆξις διὰ τῆς πρὸς τοὺς
δακτύλους ὑποπίπτει ἀνωμαλίας σὺν τῷ τοπικῷ πόνῳ. Τὸ 51
δὲ ἐμπίεσμα διὰ τῆς κοιλότητος καὶ ἀλγήματος νυγματώδους καὶ νάρκης τοῦ περικειμένου βραχίονος, καὶ εἴξεως καὶ ψόφου.

*ις΄. Περὶ στέρνου.* Στέρνου δὲ ἡ μεσότης μὲν διαιρεῖται καὶ ἐμπιέζεται, τὸ δὲ ἄκρον ἀποθραύεται. Τὴν μὲν οὖν ῥῆξιν σημειωτέον, διὰ τὴν πρὸς τοὺς δακτύλους ἀνωμαλίαν καὶ τοῦ ψόφου. Ἐμπίεσμα διὰ τῆς κοιλότητος καὶ τῆς συνείξεως, ἑπομένης δυσπνοίας καὶ βηχὸς καὶ νύξεως, ποτὲ δὲ καὶ αἵματος ἀναγωγῆς.

*ιζ΄. Περὶ πλευρᾶς.* Πλευρᾶς δὲ καταγείσης ἀνωμαλία πρὸς τοὺς δακτύλους ὑποπεσεῖται, καὶ ψόφος, καὶ διαστροφή, καὶ ὡς ἐπὶ τὸ πλεῖστον εἰς τὸ ἔνδον ἀπόνευσις, ἄλγημά τε νυγματῶδες μετὰ δυσπνοίας καὶ βηχός, ἐνιάκις δὲ ἀναγωγῆς αἵματος.

*ιη΄. Περὶ ἰσχίων.* Τὰ δὲ τῶν ἰσχίων ὀστᾶ κατὰ πέρας θραύεται, καὶ κατὰ τὴν μεσότητα παρὰ μῆκος ῥήγνυται, καὶ ἐμπιέζεται, νυγματώδεις πόνους ἀποτελοῦντα, καὶ τοῦ περικειμένου σκέλους νάρκαν. Μετακτέον οὖν τὴν ἐπὶ ὠμοπλάτης σημείωσιν, ὡσαύτως δὲ κἀπὶ τῶν τῆς ἥβης ὀστῶν.

*ιθ΄. Περὶ βραχίονος καὶ μηροῦ.* Βραχίονος δὲ καταγέντος ἢ μηροῦ, διαστροφὴ γίνεται πρὸς τοὺς τέσσαρας τόπους, πλεοναζόντως δὲ ἐπὶ μηροῦ γίνεται πρὸς τὸν ἔμπροσθεν, καὶ γὰρ εἰς τούτους φυσικῶς γεγαυσῶται. Παρέπεται δὲ ὄγκος εἰς ὃ διαστρέφεται, κοιλότης δὲ ἐξ οὗ μετάγεται, κίνησις δὲ πρὸς τὴν διὰ τῶν χειρῶν παραγωγὴν καὶ ψόφος, καὶ συνέρεισις τοῦ μήκους.

*κ΄. Περὶ πήχεος καὶ κνήμης.* Τῶν δὲ τοῦ πήχεος ὀστῶν καὶ τῶν τῆς κνήμης, ἑκατέρων μὲν καταγέντων, τὰ ὅμοια τοῖς ἐπὶ βραχίονος καὶ μηροῦ, τοῦ δὲ ἑτέρου τῶν ὀστῶν ἡ διαστροφὴ μὲν ἧττον. Παραλλάττει δὲ εἰς δύο

τόπους, τὸν ἔμπροσθεν καὶ τὸν ὀπίσω· καὶ εἰ μὲν ὁ πῆχυς ἔπαθεν, τὸν ἔσω, εἰ δὲ κερκίς, τὸν ἔξω· καὶ εἰ μὲν ἡ κνήμη, καὶ τὸν ὀπίσω, εἰ δὲ ἡ περόνη, καὶ τὸν ἔμπροσθεν.

κα'. Περὶ ἐπιγονατίδος. Ἐπιγονατίδος δὲ καταγείσης, κίνησις ὑποπίπτει τῆς κατ' αὐτῆς συνεχείας καὶ κοιλότης καὶ ψόφος.

κβ'. Περὶ καρποῦ καὶ μετακαρπίου καὶ σκυταλίδων καὶ ταρσοῦ καὶ δακτύλων. Τὰ δὲ τοῦ καρποῦ καὶ μετακαρπίου καὶ ταρσοῦ καὶ δακτύλων ἁπάντων ὀστᾶ καταγνύμενα, κινεῖται καὶ ψοφεῖ, παραπλησίως δὲ καὶ τὸ κυβοειδές.

κγ'. Περὶ ἀστραγάλου. Ἀστράγαλος δὲ οὐ κατάγνυται, διὰ τὸ περιέχεσθαι περόνῃ καὶ κυβοειδεῖ. Διὰ δὲ τὴν αὐτὴν αἰτίαν οὔτε τοῦ ὠτὸς οὔτε τοῦ τραχήλου ὁ σπόνδυλος· κέκρυπται γὰρ τῇ κοιλότητι.

κδ'. Κοινῶς δὲ ἐπὶ πάντων σημειωτέον κίνδυνον, ὅπου μετὰ τραύματος καὶ μετ' ἐκπορπίσεως, τῶν καταγέντων ὀστῶν γέγονεν ἡ πεῖσις, ἐπινύσσεται δὲ κύρια μέρη καὶ συμπάθεια παρακολουθεῖ, καὶ μελασμοὶ καὶ ἀφωνίαι καὶ καταψύξεις. Καὶ εἰς τὰ παρὰ τοῖς ἄρθροις δὲ γινόμενα, τῶν κατὰ μέσα τὰ κῶλα χαλεπώτερα σημειωτέον· οὐ γὰρ ἐξ ἴσου δέχεται τὴν ἐπίδοσιν. Καὶ περὶ καταγμάτων ἀπόχρη τοσαῦτα.

---

## ΒΙΟΣ ΙΠΠΟΚΡΑΤΟΥ.

Ed. Fabricii p.675 Κεφ. α'. Ἱπποκράτης γένει μὲν ἦν Κῷος, υἱὸς Ἡρακλείδου καὶ Φαιναρέτης, εἰς Ἡρακλέα καὶ Ἀσκληπιὸν τὸ γένος ἀναφέρων, ἀφ' οὗ μὲν εἰκοστός, ἀφ' οὗ δὲ ἐννεακαιδέκατος. μνημονεύει δὲ τῆς γενεαλογίας αὐτοῦ Ἐρατοσθένης, καὶ Φερεκύδης, καὶ Ἀπολλόδωρος, καὶ Ἄρειος ὁ Ταρσεύς. 2. Μαθητὴς δὲ γέγονεν Ἡρακλείδου τοῦ ἰδίου πατρός, εἶτα Ἡροδίκου· κατὰ δέ τινας καὶ Γοργίου τοῦ Λεοντίνου
676 ῥήτορος, φιλοσόφου δὲ Δημοκρίτου Ἀβδηρίτου· 3. Κατὰ δὲ τοὺς Πελοποννησιακοὺς ἤκμασε χρόνους, γεννηθείς, ὥς φησιν Ἰστόμαχος ἐν τῷ πρώτῳ περὶ τῆς Ἱπποκράτους αἱ-

ρίσεως, κατὰ τὸ πρῶτον ἔτος τῆς ὀγδοηκοστῆς Ὀλυμπιάδος, ὡς δὲ Σωρανὸς ὁ Κῶος ἐρευνήσας τὰ ἐν Κῷ γραμματοφυλακεῖα προστίθησι, μοναρχοῦντος Ἀβριάδα, μηνὸς ἀγριανοῦ ἕκτῃ καὶ εἰκοστῇ· παρ' ὃ καὶ ἐναγίζειν ἐν αὐτῇ μέχρι νῦν Ἱπποκράτει φησὶ τοὺς Κώους. 4. Συνασκηθεὶς δὲ ἐν τῇ ἰατρικῇ καὶ τοῖς ἐγκυκλίοις μαθήμασι, τῶν γονέων αὐτοῦ τελευτησάντων, μετέστη τῆς ἰδίας πατρίδος, ὡς μὲν κακοήθως Ἀνδρέας φησὶν ἐν τῷ περὶ τῆς ἰατρικῆς γενεαλογίας, διὰ τὸ ἐμπρῆσαι τὸ ἐν Κνίδῳ γραμματοφυλακεῖον. 5. Ἄλλοι δέ φασιν, ὅτι προθέσει τοῦ τὰ κατὰ τόπους ἀποτελούμενα θεάσασθαι, καὶ συγγυμνασθῆναι ποικιλώτερον· ὡς δὲ Σωρανὸς ὁ Κῶος ἱστορεῖ, ὄνειρος αὐτῷ παρέστη κελεύων τὴν Θεσσαλῶν γῆν κατοικεῖν.

Κεφ. β'. Τὴν δὲ σύμπασαν Ἑλλάδα θεραπεύων ἐθαυμάσθη, ὥστε καὶ ὑπὸ Περδίκκα τοῦ Μακεδόνων βασιλέως φθισικοῦ νομισθέντος παρακληθέντα δημοσίᾳ πρὸς αὐτὸν ἐλθεῖν μετ' Εὐρυφῶντος, ὃς καθ' ἡλικίαν πρεσβύτερος ἦν αὐτοῦ, καὶ σημειώσασθαι ψυχῆς εἶναι τὸ πάθος. 677
2. Ἤρα γὰρ μετὰ τὸν τοῦ πατρὸς Ἀλεξάνδρου θάνατον Φίλας τῆς παλλακίδος αὐτοῦ, πρὸς ἣν δηλώσαντα τὸ γεγονός, ἐπειδὴ παρεφύλαξεν ταύτης βλεπομένης παντελῶς ἐκεῖνον τρέπεσθαι, λῦσαι μὲν τὴν νόσον, ἀνακτήσασθαι δὲ τὸν βασιλέα. 3. Παρεκλήθη δὲ ὑπὸ τῶν Ἀβδηριτῶν πρὸς αὐτοὺς ἀπελθεῖν, καὶ Δημόκριτον μὲν ὡς ἐν μανίᾳ θεραπεῦσαι, ῥύσασθαι δὲ λοιμοῦ τὴν πόλιν ὅλην. 4. Ἀλλὰ καὶ εἰς τὴν Ἰλλυρίων καὶ Παιόνων βαρβάρων γῆν λοιμοῦ κατασκήψαντος καὶ δεομένων τῶν ἐκεῖ βασιλέων πρὸς αὐτοὺς ἐλθεῖν, παρὰ τῶν πρεσβέων, τίνα ἦν ἐκεῖ τὰ πολλὰ τῶν πνευμάτων μαθών, ἐκείνους μὲν ἀπράκτους ἀπέπεμψε. 5. Συλλογισάμενος δὲ τὴν νόσον ἐπὶ τὴν Ἀττικὴν ἥξειν, προειπὼν τὸ γενησόμενον, καὶ τῶν πόλεων καὶ τῶν μαθητῶν ἐπεμελήθη, τοσοῦτον δὲ φιλέλλην ὑπῆρξεν, ὥστε τῆς δόξης αὐτοῦ μέχρι Περσῶν διαπύστου γενομένης, καὶ διὰ τοῦτο καὶ τοῦ Ἀρταξέρξου διὰ Ἱστάνιδος τοῦ Ἑλλησποντίων ὑπάρχου ἐπὶ μεγάλαις δωρεαῖς δεομένου πρὸς αὐτὸν ἐλθεῖν, διὰ τὸ σεμνὸν καὶ ἀφιλάργυρον καὶ φιλοικεῖον ἀρνήσασθαι, ὡς καὶ τοῦτο διὰ τῆς πρὸς αὐτὸν ἐπι-

στολῆς δηλοῦται. 6. Ἐρρύσατο δὲ τὴν ἑαυτοῦ πατρίδα πολεμεῖσθαι μέλλουσαν ὑπὸ Ἀθηναίων, Θεσσαλῶν δεηθεὶς
678 ἐπιβοηθῆσαι. διὸ καὶ λαμπρῶν ἔτυχε τιμῶν παρὰ Κώοις. 7. Ἀλλὰ καὶ Θεσσαλοῖς καὶ Ἀργείοις καὶ Ἀθηναίοις, οἵτινες καὶ δεύτερον αὐτὸν ἀφ' Ἡρακλέους δημοσίᾳ τοῖς Ἐλευσινίοις ἐμύησαν, καὶ πολίτην ἔγραψαν, καὶ τὴν ἐν πρυτανείῳ σίτησιν ἔδοσαν εἰς ἐκγόνους. 8. Ἀφθόνως δὲ τοὺς ἐπιτηδείους ἐδίδασκε τὴν τέχνην μετὰ τοῦ προσήκοντος ὅρκου.

Κεφ. γ. Ἐτελεύτα δὲ παρὰ Λαρισσαίοις, ὅτε καὶ Δημόκριτος φέρεται τελευτήσας. Καὶ οἱ μὲν ἐννενήκοντα ἐτῶν, οἱ δὲ πε' φασίν, ἄλλοι ρδ', τινὲς ρθ'. 2. Τέθαπται δὲ μεταξὺ Γυρτῶνος καὶ Λαρίσσης, καὶ δείκνυται ἄχρι δεῦρο τὸ μνῆμα, ἐν ᾧ μέχρι πολλοῦ σμῆνος ἦν ἐργαζόμενον μέλι. ἀφ' οὗ τὰ ἀφθῶντα παιδάρια χρίουσαι παρὰ τῷ τάφῳ ῥαδίως ἀπήλλαττον αἱ τίτθαι. 3. Ἐν δὲ ταῖς πολλαῖς εἰκόσιν ἐσκεπασμένος τὴν κεφαλὴν αὐτοῦ γράφεται, ὡς μέν τινες λέγουσι, ἐν πίλῳ παράσημον εὐγενείας, καθάπερ Ὀδυσσεύς. ἄλλοι δὲ τῷ ἱματίῳ. καὶ τούτων οἱ μὲν δι' εὐπρεπείην, ἐπεὶ φαλακρὸς ἦν, οἱ δὲ διὰ τὸ ἀσθενὲς τῆς κεφαλῆς, οἱ δὲ δὴ ἔμφασιν τοῦ δεῖν τὸ τοῦ ἡγεμονικοῦ
679 χωρίον φρουρεῖν· οἱ δὲ τοῦ φιλαποδήμου τεκμήριον· οἱ δὲ τῆς ἐν τοῖς συγγράμμασιν ἀσαφείας· οἱ δὲ πρὸς παράστασιν τοῦ δεῖν κἂν τῷ ὑγιαίνειν φυλάσσεσθαι τὰ βλάπτοντα· τινὲς δέ, ὅτι χειρίζων πρὸς τὸ τῶν χειρῶν ἀπαραπόδιστον συμπεριλαμβάνων τὸ τοῦ ἱματίου περικεχυμένον ἐπετίθει τῇ κεφαλῇ.

Κεφ. δ'. Περὶ δὲ τῶν συγγραμμάτων αὐτοῦ πολλὴ γέγονε διαφωνία, ἄλλων ἄλλα δοξασάντων, ὅθεν οὐκ εὐμαρὲς τὸ περὶ αὐτῶν ἀποφήνασθαι, διὰ τὸ πολλὰς αἰτίας ἐπισκοτεῖν τῇ κρίσει· πρῶτον τὴν ἐπωνυμίαν· δεύτερον τὸ δύνασθαι τὸν χαρακτῆρα τῆς φράσεως τηρῆσαι· τρίτον διὰ τὸ ἕνα καὶ τὸν αὐτὸν ποτὲ μὲν ῥωμαλεώτερον, ἄλλοτε ἀσθενέστερον διὰ τὴν ἡλικίαν συγγράφειν. καὶ ἄλλας δὲ μετὰ τούτων αἰτίας ἔστιν εἰπεῖν. 2. Ἀφιλάργυρος δὲ καὶ τρόποις σεμνὸς καὶ φιλέλλην ὑπῆρχεν, ὅτι καὶ τοὺς ὁμοεθνεῖς ἐθεράπευε συμπάσῃ σπουδῇ, ὡς καὶ λοιμῶν ὅλας

ῥύσασθαι πόλεις, καθάπερ εἴρηται. ὅθεν καὶ λαμπρῶν ἔτυχε τιμῶν, οὐ παρὰ Κώοις μόνον, ἀλλὰ καὶ Ἀργείοις καὶ Ἀθηναίοις. 3. Παῖδας δὲ κατέλιπε θανὼν δύο, Θεσσαλὸν καὶ Δράκοντα· καὶ μαθητὰς παμπληθεῖς, ἐπιφανεστάτους δὲ τοὺς ἑαυτοῦ παῖδας, λέγεται καταλιπών.

---

## ΕΚ ΤΩΝ ΠΕΡΙ ΜΗΤΡΑΣ ΚΑΙ ΓΥΝΑΙΚΕΙΟΥ ΑΙΔΟΙΟΥ.

Ed. Turnebi

1. Μήτρα καὶ ὑστέρα λέγεται καὶ δελφύς· μήτρα μὲν p. 54 οὖν, ὅτι μήτηρ ἐστὶ τῶν ἐξ αὐτῆς γενομένων ἐμβρύων, ἢ ὅτι τὰς ἐχούσας αὐτὴν μητέρας ποιεῖ. κατὰ δέ τινας, ὅτι μέτρον ἐστὶ χρόνου πρὸς κάθαρσιν καὶ ἀπότεξιν. 2. Ὑστέρα δέ, διὰ τὸ ἐσχάτην κεῖσθαι τῶν σπλάγχνων, εἰ μὴ πρὸς ἀκρίβειαν, ἀλλὰ κατὰ πλάτος· δελφὺς δέ, διὰ τὸ ἀδελφῶν αὐτὴν εἶναι γεννητικήν. 3. Κεῖται δὲ ἐν τῇ τῶν ἰσχίων εὐρυχωρίᾳ μεταξὺ κύστεως καὶ ἀπευθυσμένου ἐντέρου, τούτῳ μὲν ἐπικειμένη, τῇ κύστει δὲ ὑποκειμένη, ποτὲ μὲν ὅλη, ποτὲ δὲ ἀπὸ μέρους, διὰ τὸ κατὰ μέγεθος ἐξαλλάττεσθαι. 4. Ταῖς μὲν γὰρ νηπίαις μικροτέρα τῆς κύστεως, διὸ καὶ ὅλην ταύτην ὑπελήλυθε· ταῖς δὲ ἐν ἀκμῇ παρθένοις ἴση τῇ κύστει κατὰ τὰ ὑπερκείμενα· ταῖς δὲ προσηλικεστέραις καὶ ἤδη διακεκορευμέναις καὶ μᾶλλον προκεκυηκυίαις μείζων, ὥστε ταῖς πλείσταις ἐν λήξει τοῦ κόλου προσαναπαύεσθαι. 5. Μᾶλλον δὲ ἐν τῷ κυοφορεῖν, ὡς καὶ τῇ ὁράσει καταλαμβάνειν ἐστίν, εἰς πολὺ διογκωμένου τοῦ περιτοναίου καὶ τοῦ ἐπιγαστρίου, καὶ ἐκ τοῦ τηλικοῦτον εἶναι τὸ ἀποτικτόμενον μετὰ τῶν σὺν αὐτῷ χιτώνων καὶ 55 ὑγρῶν· μετὰ δὲ τὴν ἀπότεξιν συστέλλεται μέν, ἄλλως δὲ μεῖζον ἔχει τὸ μέγεθος τοῦ πρὸ τῆς ἀποτέξεως τόπου, καὶ ἐστι μείζων τῆς κύστεως. 6. Οὐ κατ' ἴσον δὲ ὑπελήλυθεν αὐτήν· κατὰ μὲν γὰρ τὰ ἐμπρόσθια μέρη προπαλέστερός ἐστιν ὁ τῆς κύστεως τράχηλος, ὡς ἂν τὴν οὐρήθραν πέρας ἔχων, καὶ ὅλον τῷ γυναικείῳ παρατεινόμενος κόλπῳ, προανακεχώρηκε δὲ ἀπὸ τῆς ὑστέρας· κατὰ δὲ τὸ ὄπισθεν ἀνωτέρω τοῦ κύστεως πυθμένος ὁ τῆς μήτρας ἐστὶ πυθμὴν

κείμενος ὑπὸ τὸν ὀμφαλόν· ὥστε τῆς κύστεως τὴν μὲν εὐρυχωρίαν ἐπικεῖσθαι τῷ τραχήλῳ τῆς ὑστέρας, τὸν δὲ πυθμένα καὶ κύστει. 7. Συνέχεται δὲ λεπτοῖς ὑμέσιν ἡ μήτρα, πρὸς μὲν τὰ ὑποκείμενα τῇ κύστει· πρὸς δὲ τὰ ἐπικείμενα τῷ ἀπευθυσμένῳ· πρὸς δὲ τὰ πλάγια καὶ τὰ ἐξόπισθεν τοῖς ἐμπεφυκόσιν ἀπὸ τῶν ἰσχίων καὶ τοῦ ἱεροῦ ὀστέου. 8. Τούτων γοῦν συνελκομένων μὲν διὰ φλεγμονῆς ἀνασπᾶται καὶ παρεγκλίνεται· παρειμένων δὲ καὶ χαλωμένων προπίπτει, ζῶον μὲν οὐκ οὖσα, καθὼς ἐνίοις ἔδοξε, τοῖς ἄλλοις δὲ παραπλησίως αἴσθησιν τοπικὴν ἔχουσα, καὶ διὰ τοῦτο συστελλομένη ὑπὸ τῶν ψυχόντων, χαλωμένη δὲ ὑπὸ τῶν ἀραιούντων. 9. Σχῆμα δὲ μήτρας οὐχ ὡς ἐπὶ τῶν ἀλόγων ζῴων ἑλικοειδές· ἰατρικῇ δὲ σικύᾳ παραπλήσιον. Ἀπὸ γὰρ περιφεροῦς καὶ πλατέος ἀρξαμένη τοῦ κατὰ πυθμένα πέρατος, πρὸς λόγον ἐπὶ στενὸν συνάγεται τὸ στόμιον· τὸ δὲ μετὰ τοῦτο, τράχηλος· τὸ δὲ ἑπόμενον, αὐχήν· ἡ συνδρομὴ δὲ τούτων, καυλός. 10. Τὰ δὲ ἑκατέρωθεν μετὰ τὴν στενότητα τοῦ τραχήλου πλατυνόμενα πρῶτα μέρη, τῶν ὑστερῶν ὦμοι· τὰ δὲ μετὰ ταῦτα, πλευρά· τὸ δὲ ὑποκείμενον, βάσις· τὸ δ' ὅλον χώρημα, κύτος καὶ γάστρα καὶ κόλπος. 11. Τὸ δὲ στόμιον κατὰ μέσον κεῖται τοῦ γυναικείου αἰδοίου. περισφίγγεται γὰρ ὁ τράχηλος ὑπὸ τῶν πτερυγωμάτων. τούτων δὲ ἀφέστηκε τὸ στόμιον, ταῖς μὲν μᾶλλον, ταῖς δὲ ἧττον παρὰ τὰς ἡλικίας· ὡς ἐπὶ τὸ
56 πολὺ δὲ τῶν ἤδη τελείαις πέντε ἢ ἓξ δακτύλοις. προχειρότερον δὲ γίνεται κατὰ τὰς ἀποτέξεις, ἐκτεινομένου τοῦ τραχήλου. 12. Διάφορον δὲ ἔχει καὶ τὸ μέγεθος, πλὴν ἐπί γε τῶν πλείστων τῷ κατὰ φύσιν τηλικοῦτόν ἐστιν, ἡλίκον τὸ ἐκτὸς πέρας τῆς ἀκουστικῆς εὐρυχωρίας. 13. Διίσταται δὲ κατὰ τοὺς καιρούς, καθάπερ ἐν τῇ ὀρέξει τῆς συνουσίας πρὸς παραδοχὴν τοῦ σπέρματος, κἀν ταῖς καθάρσεσι πρὸς ἀπόκρισιν τοῦ αἵματος, κἀν ταῖς συλλήψεσι πρὸς λόγον τῆς τοῦ ἐμβρύου συναυξήσεως. ἐν δὲ τῇ ἀποτέξει καὶ πλεῖστον προσανευρύνεται, μέχρι τοῦ χεῖρα τελείαν παραδέχεσθαι. 14. Κατὰ μέντοι τὴν φύσιν τρυφερόν ἐστι καὶ σαρκῶδες· ἐπὶ δὲ τῶν ἀδιακορεύτων σομφότητι πνεύμονος ἢ τρυφερείᾳ γλώττης ἐοικός· ἐπὶ δὲ τῶν ἀποκεκυηκυιῶν θο-

λοειδέστερον γίνεται, κεφάλη πολυπόδος ἢ ἄκρῳ βρόγχου, καθὼς φησιν Ἡρόφιλος, ὅμοιον, τυλούμενον τῇ παρόδῳ τῶν ἀποκρινομένων καὶ ἀποτικτομένων. 15. Ἡ δ' ὅλη μήτρα κατὰ τὸ πλεῖστον δυνάμεών ἐστι νευρώδης. σύγκειται γὰρ οὐκ ἐκ νεύρων μόνον, ἀλλὰ καὶ φλεβῶν καὶ σαρκῶν καὶ ἀρτηριῶν, ἐξ ὧν τὰ νεῦρα μὲν ἀπὸ νωτιαίας μήνιγγος λαμβάνει τὴν καταρχήν· αἱ δὲ ἀρτηρίαι καὶ φλέβες ἀπὸ τῆς παρακειμένης τῇ ῥάχει κοίλης φλεβὸς καὶ παχείας ἀρτηρίας. 16. Δύο μὲν γὰρ ἀποσχίζονται φλέβες ἀπὸ τῆς κοίλης φλεβός. δύο δὲ ἀρτηρίαι ἀπὸ τῆς παχείας ἀρτηρίας, ὧν ἀνὰ μία φλὲψ καὶ ἀρτηρία φέρονται πρὸς ἑκάτερον νεφρόν· ἔπειτα πρὶν εἰς αὐτοὺς ἐμφυῆναι δισχιδεῖς γιγνόμεναι, ταῖς μὲν δυσὶν ἐκφύσεσιν εἰς ἑκάτερον νεφρὸν ἐμφύονται, ταῖς δὲ δυσὶν τὴν ὑστέραν ἀναπλέκουσιν, ὥστε γίγνεσθαι τεσσάρων εἰς αὐτὴν ἀγγείων ἔμφυσιν, δύο μὲν ἀρτηριῶν, δύο δὲ φλεβῶν. ἐκ τούτων δὲ καὶ εἰς ἑκάτερον τῶν διδύμων ἀνὰ μία φλέψ, ἀνὰ μία ἐμπέφυκεν ἀρτηρία. 17. Προσπαραπεφύκασι δὲ ἔξωθεν οἱ δίδυμοι συνεγγὺς τοῦ αὐχένος πρὸς ἑκάτερον πλευρὸν ἀνὰ εἷς, καὶ εἰσὶ μὲν ψαφαροὶ καὶ ἀδενώδεις ἰδίῳ σκεπόμενοι ὑμένει· κατὰ σχῆμα δὲ οὐχ ὡς ἐπὶ τῶν ἀρρένων ὑπομήκεις ὑπάρχουσιν· ὑπόσιμοι δὲ καὶ στρογγύλοι ἐπ' ὀλίγον πλατυνόμενοι κατὰ 57 βάσιν. 18. Ὁ σπερματικὸς δὲ πόρος ἀπὸ ὑστέρας δι' ἑκατέρου φέρεται διδύμου, καὶ ταῖς παρασκευαῖς παρατεθεὶς μέχρι τῆς κύστεως εἰς τὸν ταύτης ἐμφύεται τράχηλον. ἔνθεν δὲ δοκεῖ τὸ τῶν θήλεων σπέρμα πρὸς ζωογονίαν [οὐ] συλλαμβάνεσθαι τῷ εἰς τὸ ἐκτὸς ἐκχεῖσθαι, περὶ οὗ περιελάβομεν ἐν τῷ περὶ σπέρματος λόγῳ. 19. Ἔνιοι δέ, καθὼς βούλεται καὶ [ὁ] Χῖος, καὶ ἕνα κρεμαστῆρά φασιν αὐτοῖς ἐμπεφυκέναι· καὶ ἡμεῖς δὲ τοῦτο ἐπὶ τῆς αὐτοψίας ἱστορήκαμεν ἐπί τινος ἐντεροκηλικῆς γυναικός, ἐφ' ᾗ ἐν τῇ χειρουργίᾳ προίπιπτεν ὁ δίδυμος, χαλασθέντων τῶν κατεχόντων αὐτὸν καὶ περιειληφότων ἀγγείων, σὺν οἷς καὶ ὁ κρεμαστὴρ ὑπερέπεσεν. 20. Ἡ δ' ὅλη μήτρα συνέστηκεν ἐκ δυοῖν χιτώνων ἑαυτοῖς ἐσχηματισμένων ἐμφερῶν ταῖς τῶν χορτῶν ἰσίν. 21. Ὁ μὲν οὖν ἔξωθεν νευρωδέστερός ἐστι καὶ λειότερος, καὶ σκληρότερος, καὶ λευκότερος· ὁ δ' ἐσω-

θεν σαρκωδέστερος, καὶ δασύτερος, καὶ ἁπαλώτερος, καὶ ἐνερευθέστερος, δι᾽ ὅλου μὲν καταπεπλεγμένος ἀγγείοις· πλείοσι δὲ καὶ ἀξιολόγοις κατὰ τὸν πυθμένα, καὶ τοῦ σπέρματος ἐκεῖ κολλωμένου, καὶ τῆς καθάρσεως ἐκεῖθεν φερομένης. 22. Οἱ μέντοι δύο χιτῶνες αὐτῆς συνέχονται πρὸς ἀλλήλους ὑμέσι λαγαροῖς καὶ νεύροις, ὥστε πολλάκις ἐπεκτεινομένων αὐτῶν προπίπτειν τὴν ὑστέραν, τοῦ μὲν νευρώδους χιτῶνος κατὰ χώραν μένοντος, τοῦ δὲ ἔσωθεν κατ᾽ ἐκτροπὴν προπίπτοντος. 23. Ἔτι κοινῶς ἐπὶ μὲν τῶν ἀτόκων ἡ μήτρα κατὰ τὸν πυθμένα στολίδας ἔχει δύο, κατὰ τὸ πλεῖστον πιλοειδῶς ἐνδεδιπλωμένας· ἐπὶ δὲ τῶν τετοκυιῶν ἐκτείνεται ὅλη καὶ περιφερὴς γίνεται. 24. Διοκλῆς δὲ καὶ κοτυληδόνας ἢ πλεκτάνας καὶ καρδίας κεραίας λεγομένας εἶναί φησιν ἐν τῇ εὐρυχωρίᾳ ὑστέρας, αἵ τινες μαστοειδεῖς ἐκφύσεις ὑπάρχουσι, πλατεῖαι μὲν κατὰ βάσιν, μείουροι δὲ κατὰ τὸ ἄκρον, ἑκατέρωθεν κείμεναι τῶν πλευρῶν, προνοητικῶς ὑπὸ τῆς φύσεως γεγεννημέναι χάριν
58 τοῦ τὸ ἔμβρυον προμελετᾶν τὰς θηλὰς τῶν μαστῶν ἐπισπᾶσθαι. 25. Καταψεύδονται δὲ τῆς ἀνατομῆς. Οὐχ εὑρίσκονται γὰρ αἱ κοτυληδόνες, καὶ ἀφυσικός ἐστιν ὁ περὶ αὐτῶν εἰσαγόμενος λόγος, ὡς ἐν τοῖς περὶ ζωογονίας ὑπομνήμασιν ἀποδέδεικται. 26. Τὴν μέντοι γε μήτραν οὐχ ὑποληπτέον κυριότητα πρὸς τὸ ζῆν ἔχειν. οὐ γὰρ προπίπτει μόνον, ἐπ᾽ ἐνίων δὲ καὶ ἀποκόπτεται δίχα τοῦ θάνατον αὐτὸν ἐπενεγκεῖν, ὡς ἱστόρηκε Θεμισών. Ἐν Γαλατίᾳ δὲ τὰς σῦς εὐτροφωτέρας γίγνεσθαί φασι μετὰ τὴν ἐκτομὴν τῆς μήτρας. 27. Πάσχουσα μέντοι πρὸς συμπάθειαν στόμαχον ἄγει καὶ μήνιγγας. ἔστι δέ τις αὐτῇ καὶ πρὸς τοὺς μαστοὺς φυσικὴ συμπάθεια. μεγεθυνομένης γοῦν αὐτῆς ἐν ταῖς ἀκμαῖς, καὶ οἱ μαστοὶ συνδιογκοῦνται· καὶ αὐτὴ μὲν τὸ σπέρμα τελεσιουργεῖ, μαστοὶ δ᾽ εἰς τροφὴν τῶν κυησομένων γάλα παρασκευάζουσι. 28. Καὶ φερομένων μὲν τῶν καταμηνίων σβέννυται τὸ γάλα, φερομένου δὲ τοῦ γάλακτος οὐκέτι φαίνεται κάθαρσις· καθάπερ καὶ ἐπὶ τῶν παρηλικεστέρων συστελλομένης τῆς ὑστέρας καὶ οἱ μαστοὶ τρόπῳ τινὶ μαραίνονται, καὶ πάσχοντος τοῦ ἐμβρύου στενοῦται τὸ μέγεθος αὐτῶν. ἐπὶ γοῦν τῶν κυο-

φορουσῶν θεασάμενοι ῥηγνυμένους τοὺς μαστοὺς καὶ συναγομένους, γενησομένην προλέγομεν τὴν ἔκτρωσιν. καὶ τοιαύτη μὲν ἡ φύσις τῆς μήτρας.

### ΠΕΡΙ ΓΥΝΑΙΚΕΙΟΥ ΑΙΔΟΙΟΥ.

1. Τὸ δὲ γυναικεῖον αἰδοῖον καὶ κόλπος ὠνόμασται. ἐκεῖνος ὑμὴν δέ ἐστι νευρώδης καὶ ὑπό τι περιφερὴς ὥσπερ ἔντερον, εὐρυχωρέστερον μὲν κατὰ τὸ ἔνδον· στενότερον δὲ κατὰ τὸ ἐκτός, ἐν ᾧ καὶ τοὺς πλησιασμοὺς συμβέβηκε γίγνεσθαι. 2. Τὸ μὲν ἔνδον αὐτοῦ μέρος περιπέφυκεν τῷ τραχήλῳ τῆς μήτρας ὡς ἐπὶ τῶν ἀρρένων· τὸ δὲ ἔξω τοῖς πτερυγώμασι, τὸ δὲ κάτω τῇ ἕδρᾳ, τὰ δὲ πλάγια τοῖς σαρκώδεσι τῶν ἰσχίων, τὸ δ' ἄνω τῷ τραχήλῳ τῆς κύστεως. 3. Οὗτος γάρ, ὡς ἔφην, ὑπερπεσὼν τὸ στόμιον τῆς ὑστέρας καὶ παραταθεὶς ἄνωθεν τῷ αἰδοίῳ κατ' ἄκρον εἰς τὸν 59
οὐρητικὸν πόρον ἐμφύεται. φαίνεται τοίνυν, ὡς ὁ γυναικεῖος κόλπος ὑπόκειται μὲν τῷ τραχήλῳ τῆς κύστεως, ἐπίκειται δὲ τῷ δακτυλίῳ καὶ τῷ σφιγκτῆρι καὶ τῷ ἄκρῳ τοῦ ἀπευθυσμένου. 4. Κατὰ δὲ μῆκός ἐστιν, ὡς ἔμπροσθεν ὑπεδείξαμεν, ἄνισος οὐ μόνον παρὰ τὰς ἡλικίας ἢ παρὰ τὰς συνουσίας, ἐν αἷς ἐπεκτεινομένη ἡ ὑστέρα ὥσπερ καὶ τὸ τῶν ἀρρένων αἰδοῖον, ἐπιλαμβάνει τι τοῦ κόλπου, ἀλλὰ καὶ τῇ φύσει, τῷ τινὰς μὲν προπετέστερον ἔχειν τὸν τράχηλον, τινὰς δὲ ἄγαν κολοβόν· ταῖς δὲ πλείσταις τῶν τελείων ἓξ ἐστι δακτύλων. 5. Συμπέπτωκε μέντοι, καὶ στενότερός ἐστιν ἐπὶ παρθένων, στολίσι κεχρημένος ὑπ' ἀγγείων ἀπὸ τῆς ὑστέρας τὴν ἀπόφυσιν εἰληφότων, ἅπερ καὶ κατὰ τὰς διακορεύσεις ὀδύνην ἐπιφέρει ἁπλουμένων στολίδων. ῥήγνυται γὰρ καὶ ἀποκρίνεται τὸ συνήθως ἐπιφερόμενον αἷμα. 6. Τὸ γὰρ οἴεσθαι διαπεφυκέναι λεπτὸν ὑμένα διαφράσσοντα τὸν κόλπον, τοῦτον δὲ ῥήγνυσθαι κατὰ τὰς διακορεύσεις καὶ ὀδύνην ἐπιφέρειν, καὶ θᾶττον καθάρσεις κινεῖν, τὸν δὲ σωματοποιηθέντα τὸ ἄτρητον λεγόμενον πάθος ἀποτελεῖν, ψεῦδός ἐστι. 7. Πρῶτον μὲν γὰρ διὰ τῆς ἀνατομῆς οὐχ εὑρίσκεται· δεύτερον δὲ ἐπὶ τῶν παρθένων ἐχρῆν ἀντικόπτειν τι τῇ μηλώσει· νυνὶ δὲ μέχρι βάθους ἄπεισιν ἡ μήλη. 8. Τρίτον δέ, εἰ κατὰ τὰς δια-

κορεύσεις ῥηγνύμενος ὁδ' ὑμὴν ὀδύνης γίνεται παραίτιος, ἔχρην ἐξ ἀνάγκης ἐπὶ τῶν παρθένων ἔμπροσθεν τῆς διακορεύσεως ἐπιφανείσης καθάρσεως περιοδυνίαν παρακολουθῆσαι, κατὰ δὲ τὴν διακόρευσιν μηκέτι· καὶ ἄλλως, εἰ σωματοποιηθεὶς ὁ ὑμὴν τὸ ἄτρητον ποιεῖ πάθος, ἔδει κατὰ τὸν αὐτὸν τρόπον εὑρίσκεσθαι διηνεκῶς αὐτόν, ὃν τρόπον καὶ ἐπὶ τῶν ἄλλων μερῶν ἕκαστον ἐπὶ τοῦ ἰδίου τόπου πάντοτε θεωρούμενον· νυνὶ δὲ ἐπὶ τῶν ἀτρήτων ὁ διαφράττων ὑμὴν αὐτὸν τὸν πόρον, ποτὲ μὲν κατὰ πρόχειρα μέρη τῶν πτερυγωμάτων εὑρίσκεται, ποτὲ δὲ κατὰ μέσον τοῦ αἰδοίου, ἄλλοτε δὲ κατὰ μέσον τὸ στόμιον τῆς ὑστέρας.

60 9. Τοιοῦτος μὲν οὖν ἐστι καὶ ὁ γυναικεῖος κόλπος· τὰ δὲ ἔξωθεν αὐτοῦ καὶ φερόμενα πτερυγώματα καλεῖται τρόπῳ τινὶ χείλη τοῦ κόλπου καθεστῶτα· παχέα δέ ἐστι καὶ σαρκώδη καὶ πρὸς μὲν τὰ κάτω ἑκάτερον εἰς μηρὸν ἀποτελευτᾷ, καθάπερ ἀλλήλων ἀποσχισθέντα. 10. Πρὸς δὲ τὰ ὕπερθεν εἰς τὴν λεγομένην ἀπολήγει νύμφην· αὐτὴ δὲ τοῖν δυοῖν πτερυγωμάτων ἐστὶν ἀρχή· τῇ φύσει δὲ σαρκίδιόν ἐστι ὡσανεὶ κυῶδες. 11. Νύμφη δὲ εἴρηται διὰ τὸ *νυμφετομίαις ἐπὶ τῷ τραχήλῳ τῆς κύστεως. καλεῖται δὲ οὐρήθρα. ἡ δὲ ἐντὸς στολιδώδης, τραχεῖά τε καὶ κοίλη. 12. Διαφέρει δὲ τῆς ἐπ' ἀνδρῶν ἡ ἐπὶ θηλειῶν κύστις· ἐκείνη μὲν γὰρ μείζων ἐστὶ καὶ σκολιὸν ἔχει τὸν τράχηλον· αὕτη δὲ μικροτέρα καὶ εὐθυτράχηλος.

# XVI.

## ΘΕΟΦΙΛΟΥ
## ΠΕΡΙ ΟΥΡΩΝ ΒΙΒΛΙΟΝ.

---

### ΠΡΟΟΙΜΙΟΝ.

Ed. Guid.

Τὴν περὶ τῶν οὔρων πραγματείαν πολλοὶ τῶν ἀρχαίων p. 64 ἰατρῶν ἐπεχείρησαν γράψαι, ὧν πρῶτος ἁπάντων Ἱπποκράτης ὁ Κῶος, οὗ τοῖς βιβλίοις ἐνετύχομεν. Μετὰ δὲ τοῦτον Γαληνὸς ὁ θαυμάσιος ἰατρὸς ἐπεχείρησέ τε καὶ ἔγραψεν· εἶτα μετ' αὐτὸν Μάγνος ἰατροσοφιστής. 2. Οὗτοι μὲν οὖν οἱ ἄνδρες ἐπαίνων εἰσὶν ἄξιοι, ὅτι πρῶτοι ταῖς ἐπιβολαῖς ἐχρήσαντο καὶ ἐσπούδασαν εὑρεῖν τι χρήσιμον ἐν τῷ βίῳ· οὐδεὶς μέντοι γε τῶν ἀνδρῶν τελείαν καὶ ἀνελλιπῆ τὴν διδασκαλίαν ἐποιήσατο. 3. Ὁ μὲν γὰρ Ἱπποκράτης περὶ οὔρων ἐξηγησάμενος ἄλλοτε ἀλλαχοῦ ἐν ταῖς πραγματείαις αὐτοῦ κατασποράδην γένη τε καὶ εἴδη καὶ διαφορὰς αὐτῶν καὶ τὰς ἐξ αὐτῶν διαγνώσεις τε καὶ προγνώσεις ἐν ταῖς ἐσομέναις τῶν μορίων διαθέσεσι παρὰ φύσιν, ἔν τε τοῖς ὑγιαίνουσι σώμασι, καὶ ἐν τοῖς ὀξέσι νοσήμασιν, ἐλλιπῆ τὴν διδασκαλίαν κατέλιπεν. 4. Ὡσαύτως δὲ καὶ ὁ μετ' αὐτὸν Γαληνὸς ἐν τῇ περὶ κρίσεων πραγματείᾳ 66 αὐτοῦ συνθείς τε καὶ διδάξας περὶ οὔρων πολλὰ ἀδιόριστα καὶ ἀσαφῆ κατέλιπε κατά τε γένη καὶ εἴδη καὶ διαφοράς. 5. Ἀκολούθως δὲ τούτοις ἐπιγενόμενος ὁ Μάγνος, ἰατρὸς μὲν τῷ λόγῳ, ἄπειρος δὲ τῷ πράγματι, μεταχειρισάμενος καὶ αὐτὸς τὴν περὶ αὐτῶν τέχνην, καὶ κατὰ διαίρεσιν ἀρξάμενος τάς τε διαφορὰς αὐτῶν καὶ τὰ εἴδη συνέγραψε, καὶ τὰ διαγνωστικὰ σήματα τὰ ἐξ αὐτῶν γινόμενα ἢ μέλλοντα γίνεσθαι πολλὰ παραλιπὼν ἀτελῆ καὶ αὐτὸς τὴν διδασκαλίαν κατέλιπε, ὡς πολλὰ ζητεῖσθαι παρὰ τῶν μετέ-

πειτα γινομένων ἰατρῶν καὶ μηδαμοῦ τὴν λύσιν δυναμέ-
νων εὑρεῖν, ἀναγκάζεσθαι ζητεῖν ἑτέραν διδασκαλίαν, καὶ
μὴ μάτην ἐκ τῶν διδαχθέντων τηρεῖν καὶ στοχάζεσθαι τὰ
ἐξ αὐτῶν τῶν φαινομένων ἀφανῆ πράγματά τε καὶ δια-
νοήματα. 6. Ἡ γὰρ τῶν οὔρων ἐπιτήδειος θεωρία φανερὰ
γενομένη τοὺς ἀφανεῖς πάσχοντας τόπους διαγινώσκει πῶς
τε διάκεινται καὶ κατὰ ποίαν κρᾶσιν αὐτῶν ἕκαστος πάσχει,
ἢ κατὰ φύσιν διάκειται, ἢ τοῦ κατὰ φύσιν ἐξεστηκὼς παρὰ
φύσιν διετέθη. 7. Τῆς γὰρ αἱματοποιητικῆς δυνάμεως
κατὰ τὸ ἴδιον ἔργον ὀκλασάσης ἄγγελος ἀψευδὴς ἡ τῶν οὔ-
68 ρων ἀκριβὴς θεωρία πέφυκεν· 8. Οὐκοῦν δέον ἡμῖν ἐστι
περὶ οὔρων μέλλουσι διδάξαι, ἐπικαλέσασθαι Χριστὸν τὸν
ἀληθινὸν θεὸν ἡμῶν ἀρωγὸν καὶ βοηθὸν καὶ ὁδηγὸν γε-
νέσθαι εἰς τὴν τοιαύτην διδασκαλίαν, ὅπως ἀξιωθείημεν
ἀνελλιπῆ καὶ ἀνυστέρητον ταύτην ἀποτελέσαι. 9. Χρὴ οὖν
ἡμᾶς πρότερον ὁρίσασθαι, τί ἐστιν αὐτὸ τὸ οὖρον· ἔπειτα
διασαφῆσαι τὸν τόπον, εἰς ὃν γεννᾶται, εἶτα τὸν τόπον,
εἰς ὃν διακρίνεται· καὶ εἶθ᾽ οὕτως ἀπάρξασθαι τῆς δι-
δασκαλίας κατά τε γένη καὶ εἴδη καὶ διαφορὰς αὐτῶν.

### α΄. Τί ἐστι τὸ οὖρον.

Οὖρον τοίνυν ἐστὶ τὸ περιήθημα τοῦ αἵματος· τοῦτο δὲ ἄλλοι ὀρρῶδες περίττωμα ἐκάλεσαν, ἄλλοι δὲ ὑδατῶδες, ἄλλοι δὲ ἰχῶρα αἵματος. Περὶ μὲν οὖν τῶν ὀνομάτων αὐτῶν οὐδεμία φιλονεικία.

### β΄. Περὶ τόπου εἰς ὃν γεννᾶται τὸ οὖρον, καὶ εἰς ὃν διακρίνεται.

1. Γεννᾶται τοίνυν τὸ οὖρον ἐν τῇ στελεχιαίᾳ φλεβὶ
κατὰ τὰ σιμὰ τοῦ ἥπατος κατεσπαρμένῃ, ἐν ᾗ καὶ ἡ αἱ-
70 ματοποιητικὴ δύναμις τὸ ἔργον αὐτῆς ἀποτελεῖ. 2. Ἐστὶ
δὲ ἡ γένεσις αὐτοῦ τοιάδε· τοῦ αἵματος κατασκευασθέν-
τος καὶ ταραχῆς ἐν αὐτῷ γενομένης, ὅσον μὲν κοῦφον καὶ
ἀνωφερὲς ὅπερ καὶ ξανθοχολικὸν περίττωμά τι πέφυκεν
εἶναι, λαμβάνει αὐτὸ ἡ χοληδόχος κύστις διὰ τοῦ αὐτῆς
πόρου, πλησίον κειμένη τοῦ ἥπατος· τὸ δὲ γεῶδες καὶ οἷον
τρυγῶδες τοῦ αἵματος ἕλκει ὁ σπλὴν διὰ τοῦ αὐτοῦ πόρου·
καταλείπεται γοῦν τὸ ὑδατῶδες περίττωμα σὺν τῷ αἵματι.

3. Τοῦτο λαμβάνοντες οἱ νεφροὶ διὰ μέσης τῆς κοίλης φλεβός, εἰδοποιοῦσιν αὐτὸ εἰς οὔρου κατασκευήν. 4. Φαίη δ' ἄν τις εἰκότως, διὰ τί τῆς χοληδόχου κύστεως καὶ τοῦ σπληνὸς ἐκ τῶν σιμῶν τοῦ ἥπατος λαμβανόντων τὰ τοῦ αἵματος περιττώματα, μὴ καὶ οἱ νεφροὶ ἐγγὺς κείμενοι ἐλάμβανον τὸ ὑδατῶδες περίττωμα ἐκ τοῦ αὐτοῦ πόρου; καὶ λέγομεν μεγάλης ἕνεκα χρείας τοῦτο ἡ φύσις ἀπεκράτησεν. 5. Ἡ γὰρ στελεχιαία φλέψ, ἡ τὸ αἷμα κατεργαζομένη, ἐν τοῖς σιμοῖς τοῦ ἥπατος κειμένη, συμβάλλει κατὰ τὰ κλώνια αὐτῆς τῇ κοιλῇ φλεβί, τῇ κατὰ τὰ κυρτὰ τοῦ ἥπατος κειμένῃ κατά τινας πόρους στενοὺς καὶ τροχοειδεῖς. 6. Τοῦ οὖν αἵματος κατὰ τὴν σύστασιν παχέος ὄντος καὶ μὴ δυναμένου τὰς στενὰς ἀκωλύτως ὁδοὺς διαπεράσαι, ἐδεήθη συμπαρεῖναι αὐτῷ τὸ ὑδατῶδες περίττωμα, ἵνα τῇ λεπτότητι τοῦ ὀρρώδους περιττώματος εὐκόλως σὺν αὐτῷ διοδεύσῃ καὶ τὸ αἷμα πρὸς τὴν κοίλην φλέβα. 7. Ἐπὰν δὲ ὠθισθῇ τὸ τοιοῦτον περίττωμα κατὰ τὸ πρέμνον τῆς κοίλης 72
φλεβός, ὅπερ ἐπίκειται τῇ ῥάχει ἄνωθεν ἕως κάτω, *** οἱ νεφροὶ τὸ τοιοῦτον περίττωμα δεξάμενοι, εἶθ' οὕτως εἰδοποιήσαντες αὐτὸ καὶ εἰς οὔρου σύστασιν μεταβαλόντες διὰ τῶν οὐρητήρων ἀποπέμπουσι κατὰ τὴν οὐρηδόχον κύστιν. 8. Καὶ εἰ μὲν εἰλικρινὲς καὶ καθαρὸν τὸ αἷμα ἀποτελεσθῇ, δῆλον ὅτι καὶ τὸ αὐτοῦ περίττωμα τοιοῦτον ἂν γένοιτο· εἰ δὲ κατά τινα ἀποτυχίαν ἡ αἱματοποιητικὴ δύναμις ἐμποδισθῇ τὸ ἔργον αὐτῆς τελειῶσαι, τοιοῦτον ἂν γένοιτο καὶ τὸ ὑδατῶδες περίττωμα, ὅπερ καὶ οὖρον ἐκαλέσαμεν. 9. Διὰ τοῦτο ποτὲ μὲν λεπτὰ τὰ οὖρα καὶ λευκὰ φαίνεται, ποτὲ δὲ παχέα, ὠμοτέρου που τοῦ αἵματος γεγονότος καὶ ἀτελοῦς τῆς αἱματοποιητικῆς δυνάμεως καὶ πέψεως γεγονυίας καὶ οἷον ὠμοτέρας· ἄλλοτε δὲ καὶ ὑπεροπτηθέντος καὶ οἷον ὑπερζέσαντος τοῦ αἵματος, τοιοῦτον καὶ τὸ αὐτοῦ περίττωμα γενήσεται, ὥστε διὰ τὰς τοιαύτας αἰτίας καὶ τὸ οὖρον κατ' εἶδος μεταβάλλεται.

### γ'. Περὶ τοῦ κατὰ φύσιν οὔρου. 74

1. Εἴπωμεν οὖν περὶ τοῦ κατὰ φύσιν οὔρου, τοῦ ἐκ τῆς ἀκριβοῦς κατασκευῆς τοῦ αἵματος γεγονότος, ὁποῖον

δεῖ εἶναι, καὶ ὁρισώμεθα τὸ ἄριστον οὖρον, ὅπερ καὶ κατὰ φύσιν ὠνόμασται, ἵνα τὸ ὑπερβάλλον τοῦδε ἢ ἐλλεῖπον, οὐ κατὰ φύσιν, ἀλλὰ παρὰ φύσιν λογιζώμεθα. 2. Ἔστιν οὖν ὁ κανὼν τοῦ κατὰ φύσιν οὔρου τοιόσδε· Ἄριστόν ἐστι, καθώς φησιν Ἱπποκράτης τὸ λευκὴν καὶ λείην καὶ ὁμαλὴν ὑπόστασιν ἔχον· δηλονότι ἐπακολουθούσης συστάσεως συμμέτρου, ἢ χρώματος τοῦ δέοντος ὡς εἶναι τὸν ὁρισμὸν τὸν ὁριζόμενον τέλειον. 3. Οὖρον ἄριστόν ἐστι τὸ συστάσει σύμμετρον· τῇ δὲ ὑποστάσει λευκὸν καὶ λεῖον καὶ ὁμαλόν. τῷ χρώματι πυρρόν τε καὶ ὑπόπυρρον καὶ ὀλίγον τι μέτοχον τοῦ ξανθοῦ διὰ τὴν στιλπνότητα καὶ τὸν χρόνον ὁμοίως ἐπακολουθοῦν. 4. Ὁ μὲν γὰρ Γαληνὸς τὸ ὑπόπυρρον καὶ ὑπόξανθον ἄριστον ἔφησεν εἶναι· ὁ δὲ Μάγνος τὸ πυρρόν τε καὶ ὑπόπυρρον· ἡμεῖς δὲ ἐν συμμετρίᾳ ἀμφοτέρων πεποιήκαμεν· ὅσα δὲ κατά τι τῶν τεσσάρων τούτων ἢ ἐλλείπει ἢ πλεονάζει, ταῦτα μὴ κατὰ φύσιν λέγομεν γίνεσθαι.

76 δ'. Περὶ τῆς συστάσεως.

1. Περὶ μὲν οὖν τῶν χρωμάτων καὶ περὶ ὑποστάσεως, οὐ τοῦ παρόντος λέγειν καιροῦ· προϊὼν γὰρ ὁ λόγος διδάξει. Κατὰ δὲ τὸ παρὸν εἴπωμεν περὶ συστάσεως, ἐπειδὴ πᾶν οὖρον κατ' οὐσίαν αὕτη ἡ σύστασίς ἐστιν. 2. Ἡ γὰρ οὐσία τοῦ οὔρου ὑγρότης ἐστί· ταύτην δὲ τὴν ὑγρότητα πολλοὶ τῶν ἀρχαίων καὶ σοφωτάτων ἰατρῶν χύμα ἐκάλεσαν, ὅτι κεχύσθαι ἐν αὐτῷ τι θεωρεῖται. 3. Ταύτης τῆς συστάσεως αἱ πρῶται διαφοραὶ δύο εἰσί, λεπτότης καὶ παχύτης, καὶ ἡ ἐξ αὐτῶν μικτή, σύμμετρος. 4. Αὕτη ἡ σύμμετρος ἐπειδὴ κατὰ φύσιν ἐστίν, οὐ διαιρεῖται· ἡ δὲ λεπτὴ σύστασις ἢ οὐρεῖται λεπτὴ καὶ μένει λεπτή, ἢ οὐρεῖται λεπτὴ καὶ ἀναθολοῦται καὶ γίνεται παχεῖα καί ἐστιν ἡ μὲν προτέρα ἄπεπτος ἐσχάτως, ἡ δὲ ἀναθολουμένη καὶ εἰς πάχος μεταποιουμένη πέψεως ἀρχὴν δηλοῖ λαμβάνειν. 5. Ὡσαύτως δὲ καὶ ἡ παχεῖα τέμνεται διχῇ· ἢ οὐρεῖται παχεῖα καὶ μένει οὕτως· ἢ οὐρεῖται μὲν παχεῖα, καθισταμένη δὲ γίνεται λεπτή· καὶ δηλοῖ ἡ μὲν προτέρα τὴν ταραχὴν ἐν τῷ σώματι γιγνομένην τῶν χυμῶν ἰσχυράν, ἡ δὲ δευτέρα

τὴν μὲν ταραχὴν διακρίνεσθαι, τὴν δὲ αἱματοποιήσεως πέψιν ἤδη διεγείρεσθαι.

### ε΄. Περὶ τῆς λεπτῆς συστάσεως μετὰ τοῦ λευκοῦ χρώματος. 78

1. Πλέξωμεν οὖν δὴ τῷ χρώματι τὴν σύστασιν καὶ διορισώμεθα τὰ ἐξ αὐτῆς γενόμενα τῶν συμπλοκῶν σημεῖα ἔν τε τοῖς ὑγιαίνουσιν ἀνθρώποις καὶ τοῖς ὁπωσοῦν νοσοῦσι. 2. Καὶ ἐπειδὴ τὸ λευκὸν χρῶμα προηγεῖται τῶν ἄλλων χρωμάτων, καὶ ἡ λεπτὴ σύστασις τῶν ἐν τῇ συστάσει ποιοτήτων, συνθήσωμεν πρότερον λεπτὴν καὶ λευκὴν σύστασιν. 3. Ἡ μὲν οὖν λεπτὴ καὶ λευκὴ σύστασις τοῦ οὔρου πολλὰ σημαίνει. Οὖρον γὰρ ἐλθὸν πάνυ λευκὸν καὶ λεπτὸν ἐν ὑγιαίνουσιν ἀνθρώποις πολυποσίαν σημαίνει μετὰ δαψιλοῦς τροφῆς, καὶ μάλιστα εἴ ἐστιν ὁ οἶνος ἐξίτηλος. „Οὖρον τοιοῦτον ἐν τοῖς παισὶν οὐρηθὲν κακόν· τὰ γὰρ ὑδατώδη οὖρα τοῖσι παιδίοισι κάκιστα." 4. Οὖρον τοιοῦτον ἐλθὸν σημαίνει ἀσθένειαν δυνάμεως ὡς ἐπὶ τοῦ κατὰ φύσιν γήρως, καὶ ἀσθένειαν χρονίου νοσήματος τοῦ ὀνομαζομένου παρὰ τοῖς σοφοῖς τῶν ἰατρῶν ἐκ νόσου γῆρας. 5. Οὖρον λεπτὸν καὶ λευκὸν καὶ πολὺ οὐρούμενον καὶ ἀθρόως, διαβήτην σημαίνει, ὃν οἱ σοφοὶ τῶν ἰατρῶν εἰς ἀμίδα διάρροιαν ἐκάλεσαν [καί τις τῶν σοφῶν αὐτῶν ἐξοχώτατος εἰς οὖρα διάρροιαν], ἄλλοι δὲ διψακόν. 6. Οὐ κατὰ φύσιν ἔχοντος δηλονότι τοῦ ἀνθρώπου, ἀλλὰ παρὰ 80
φύσιν διατεθέντος διὰ θερμὴν δυσκρασίαν τῶν νεφρῶν, τὸ τοιοῦτον οὖρον ἔρχεται. 7. Οὖρον λεπτὸν καὶ λευκὸν οὐρηθὲν ἐν πυρέττουσιν ἀμφημερινὸν διαλείποντα σημαίνει διὰ τὸν τοιοῦτον χυμόν· καὶ ἐπὶ τῆς ψυχροτέρας κράσεως τοῦ ἥπατος λεπτὰ καὶ λευκὰ ἐξουροῦνται· καὶ δι' ἔμφραξιν ἔρχονται ὅμοια, ὡς ἐπὶ τῶν νεφριτικῶν, καὶ ὡς ἐπὶ τῶν τεταρταίων ἐν ταῖς ἀρχαῖς. 8. Οὖρα λεπτὰ καὶ λευκὰ καὶ ἐπὶ τῶν ὑδρωπικῶν ἔρχονται διὰ τὸ πλεονάζον αἴτιον. 9. Οὖρα λεπτὰ καὶ λευκὰ τετραμμένοις τράχηλον καὶ κεφαλὴν καὶ ὤμους βαρυνομένοις σκότωσιν καὶ λειποθυμίαν σημαίνει. 10. Τῷ δὲ σ η μ α ί ν ε ι ὁ Ἱπποκράτης ἐν τῷ μέλλοντι χρόνῳ καὶ ἐν τῷ παρῳχηκότι χρᾶται, ὥς φησιν· „Ἰδρὼς πολὺς ἐξ ὕπνου ἄνευ φανερᾶς προφάσεως γινό-

μενος, σημαίνει τὸ σῶμα ὡς πλείονι τροφῇ χρέεται." 11. Οὖρον πολὺ ἐν πυρετοῖς λεπτὸν καὶ λευκὸν ἐλθὸν ἄνεσιν σημαίνει. 12. Οὖρον λευκὸν καὶ λεπτὸν διὰ τέλους ἐπὶ παροξυνομένων τῶν πυρετῶν ἀπόστασιν ἔσεσθαι δηλοῖ εἰς τὰ κάτω τῶν φρενῶν χωρία. 13. Οὖρον ὁμοίως ἐλθὸν ἐν καυσώδει πυρετῷ φρενῖτιν σημαίνει· τοῦ γὰρ καύσου πυρετοῦ ὑπὸ πλήθους ξανθῆς χολῆς γινομένου, τοῦ οὔρου μὴ χρωννυμένου, ἀνωφεροῦς τοῦ χολώδους περιττώματος ὄντος, τὸν ὑψηλὸν τόπον τῆς κεφαλῆς κατέλαβε· καὶ εἰ
82 μὲν τὸν ἐμπρόσθιον τοῦ ἐγκεφάλου τόπον φλεγμονὴν ἀπεργασάμενον ἐν ταῖς κατ' αὐτὸν μήνιγξι φρενῖτιν ἐποίησεν. 14. Καὶ εἰ μὲν ἡ φρενῖτις παύσοιτο διά τινα αἰτίαν, ὡς ἐπὶ αἱμορραγίας διὰ ῥινῶν, ἢ δι' ἱδρώτων πολλῶν ἐν τῇ κεφαλῇ γεγονότων, τοῦ οὔρου λεπτοῦ καὶ λευκοῦ ἐρχομένου, ἄνεσιν σημαίνει· εἰ δὲ τοῦ οὔρου τοιούτου γενομένου πάρεστι δὲ καὶ φρενῖτις χρονίζουσα, οὕτω διατεθεὶς θνήσκει.

ϛʹ. Περὶ χρωμάτων τῶν οὔρων.

1. Καιρὸς οὖν ἐξηγήσασθαι περὶ τῆς τῶν χρωμάτων διαφορᾶς, καὶ εἰπεῖν πόσαι εἰσὶ καὶ ποῖαι, καὶ μετὰ ποταπῆς συστάσεως δύνανται συμπλακῆναι ἢ πᾶσαι ἤ τινες. 2. Ἔστι μὲν οὖν τῶν χρωμάτων πρῶτον τὸ λευκόν, καὶ τούτου πλάτος ἐν ἑαυτῷ κεκτημένου· κρύσταλλος γὰρ καὶ χιών, καὶ τίτανος, καὶ ὕδωρ ἀκραιφνές, λευκὰ μέν, οὐκ ἐν τῷ ἄκρῳ δὲ πάντα. 3. Ἐνδεέστερον δὲ τούτου τοῦ χρώματος τὸ γαλακτῶδες, νοούμενον πηλίκον ἐστὶν ἐκ τῆς προσωνυμίας· εἶτα ἀπολιπόμενον τοῦδε τὸ γλαυκόν, ὡς κέρας διαυγές, ἢ ὡς οἱ κηδόνες τοῦ κερατοειδοῦς χιτῶνος τοῦ ὀφθαλμοῦ· εἶτα τούτου ἀπολιπόμενον τὸ χαροπόν.
84 4. Ἔστι δὲ τὸ χαροπὸν οἷάπερ τὰ τῶν καμήλων ἔρια τὰ ὑπόλευκα, ἢ ὡς λίθος ὀνυχίτης. 5. Ταῦτα μὲν τὰ χρώματα λευκὰ κατὰ ποιότητα, κατὰ τὸ μᾶλλον καὶ ἧττόν ἐστιν. 6. Εἰ δὲ βαφὴν δέξοιτό τινα χολῆς τὸ λευκὸν ὕδωρ, κατὰ μὲν πρῶτον λόγον ὕπωχρον γίνεται, ὡς ἀφέψημα χυμένης ὠμοβράστου· εἰ δὲ διαμείνῃ χρόνον τινὰ ἡ ἕψησις, καταβαφὴν πλείονα ποιοῦσα, ὠχρὸν ἀποτελεῖ τὸ χρῶμα δηλοῦν περισσοτέραν χολὴν τοῦ προτέρου τὸ ὑδατῶδες ἐπι-

δέξασθαι. 7. Ἀπὸ δὲ τούτου τέτακται τὸ ὑπόπυῤῥον, ἐοικὸς χρυσῷ τῷ ἀπὸ τῆς Κελτικῆς ἐρχομένῳ· εἶτα τὸ πυῤῥόν, ὅ ἐστι κατ' ἀλήθειαν ὄβρυζος χρυσός· εἶτα τὸ ὑπόξανθον ἐοικὸς κνίκῳ· εἶτα τὸ ξανθόν, ὅπερ ἔοικε τῷ ἀληθινῷ κρόκῳ. 8. Αὖθις δὲ τὸ ὑπέρυθρον ἀπὸ ἰχωροειδοῦς αἵματος, ὡς τὸ ἐκ λευκοῦ χρώματος λαμπροῦ προσελθόντος, ὅπερ καὶ οἱ βαφεῖς φλόγινον, οἱ δὲ περὶ τὸν Γαληνὸν φοινικοῦν ὀνομάζουσι. 9. Τὸ δὲ ὑποτάξαι ἢ προτάξαι τὴν ὑπὸ πρόθεσιν ἐν τοῖς χρώμασιν οὐ πάντες ὁμοίως εἰώθασιν ὑπολαμβάνειν· ἄλλοι μὲν γὰρ προτάττουσιν, ἄλλοι δὲ ὑποτάττουσιν. 10. Τὸ δὲ ἐρυθρόν, ὡς τὸ αἷμα τὸ καθαρὸν καὶ ἀθόλωτον· τὸ γὰρ ὑπερβάλλον τοῦδε ἢ ἐλλεῖπον οὐχ ὑγιές, ἀλλὰ νόθον. 11. Τὸ δὲ οἰνωπόν, ἢ ὡς μελάντερος οἶνος, ἢ ὡς βαθύτερον καὶ πορφυρίζον αἷμα, καθώς ἐστιν ἡ χρόα τοῦ ἥπατος. 12. Τὸ δὲ κυανοῦν ὡς τὸ σεσημμένον ἐκ χολῆς ξανθῆς καὶ ὑπερωπτημένον, τῇ χροιᾷ γαρῶ- 86
δες, ὡς τὰ τῶν ἰκτερικῶν οὖρα. 13. Ὁ δὲ κανὼν τοῦ κυανοῦ χρώματος κατὰ τὸν Γαληνόν ἐστι τοιοῦτος· λευκὸν λαμπρῷ προσελθὸν καὶ εἰς μέλαν κατακορὲς ἐμπεσόν, κυανοῦν ἐποίησε· τὸ δὲ φαιὸν ἐκ λευκοῦ καὶ μέλανος κραθέντων ἀλλήλοις γινόμενον, ὡς τὰ ξηρὰ ἰσχάδια. 14. Τὸ δὲ χλωρόν, ὡς πράσινον κραμβίζον, καὶ ὡσεὶ χλοή· πλάτος δὲ ἐν αὐτῷ θεωρεῖται· τὸ γὰρ ἰῶδες καὶ τὸ σμαραγδίζον καὶ τὸ ἰσατῶδες πάντα χλωρὰ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον. Ταῦτα δὲ ὑπὸ θερμότητος τὰ πλεῖστα ἐγένετο. 15. Τὸ δὲ πελιδνὸν βαθύτερόν ἐστι τοῦ φαιοῦ, ὡς μόλιβδος καὶ τὰ ἐπερχόμενα ἐκ τῶν πληγῶν τῷ σώματι καὶ τὰ ἐκ θλασμάτων μελανίζοντα χρώματα. Τοῦτο δὲ ἢ ὑπὸ ψύξεως γίνεται, ἢ ὑπὸ πληγῆς. 16. Ἀπὸ δὲ τούτου τὸ μέλαν, ἐνδεικνύμενον ποτὲ μὲν ψύξιν, ποτὲ δὲ θερμότητα· εἰ μὲν γὰρ ἐκ χλωροῦ προηγησαμένου, θερμότητα· εἰ δ' ἐκ πελιδνοῦ, ψύξιν. 17. Ἐστὶ δὲ ἐπέκεινα πάντων τῶν χρωμάτων· καὶ τοῦτο πλάτος ἱκανὸν ἔχει κατὰ μᾶλλον καὶ ἧττον· πολλὰ γὰρ μέλανα ἄλλα ἄλλων κατακορῆ καὶ ἀνόμοια. 18. Καὶ περὶ μὲν τῶν χρωμάτων ἱκανὴ ἡ διδασκαλία, συλλεχθεῖσα ἀπὸ τῶν διδαχῶν τῶν παλαιοτέρων σοφῶν τε καὶ ἰατρῶν. 19. Τούτων τῶν χρωμάτων, οἷα δύνανται συμπλακῆναι μετὰ

παχείας συστάσεως, ἢ μετὰ λεπτῆς, καὶ τίνα ἐξ αὐτῶν
88 σημαινόμενα εἴτε ἐν ὑγιαίνουσι σώμασιν εἴτε ἐν νοσοῦσι, προϊὼν ὁ λόγος διδάξει.

ζ΄. Περὶ τῆς λεπτῆς τῶν οὔρων συστάσεώς τε καὶ χρωμάτων συμπλεκομένων.

1. Ἐπεὶ δὲ περὶ χρωμάτων διδάσκοντες προείπομεν τὰ ἐκ λευκοῦ τοῦ ἀκραιφνεστάτου ἀπέχοντα, τό τε γαλακτῶδες καὶ τὸ γλαυκὸν καὶ τὸ χαροπόν, ἵνα μή τι τῶν χρωμάτων ἄζευκτον παραλείψωμεν τῇ λεπτῇ συστάσει συζεύξωμεν καὶ αὐτὰ καὶ συμπλέξωμεν, καὶ τί σημαίνουσιν ἐξηγησώμεθα. 2. Τί δηλοῖ τὸ λεπτὸν καὶ γαλακτῶδες; Τοῦτο συνίσταται ἐν ταῖς ἀρχαῖς τῶν πυρετῶν τοιοῦτον ἐρχόμενον πονηρόν· ἐν δὲ ταῖς παρακμαῖς, εἰ πολύ, λυσιτελές. 3. Τί δηλοῖ τὸ λεπτὸν γλαυκὸν καὶ χαροπόν; Ὅτι μὲν οὖν ἡ λεπτὴ σύστασις ἄπεπτός ἐστι, δῆλον τοῖς πρὸ ἡμῶν σοφοῖς· τὰ δὲ χρώματα ταῦτα συνερχόμενα ταῦτα συνερχόμενα ταύτῃ πλησίον ὄντα τοῦ λευκοῦ καὶ αὐτὰ ἀπεψίαν σημαίνουσιν· οὐ γὰρ ἐχρώσθησαν παρά τινος τῇ ἀσθενείᾳ τοῦ ἐμφύτου θερμοῦ· οὐκοῦν τὸ λεπτὸν μετὰ τούτων τῶν χρωμάτων συνιστάμενον ἀπεψίαν σημαίνει. 4. Τί δηλοῖ τὸ λεπτὸν καὶ ὕπωχρον καὶ ὠχρόν; Ἀρχὴν πέψεως τὰ τοιαῦτα σημαί-
90 νουσι· τὴν μὲν γὰρ σύστασιν ὡς ἀναγκαιοτέραν τὸ φύσει θερμὸν οὐκ ἴσχυσε παχῦναι· τὸ δὲ χρῶμα, ὡς εὐκολώτερον, εἰς ἀρχὴν πέψεως μετέβαλε. 5. Τί δηλοῖ τὸ λεπτὸν ὑπόπυρρον καὶ πυρρόν; Τοῦτο κρεῖττον τοῦ προτέρου· σημαίνει γὰρ τὸ τοιοῦτον οὖρον τὸ ἔμφυτον θερμὸν ἐρρῶσθαι διὰ τὸ πλείονα καταβαφὴν τῷ οὔρῳ παρασχεθῆναι· διὰ δὲ τὸ μὴ ἰσχύσαι καὶ τὴν ὕλην παχῦναι, καλοῦμεν καὶ αὐτὸ ἄπεπτον οὖρον. Τοιοῦτον ἐλθὸν ἐν ὑδερικοῖς κινδυνῶδες, ὥσπερ τὸ ὑδατῶδες ὠφέλιμον. 9. Τί δηλοῖ τὸ λεπτόν, ξανθὸν καὶ ὑποξανθον; Ἔστω λεπτὸν μέν, ὡς ὑπέκειτο, ἀλλ' ὑπόξανθον ἢ ξανθόν· καὶ τὰ τοιαῦτα κατὰ μὲν τὴν σύστασιν ἄπεπτα· κατὰ δὲ τὰ χρώματα οὐ μόνον τοῦ κατὰ φύσιν ἐξεστήκασιν, ἀλλὰ καὶ ὕλης ἔνδειαν δηλοῦσιν· ἀσιτήσαντος γὰρ νέου τινὸς τὴν ἡλικίαν, διὰ τὴν ἔνδειαν τῆς ὕλης τὰ οὖρα φαίνονται ὑπόξανθα ἢ ξανθά, διὰ

τὸ πλεονάζειν ἐν τῷ βάθει θερμότητά τινα παρὰ φύσιν πλεονασμὸν χολῆς γεννήσασαν, διὰ τὸ πολλῇ θερμότητι ἐκχολωθῆναι τὸ αἷμα, καὶ μάλιστα χρονισάσης τῆς ἀσιτίας ἐν ὥρῃ θερινῇ, ἐν ᾗ τριταῖοι τὰ πλεῖστα ἐπιγίνονται. καὶ γὰρ καὶ αὐτῶν τὰ οὖρα ξανθὰ διὰ ταύτας τὰς αἰτίας. Καὶ ἡ ἀγρυπνία καὶ ἡ φροντὶς καὶ ὁ κόπος ξανθὰ τὰ οὖρα ἀποφαίνουσι. 10. Καὶ περὶ μὲν τῶν συμπλοκῶν τῆς λεπτῆς 92
συστάσεως καὶ μεθ' οἵων χρωμάτων δύναται συντίθεσθαι, ἱκανὰ τὰ εἰρημένα. Λοιπὸν καὶ ἐπὶ διαγράμματος σαφηνείας αὐτῆς χάριν ἐκθήσωμεν αὐτὰς οὕτως·

Λεπτὸν λευκόν.
Λεπτὸν γαλακτῶδες.
Λεπτὸν γλαυκόν.
Λεπτὸν χαροπόν.
Λεπτὸν ὠχρόν.
Λεπτὸν ὕπωχρον,
Λεπτὸν ὑπόπυρρον.
Λεπτὸν πυρρόν.
Λεπτὸν ὑπόξανθον.
Λεπτὸν ξανθόν.

### η'. Περὶ τῶν συμπλοκῶν τῆς παχείας συστάσεως.

1. Ἐπεὶ δὲ πάσας τὰς συμπλοκὰς τῆς λεπτῆς συστάσεως μεθ' οἵων χρωμάτων δύναται συμπλακῆναι, αὐτάρκως ἐποιησάμεθα, καὶ τί σημαίνουσιν εἰρήκαμεν, καὶ ἐπὶ διαγράμματος αὐτὰς ἐξεθέμεθα, μεταβῶμεν ἐπὶ τὰς συμπλοκὰς τῆς παχείας συστάσεως, καὶ εἴπωμεν μετὰ ποίων χρωμάτων καὶ αὐτὰ δύνανται συμπλακῆναι. 2. Τί δηλοῖ τὸ παχὺ λευκόν; ἡ τοιαύτη συμπλοκὴ συνίσταται, καὶ δηλοῖ τὸν ὠμὸν χυμὸν πάνυ πλεονάζειν ἐν τοῖς ἀγγείοις, καὶ ἑτέρας διαφορὰς τοῦ φλέγματος, ὥς ἐστι τὸ ὑαλῶδες φλέγμα καὶ τὸ ἁλυκόν, καὶ τὸ ἄποιον. Τὸ τοιοῦτον παχὺ καὶ πολὺ λευκὸν ἐλθὸν ῥύεται ἀποστάσεως ἐπ' ἄρθρα γεγονυίας τοῖς προπεπονηκόσιν αὐτὰ καὶ τοῖς ὁπωσοῦν ἐν νόσοις κοπώδεσι καὶ τοῖς χρονίσασιν ἐπὶ πλήθει παχέων χυμῶν. 3. Τί 94
δηλοῖ τὸ γαλακτῶδες παχύ; Καὶ τὸ τοιοῦτον συνίσταται, καὶ ἐὰν διὰ τέλους τοιοῦτον ἔρχεται, λιθίασιν τῆς κύστεως

ἢ τῶν νεφρῶν σημαίνει. 4. Τί δηλοῖ τὸ παχὺ χαροπόν; Ἡ τοιαύτη συμπλοκὴ συνίσταται καί, εἰ μὲν ἀτάραχος μένει, δηλοῖ κακοχυμίαν πολλὴν ἐν τῷ σώματι εἶναι· εἰ δὲ καὶ ἀνατεταραγμένα τὰ τοιαῦτα οὖρα φαίνονται, οἷα τὰ τῶν ὑποζυγίων, δηλοῦσι κεφαλαλγίαν ἢ οὖσαν ἢ ἐσομένην. Πῶς δὲ φανεροῦται, ἢ ἀνατεταραγμένα εἰσίν, ἢ ἀποκαταστάντα, δῆλον τῷ ἔξωθεν πυρὶ ἐλεγχόμενα· θερμανθέντα γὰρ πομφόλυγας κατὰ τὴν ἄνω ἐπιφάνειαν δείξουσι. Καὶ ἄλλως τε δὴ αὕτη ἡ σύστασις παχεῖα οὖσα εἰ τύχοι θρομβώδης εἶναι ἐν πυρετοῖς, ταύτῃ ἐπακολουθοῦσαν πλῆθος οὔρων λεπτόν, λύσιν τοῦ πυρετοῦ σημαίνει. 5. Τί δηλοῖ τὸ παχὺ ὑπέρυθρον; Τὸ τοιοῦτον συνίσταται καί, εἴ ἐστιν ἡ ὑπόστασις τοιαύτη, χρονιωτέρας τὰς νόσους ἀποτελεῖ καὶ σωτηριώδεις. 6. Τί δηλοῖ τὸ παχὺ ἐρυθρόν; Τὸ τοιοῦτον συνίσταται καὶ δηλοῖ πολὺν τὸν αἱματικὸν χυμὸν ἐν τῷ σώματι εἶναι, ὥσπερ ἐν συνόχοις πυρετοῖς καὶ ἐν τοῖς ὀξέσι πυρετοῖς. Τὸ τοιοῦτον κατ' ὀλίγον ἀπουρούμενον κίνδυνον σημαίνει· ὡσαύτως καὶ τὸ τοιοῦτον οὖρον ἐν τοῖς τοιούτοις πυρετοῖς ἀκατάστατον οὐρούμενον μετὰ κωφώσεως καὶ κεφαλῆς ὀδύνης, τραχήλου τε καὶ ὑποχον-
96 δρίου, ἴκτερον ἔσεσθαι πρὸ τῆς ἑβδόμης σημαίνει. 7. Τί δηλοῖ τὸ παχὺ πελιδνόν; Τὸ τοιοῦτον συνίσταται καί, ἐὰν ἔλθῃ ἐν πυρετοῖς καυσώδεσι, κεφαλὴν ἀλγοῦσι καὶ περιωδυνωμένοις, φέρει κρίσιν. 8. Τί δηλοῖ τὸ παχὺ οἰνωπόν; Τὸ τοιοῦτον συνίσταται δὲ καὶ ἐπὶ ὑγιαινόντων ἐρχόμενον πορείαν ἢ δρόμον τὰ πολλὰ γεγονέναι σημαίνει· πρεσβυτέροις δὲ ἐπιγενόμενον ἐκ πολλοῦ χρόνου, κακῶν ἀπαλλαγῆναι τὴν κύστιν ὡς ἐπὶ πολὺ σημαίνει. Διὰ τέλους δὲ τοιαῦτα γινόμενα καὶ εἰς λιθίασιν περιίστανται. 9. Τί δηλοῖ τὸ παχὺ κυανοῦν; Τοῦτο συνίσταται καὶ διὰ τέλους τοιοῦτον ἐρχόμενον ἴκτερον σημαίνει. 10. Τί δηλοῖ τὸ παχὺ χλωρόν; Τὸ τοιοῦτον οὖρον ἐν πυρετοῖς μὴ καθιστάμενον παρακρουστικόν· σημαίνει δὲ καὶ ἄλλο· ἐν γὰρ πυρετῷ καυσώδει τοιοῦτον οὖρον ἐρχόμενον, στραγγουρίαν ἐσομένην δηλοῖ. 11. Τί δηλοῖ τὸ παχὺ μέλαν; Καὶ αὕτη ἡ συμπλοκὴ συνίσταται καὶ δηλοῖ κάθαρσιν τοῦ μελαγχολικοῦ χυμοῦ, ὡς ἐπὶ τῇ παρακμῇ τοῦ τεταρταίου καὶ τῇ λύσει

*τῆς μελαγχολίας· καὶ διὰ ψῦξιν δὲ ἔρχονται τὰ τοιαῦτα καὶ
δι᾽ ὑπερόπτησιν τοῦ αἵματος· ἀπὸ δὲ τῶν τοιούτων αἰτιῶν
παχυνομένη ἡ σύστασις δηλοῖ τὰ τοιαῦτα χρώματα μετὰ
παχείας συστάσεως γενέσθαι.* 12. *Ὅτι δὲ ἀληθής ἐστιν ὁ
λόγος ἄκουσον. Ὅτι αἱ τρεῖς διαφοραὶ τοῦ μέλανος οὔρου* 98
*παχύτεραι τοῦ κατὰ φύσιν οὔρου εἰσὶ κατὰ σύστασιν ἐν-
τεῦθεν δὴ δῆλον· τοῦ τεταρταίου λυομένου καὶ τοῦ με-
λαγχολικοῦ χυμοῦ δι᾽ οὔρων ἐκκρινομένου, οὖρα φαίνεται
παχεῖα καὶ μέλανα. Ὁμοίως καὶ τοῦ νοσήματος τῆς με-
λαγχολίας λυομένου, καὶ τόδε δι᾽ οὔρου ἐκκρίνεται τὸ αἴτιον
τὸ ποιῆσαν τὴν μελαγχολίαν.* — 13. *Ὅτι δὲ ὁ μελαγχολικὸς
χυμὸς γεώδης καὶ παχὺς καὶ μέλας ἐστί, διὰ τοῦτο καὶ τὰ
οὖρα ποιεῖ παχέα καὶ μέλανα. Ὁμοίως δὲ τὰ ἐξ ὑπερ-
οπτήσεως αἵματος γινόμενα, καθὼς προείρηται, παχύτητα
κατὰ σύστασιν ἐκτήσαντο, διὰ τὸ τὴν ἐν τοῖς ἀγγείοις ὑγρό-
τητα ἀνιμᾶσθαι τὴν ὑπερόπτησιν· καὶ ἡ ψῦξις φανερῶς
παχύνει τὴν ὕλην τῷ λόγῳ τῆς πήξεως· σημαίνει δὲ τὰ
τοιαῦτα οὖρα ἐν πυρετοῖς σπασμὸν τὸν ἐπὶ ξηρότητι.* 14. *Ση-
μαίνει δὲ καὶ ἄλλο· τὸ τοιοῦτον γὰρ ἐρχόμενον οὖρον ἐν
πυρετοῖς ὀξέσι μετὰ δυσωδίας μηδὲν ἐχούσης κακὸν τῆς
κύστεως, θάνατον σημαίνει.* 15. *Περὶ μὲν οὖν τῶν συμ-
πλοκῶν τῆς λεπτῆς συστάσεως μεθ᾽ οἵων χρωμάτων δύνα-
ται συστῆναι προεγράψαμεν, καὶ τὰ σημαινόμενα αὐτῶν
εἰρήκαμεν, καὶ τὰς αἰτίας δι᾽ ἃς οὕτω γεγόνασι ἐσαφηνίσα-
μεν, καὶ ἐπὶ διαγράμματος αὐτὰς ἐξεθέμεθα· τούτῳ τῷ
τρόπῳ καὶ ἐπὶ τῆς παχείας συστάσεως συνθήσαντες καὶ* 100
*συμπλέξαντες τὰ μετ᾽ αὐτῶν δυνάμενα χρώματα συνελθεῖν
καλῶς γεγράφαμεν, καὶ τὰ σημαινόμενα αὐτῶν ἀκριβῶς
διηρευνήσαμεν, καὶ τὰς αἰτίας αὐτῶν ἐφράσαμεν, λοιπὸν δὲ
καὶ ἐπὶ διαγράμματος αὐτὰς ἐκθήσωμεν οὕτως·*

*Παχὺ λευκόν.*
*Παχὺ γαλακτῶδες.*
*Παχὺ χαροπόν.*
*Παχὺ ὑπέρυθρον.*
*Παχὺ ἐρυθρόν.*
*Παχὺ οἰνωπόν.*
*Παχὺ κυανοῦν.*

*Παχὺ χλωρόν.*
*Παχὺ πελιδνόν.*
*Παχὺ μέλαν.*

### θ΄. Περὶ τῶν συμπλοκῶν τῆς συμμέτρου συστάσεως.

1. *Λείπεται οὖν δὴ περὶ τῆς συμμέτρου συστάσεως εἰπεῖν, καὶ διασαφηνίσαι μετὰ ποίων χρωμάτων δύναται συνελθεῖν· αὕτη γάρ ἐστιν κατὰ φύσιν σύστασις.* 2. *Μετὰ γοῦν ταύτης τῆς συστάσεως, ὥς φασιν Γαληνὸς ἐν τῇ περὶ κρίσεων, τὸ ὑπόπυρρον καὶ τὸ ὑπόξανθον συνίσταται. Ὁ δὲ Μάγνος τὸ πυρρὸν καὶ τὸ ὑπόπυρρον· ἡμεῖς δὲ τοὺς ἄνδρας τοιούτους καὶ τηλικούτους ὄντας ἀκυρῶσαι εὐλαβούμεθα.* 3. *Ὅμως ἂν τὰ ἑκατέρων ἀπολειφθέντα ἀναπληρώσαντες τὴν πρέπουσαν μῖξιν τῇ συμμέτρῳ συστάσει πλέξαντες συμμίξωμεν οὕτως.* 4. *Σύμμετρον ἐν συστάσει ἔν τε τοῖς χρώμασιν ὑπόπυρρον, πυρρόν, καὶ ὑπόξανθον. Ὅτι μετὰ τῆς συμμέτρου συστάσεως*
102 *οὐ δύναταί τι τῶν χρωμάτων συνελθεῖν πλὴν ὑπόπυρρον καὶ ὑπόξανθον ἐν τῷ μέσῳ ἔχοντα τὸ πυρρόν.* 5. *Ἵνα δ᾽ ᾖ σαφὴς ὁ λόγος λοιπὸν καὶ ἐπὶ διαγράμματος ἐκθήσωμεν αὐτὰ οὕτως·*

*Σύμμετρον ὑπόπυρρον.*
*Σύμμετρον πυρρόν.*
*Σύμμετρον ὑπόξανθον.*

### ι΄. Περὶ ὑποστάσεως καὶ πρότερον περὶ τῆς ἀρίστης ὑποστάσεως.

1. *Ταῦτα καλῶς συνθήσαντες καὶ τὴν πρέπουσαν τάξιν τοῖς γεγραμμένοις φυλάξαντες καὶ ἐπὶ διαγραμμάτων αὐτὰ φανερώσαντες, καὶ δῆλα πᾶσι τοῖς μανθάνουσι ποιήσαντες, περὶ ὑποστάσεως διαλεξώμεθα, τίς τε ἡ ἀρίστη ὑπόστασις, καὶ τίς ἡ ταύτης σύστασις ἥ τε ὑπερβάλλουσα ἥ τε ἐλλείπουσα.* 2. *Καὶ τὰ ἐξ αὐτῆς ἢ ἐξ αὐτῶν σημαινόμενα δηλώσωμεν ἔν τε ὑγιαίνουσι σώμασιν ἔν τε νοσοῦσι, καὶ ὅσαι προγνώσεις ἐξ αὐτῶν δύνανται ἀποτελεσθῆναι, αἵ τε ἐπικίνδυνοι τούτων καὶ ἐλάττονες καὶ αἱ πρὸς ὑγείαν ἁρμόζουσαι.* 3. *Ταῦτα μέλλοντες συνθήσειν, καὶ τὴν ὑπόστασιν*

*τήν τε σύστασιν περὶ τοῖς χρώμασι μῖξαι θέλοντες, ἵνα τέ-
λειον τὸν ὅρον ἀποδείξωμεν, ἐπικαλεσώμεθα Χριστὸν τὸν
ἀληθινὸν θεὸν ἡμῶν, ὁδηγὸν γενέσθαι, ὅπως τῆς τοιαύ-* 104
*της μίξεως μηδὲν παραλείψωμεν.* 4. *᾿Αρξώμεθα οὖν πρῶ-
τον τὴν τῆς ἀρίστης ὑποστάσεως κατασκευήν. Βέλτιον δ'
ἐστὶν ἀπὸ σοφωτάτου ῾Ιπποκράτους ταύτην εἰπεῖν, καὶ μήτε
προσθήκην μήτε ἀφαίρεσίν τινα ποιησώμεθα· ἡ γὰρ πρόσ-
θεσις καὶ ἡ ἔλλειψις οὐ κατὰ φύσιν.* 5. *᾿Εστὶ μὲν οὖν ἡ
ῥῆσις τοῦ σοφωτάτου ῾Ιπποκράτους περὶ τῆς κατὰ φύσιν
ὑποστάσεως ἥδε· „Οὖρον ἄριστόν ἐστιν ὅταν λευκή τε ἡ
ὑπόστασις εἴη καὶ λείη καὶ ὁμαλὴ παρὰ πάντα τὸν χρόνον."*
6. *Οὗτος ὁ ἀνὴρ σοφός τε καὶ φιλοσύντομος ὢν ἐκ τοῦ
ἐπικρατοῦντος τὸν ὁρισμὸν ἀπεφήνατο, καταφρονήσας σύ-
στασίν τε καὶ χροιὰν ὡς μερικώτερα.* 7. *῾Ημεῖς δὲ τὸ παρα-
λειφθὲν προσθήσωμεν καὶ τέλειον τὸν ὁρισμὸν ἀποφήνω-
μεν, ἵνα πάντες οἱ προσεγγίζοντες τῶν γραμμάτων οὐ τὴν
τυχοῦσαν ἔχωσι ῥαθυμίαν. Πολλῶν γὰρ νόες ἐκταράττονται
μὴ τέλειον τὸν ὁρισμὸν ἀκούσαντες, καὶ ὥσπερ ἄσοφον
τὸν ἀκροατὴν ἐξηγητὴν ἡγούμενοι.* 8. *᾿Εστὶν οὖν ὁ τέλειος
ὁρισμὸς τῶν κατὰ φύσιν οὔρων τοιοῦτος. Οὖρον ἄριστόν
ἐστιν, ὅταν λευκή τε ἡ ὑπόστασις εἴη, καὶ λεία καὶ ὁμαλὴ
παρὰ πάντα τὸν χρόνον τῇ συστάσει μὲν σύμμετρον· τῷ
χρώματι δὲ ἐκ πυρροῦ καὶ ὑποπύρρου, καὶ ὀλίγον τι μετέχον
τοῦ ξανθοῦ.* 9. *Καὶ ἐπεὶ ὁ ὁρισμὸς οὗτος ἐσήμανε θεω-* 106
*ρεῖσθαι ἐν τῷ οὔρῳ ταῦτα τὰ τέσσαρα, ἢ ὡς τὴν ὑπόστα-
σιν, καὶ τὸν χρόνον, εἴπωμεν ἕκαστον αὐτῶν ὁποῖον δεῖ
εἶναι.* 10. *῾Η μὲν οὖν κατὰ φύσιν ὑπόστασις ἵνα ἔχῃ τὸ
λευκὸν χρῶμα καὶ τὸν κάτω τόπον, καὶ ἵνα εἴη λεία (ἢ ὡς
συνεχὴς καὶ ἀδιάσπαστος) καὶ ὁμαλὴ εἰς πολλὰς ἡμέρας
τοιαύτη διαμένουσα (τοῦτο γάρ ἐστιν ὁμαλὸν τὸ ἐν χρόνῳ
τηρούμενον). ῞Οσα μὲν οὖν ἐν τοῖς τέτρασι τούτοις τοῦ
κατὰ φύσιν παρυφισταμένου ἐκτρέπονται, εἴτε ἓν εἴτε δύο,
τὸ τοιοῦτον παρυφιστάμενον οὐ κατὰ φύσιν.*

*ια'. Περὶ τῶν τεσσάρων τοῦ κατὰ φύσιν παρυφισταμένου γνωρισμάτων ἐκτρεπομένων.*

1. *Ὥσπερ δὲ τὴν σύνθεσιν ἀνωτέρω περὶ συστάσεων καὶ χρωμάτων ἐποιήσαμεν, οὕτω καὶ νῦν πάντα μετὰ ὑποστάσεως συνθέντες τῶν ἑξῆς ἐχώμεθα.* 2. *Τρέψωμεν δὴ ἐκ τῶν τηρουμένων τεσσάρων τῇ ὑποστάσει τὸ πάντων ἔσχατον, ὅπερ ἐστὶν ὁμαλόν, καὶ τριῶν κατὰ φύσιν μενόντων ἀνώμαλον ἔστω τὸ τέταρτον.* 3. *Τὸ τοιοῦτον ἀσθέ-*
108 *νειαν δυνάμεως σημαίνει· οὐ γὰρ ἴσχυσε πάντα πέψαι ἡ φύσις, ἀλλ' ἀπολείπεται τὸ ἓν ἄπεπτον, τῷ πάσαις ταῖς ἡμέραις μὴ εἶναι τὴν πέψιν ἴσην, ἀλλὰ ποτὲ μὲν πεπεμμένον τὸ παρυφιστάμενον, ποτὲ δὲ ἄπεπτον.* 4. *Πάλιν οὖν τρέψωμεν καὶ τὸ λεῖον, ὡς εἶναι τὰ ἐκτραπέντα δύο, ἢ ὡς μὴ εἶναι τὴν ὑπόστασιν λείαν μηδὲ ὁμαλήν. Τοῦτο τοῦ προτέρου ἀπεπτότερον, ὡς ἀπολειπόμενον κατὰ πέψιν δύο· οὐ μόνον γὰρ τὸ ὁμαλὸν ἀπεβάλλετο, ἀλλὰ καὶ τὸ λεῖον, ὡς μὴ εἶναι συνεχές, ἀλλὰ διακεκομμένον.* 5. *Διακόπτει γὰρ τὸ λεῖον τῆς ὑποστάσεως πνεῦμα παρεμπεσὸν παχὺ καὶ μὴ ἐῶν αὐτὸν εἶναι συνεχῆ. Διὰ ταύτας οὖν τὰς αἰτίας τὸ ἀπολειπόμενον παρυφιστάμενον τῶν δύο, ἀπεπτότερον τοῦ ἑνὸς τυγχάνει.* 6. *Τρέψωμεν οὖν δὴ τὸ κατ' ἀρχὰς ὁμολογούμενον, καὶ ἔστω τὸ παρυφιστάμενον οὐ λεῖον, ἀλλὰ διεσπασμένον, ὁμαλὸν δέ. Τὸ τοιοῦτον κακὸν διὰ τὸ πολὺ εἶναι πνεῦμα καὶ μὴ δυνάμενον ὑπὸ τῆς φύσεως διαφορηθῆναι καὶ πεφθῆναι.* 7. *Πάλιν δ' ἔστω τὸ οὖρον οὐ λεῖον καὶ ἀνώμαλον. Τοῦτο τοῦ προτέρου κρεῖττον. Οὐ γὰρ διηνεκῶς διέσπασται τὸ οὖρον, ὥσπερ μετὰ τοῦ ὁμαλοῦ. ἀλλὰ ποτὲ μὲν διέσπασται, ποτὲ δὲ οὔ, καὶ διὰ τοῦτο δηλοῖ ἔλασσον εἶναι τὸ πνεῦμα τὸ διασπῶν τὴν συνέχειαν.* 8. *Τοῦτο δὲ δείξωμεν ἐπὶ παραδείγματος τοῦ διαλείποντος σφυγμοῦ. Εἰ γὰρ ὁ διαλείπων σφυγμὸς*
110 *ἕως πολλῶν ἡμερῶν ὁ αὐτὸς διαμένει, μεῖζον κακόν ἐστιν ἤπερ τὸ καθ' ἑκάστην ἐναλλάττεσθαι (τοῦτο γάρ ἐστι τὸ ἀνώμαλον), οὕτως οὖν καὶ τὸ διεσπασμένον ἀνώμαλον κρεῖττον τοῦ διεσπασμένου ὁμαλοῦ, ὅπερ καὶ θάμβος ἐστὶ τοῖς ἀκούουσι. Καὶ περὶ μὲν ταύτης τῆς συμπλοκῆς ἀρκεῖ τοσαῦτα.*

### ιβ΄. Περὶ ἐναιωρήματος.

1. *Πάλιν οὖν ἔστω τὸ παρυφιστάμενον λευκὸν μέν, ἐναλλαττέσθω δὲ τῷ τόπῳ, ὡς εἶναι ἐν τῷ μέσῳ, ὅπερ καλεῖται ἐναιώρημα, ἀπὸ τοῦ αἰωρεῖσθαι, ὅ ἐστι κρέμασθαι.* 2. *Ἐστὶ δὲ λεῖον καὶ ὁμαλόν· τοῦτο μέσως ἄπεπτον· οὐ γὰρ ἰσχύει ἡ φύσις πέψαι, ἵνα τὸν κάτω τόπον καταλάβοι (τοῦτο γάρ ἐστι πεπεμμένον), ἀλλὰ περιουσία τινὸς πνεύματος παρεμπεσόντος ἐκούφισεν αὐτὸ περὶ τὴν μέσην χώραν.*

### ιγ΄. Περὶ τῆς νεφέλης καὶ τῶν σημαινομένων αὐτῆς.

1. *Εἰ δὲ πολὺ τὸ πνεῦμα ἡνώθη τὸ παρυφιστάμενον, καὶ ὑπὸ τὴν μέσην χώραν φαίνεται καταλαμβάνον τὴν ἄνω ἐπιφάνειαν, καλεῖται νεφέλη, ἥ τις καὶ τὸν ἄνω τόπον κατέλαβεν. Λευκὴ οὖσα ἐν πυρετοῖς καὶ ἀφροὺς ἔχουσα, πονηρὰ τὰ πολλά· χυλώδεις γὰρ χυμοὺς σημαίνει.* 2. *Καὶ* 112 *ἄλλως ἐν πυρετῷ συνεχεῖ λευκὸν οὖρον νεφέλους ἐπάφρους ἔχον πονηρὸν τὰ πολλά. δηλοῖ γὰρ τὸ δεξιὸν ὑποχόνδριον ὀδυνᾶσθαι. Ἐὰν δὲ ἐν πυρετοῖς καυσώδεσι μελαίνας νεφέλας ἔχῃ, εἰς τεταρταῖον μεθίσταται.* 3. *Εἰ δ᾽ οὐδ᾽ ὅλως εἴη τὸ πνεῦμα, τὸν κάτω καταλαμβάνει τόπον ἡ δὴ τελεία πέψις, ὅπερ ἐστὶν ἡ κατὰ φύσιν ὑπόστασις. ὥστε ὅσα περὶ ὑποστάσεως εἴρηται, τοσαῦτα καὶ περὶ ἐναιωρήματος εἰρεῖσθαι νόμιζε. Τὰ τοιαῦτα γὰρ εἰρήκαμεν τῇ θέσει μόνον διαλλάττοντα, ὥστε δῆλον ὅτι ἐκ τοῦ τόπου πλέον οὐδὲν ἄλλο μανθάνομεν ἢ μέτρα τῶν δηλουμένων.* 4. *Ἐναλλαττέσθω οὖν τὸ λευκὸν χρῶμα ἐκ τῆς ὑποστάσεως καὶ ἔστω μέλαν· τὸ τοιοῦτο κακόν· ἀλλ᾽ εἰ μὲν ἐν τῇ νεφέλῃ τὸ μέλαν εἴη, ἀμυδρὸν τὸ κακόν· εἰ δ᾽ ἐν τῷ ἐναιωρήματι, μεῖζον τὸ κακόν· εἰ δ᾽ ἐν τῇ ὑποστάσει, τέλειον τὸ κακόν.* 5. *Ὡσαύτως δὴ καὶ ἐν τῷ λευκῷ. Εἰ γὰρ καὶ λεῖον καὶ ὁμαλὸν τὸ παρυφιστάμενον, ἀγαθόν· εἰ δὲ νεφέλη, ἄμυδρον ἀγαθόν· εἰ δὲ ἐναιώρημα, μεῖζον ἀγαθόν· εἰ δὲ ὑπόστασις, ἄριστον. Καὶ περὶ μὲν τῶν τριῶν θέσεων ἱκανὰ τὰ εἰρημένα.*

114 *ιδ΄. Περὶ τῶν χρωμάτων τοῦ παρυφισταμένου καὶ τί σημαίνουσι.*

1. Ἐπεὶ δὲ εἰρήκαμεν περὶ τοῦ χρόνου καὶ τῆς συστάσεως καὶ τοῦ τόπου, τὸ λοιπὸν προσθήσομεν περὶ τοῦ χρώματος. Ἦν δὲ τὸ κατὰ φύσιν τοῦ παρυφισταμένου λευκόν, τοῦτο δὲ μή ἐστι λευκόν, ἀλλὰ μέλαν, ἢ πελιδνόν, ἢ ὠχρόν, ἢ ὑπέρυθρον, ἢ ἐρυθρόν. 2. Τὸ μὲν οὖν ὑπέρυθρον ἀπὸ ἰχωροειδοῦς αἵματος γίνεται, ὥσπερ ἀνωτέρω εἴρηται, καὶ σημαίνει ἀπεψίαν, οὐ θάνατον. Τὸ δὲ ἐρυθρὸν γινόμενον ἀπὸ εἰλικρινοῦς αἵματος σημαίνει πέψιν, καὶ εἰ μείνῃ σύμμετρον, μήτε πλεονασμὸν ἔχον μήτε ἔνδειαν ἀκινδυνότατον. 3. Ὅτι μὲν οὖν οὐδὲ τὸ ὑπέρυθρον ἐπάγει κίνδυνον, τὸ τῆς ὕλης οἰκεῖον ἐνδείκνυται. τὸ δὲ οἰκεῖον τῆς ὕλης τοῦ ἰχωροειδοῦς αἵματος πλησίον ὂν τοῦ αἵματος, κίνδυνον οὐκ ἐπάγει· ὅτι δὲ ἀπεψίαν σημαίνει καὶ διὰ τοῦτο καὶ χρόνον, ἐκ τοῦδε φανερόν. 4. Τῶν χυμῶν οἱ μὲν πρὸ τοῦ αἵματος γίνονται, ὡς τὸ φλέγμα καὶ ὁ ἰχώρ· οἱ δὲ μετὰ τοῦ αἵματος, ὡς ἡ ξανθὴ χολή, καὶ ὁ μέλας χυμός· τὸ δὲ εἰλικρινὲς αἷμα ἐν τῷ μέσῳ ἀμφοτέρων ἐστίν. 5. Ὅταν οὖν ὑπέρυθρον τὸ οὖρον φανῇ, σημαίνει ἀπὸ ἰχῶρος ἔχειν
116 τὸ χρῶμα· ὁ δὲ ἰχὼρ πρὸ τοῦ αἵματος καὶ διὰ τοῦτο ἀπεψίαν σημαίνει· οὐ γὰρ τελείαν ἐπέθηκεν ἡ φύσις πρὸς τὴν πέψιν τοῦ ἰχωροειδοῦς αἵματος τῷ ἰχῶρι τὴν βαφήν· φανερὸν οὖν ὅτι οὐδέπω ἐπέφθη· χρήζει οὖν χρόνου ἡ φύσις. 6. Τὸ δὲ παρυφιστάμενον ἐρυθρὸν καὶ κρίσιν ἐσομένην ἐν ἡμέρᾳ ἑβδόμῃ δηλοῖ. Ἐὰν γὰρ τῇ τετάρτῃ ἐπινέφελον ἔχῃ τὸ οὖρον ἐρυθρὸν καὶ τἄλλα τῆς πέψεως σημεῖα, τῇ ἑβδόμῃ δηλονότι τὸ νόσημα κριθήσεται. Τί μὲν οὖν σημαίνει τὸ ὑπέρυθρον καὶ τὸ ἐρυθρὸν εἴρηται. 7. Τί δηλοῖ τὸ πελιδνὸν παρυφιστάμενον; ψύξιν καὶ νέκρωσιν ἐμφαίνει τῆς δηλώσεως. Ἐστὶ δὲ εἰπεῖν καὶ ἄλλως. Ἐν γὰρ ὀξέσι πυρετοῖς οὖρον πελιδνὰν ὑπόστασιν ἔχον εἰς τὴν ἐπιοῦσαν κίνδυνον σημαίνει. 8. Τί δηλοῖ τὸ χλωρόν; τοῦτο θερμότητα πλείστην καὶ κακοήθειαν τοῦ σώματος. 9. Τί δηλοῖ τὸ ὑπόμελαν οὖρον; τὸ ὑπόμελαν οὖρον ἀπολείπεται τοῦ ἀκριβοῦς μέλανος οὔρου· ἐν γὰρ πυρετῷ καυσώδει οὖρα ὑπομέλανα ἐναιωρήματα ἔχοντα μετέωρα, παρακρουστικά·

*καὶ αἱμορραγίαι τούτοις ὡς τὰ πολλὰ ἐπιγίνονται, καὶ κρίσις σὺν ῥίγει μεθ' ἱδρῶτος.* 10. *Τί δηλοῖ τὸ μέλαν; τὸ μέλαν ποτὲ μὲν ἐνδείκνυται ψύξιν, ποτὲ δὲ θερμότητα· διορίσομεν δὲ αὐτὸ οὕτως· εἰ μὲν προηγήσατο τὸ πελιδ-* 118
*νόν, εἶθ' οὕτως ἐγένετο τὸ μέλαν, ψύξιν ἔχει τὴν πρόφασιν· εἰ δὲ τὸ χλωρὸν προεγένετο, ἠκολούθησε δὲ τὸ μέλαν, φανερὸν ὅτι ἀπὸ θερμότητος ἐγένετο.*

*ιε'. Ὅτι οὐ πᾶσα ὑπόστασις λευκὴ ἀγαθόν τι σημαίνει.*

1. *Ἐπεὶ δὲ τὸ λευκὸν χρῶμα τῆς ἀγαθῆς ὑποστάσεως πεπίστευται εἶναι σημεῖον, εἰδέναι χρή, ὅτι τὸ λευκὸν χρῶμα πολλάκις ἀπατᾷ ὡς ὑπόστασις οὐκ οὖσα· τοιοῦτος γὰρ ὁ ὠμὸς χυμὸς ἐν τῷ ὑφίστασθαι φαίνεται· ἀλλὰ καὶ τὸ πύον λευκὸν ὂν ἀπατᾷ τὸν τεχνίτην ὡς ὑπόστασις ἀγαθή.* 2. *Ἀλλὰ τοῦτο μὲν τῇ ὀδμῇ διορίζεται· δυσῶδες γάρ ἐστιν· ἀλλὰ καὶ τῶν νεφρῶν ἑλκωθέντων, ἢ τῆς κύστεως, ἢ τοῦ ἥπατος ἢ ἄλλου τινὸς μορίου τοῦ δι' οὔρων ἐκκενουμένου τὸ πύον ἐκκρίνεται, καθὼς φησιν Ἱπποκράτης· „Ἢν αἷμα καὶ πύον οὐρέῃ, ἢ τῶν νεφρῶν, ἢ τῆς κύστεως ἕλκωσιν σημαίνει." Καὶ πάλιν· „Ὁκόσοις ἐν τῇ οὐρήθρῃ φύματα ἐκφύεται, τούτοις διαπυησάντων καὶ ἐκραγέντων λύσις," δη-λονότι τοῦ πύου διὰ τῆς αὐτῆς ὁδοῦ ἐκκενουμένου.* 3. *Ὁ* 120
*δὲ ὠμὸς χυμὸς τῇ ἀνωμάλῳ συστάσει διορίζεται τοῦ παρυφισταμένου· οὐ γάρ ἐστι συνεχὲς ἑαυτῷ τὸ παρυφιστάμενον τοῦ ὠμοῦ χυμοῦ, ἀλλὰ διαλυόμενον εἰς μικρὰ οἷον ψαμμία.* 4. *Ταῦτα μὲν οὖν εἴρηται πρὸς τὸ μὴ πλανᾶσθαι τῷ χρώματι, ἀλλὰ διορίζειν τὴν ὑπόστασιν ἀπὸ τοῦ πύου καὶ ὠμοῦ χυμοῦ. Εἰ γὰρ αἷμα καὶ πύον οὐρῇ καὶ λεπίδας, καὶ ὀσμὴ βαρεῖα ἢ τῶν νεφρῶν ἢ τῆς κύστεως, ἕλκωσιν σημαίνει. Ταῦτα μὲν οὖν εἰρήκαμεν πρὸς τὸ μὴ πλανᾶσθαι τῇ θεωρίᾳ τοῦ παρυφισταμένου ἀπὸ πύου καὶ ὠμοῦ χυμοῦ.*

*ιϛ'. Περὶ ὑποστάσεως, ἐναιωρήματος καὶ νεφέλης διαγραμμάτων.*

1. *Τέσσαρα μὲν τοῦ παρυφισταμένου ἐζητοῦμεν, χρῶμα καὶ τόπον, σύστασίν τε καὶ χρόνον· λοιπὸν ταῦτα καὶ κατὰ μέρος τέσσαρα δηλώσωμεν ἐπὶ διαγραμμάτων.*

Λευκὴ ὑπόστασις λεία καὶ ὁμαλή.
Λευκὴ ὑπόστασις λεία, ἀνώμαλος.
Λευκὴ ὑπόστασις οὐ λεία, ὁμαλή.
Λευκὴ ὑπόστασις οὐ λεία, ἀνώμαλος.

2. Καὶ αὗται αἱ τέσσαρες τοῦ παρυφισταμένου ἐπὶ διαγράμματος διαφοραί. 3. Ἐπειδὴ δὲ τὸ παρυφιστάμενον τρεῖς εἴπομεν τόπους ἔχειν, καθὼς καὶ τὸ φαινόμενον δηλοῖ (ἢ
122 γὰρ τὸν κάτω τόπον ἔχει καὶ ὑπόστασις ὀνομάζεται, ἢ τὸν μέσον καὶ ἐναιώρημα λέγεται, ἢ τὸν ἄνω καὶ νεφέλη καλεῖται) καὶ τὰς αἰτίας πάντων, δι' ἃς τοὺς αὐτοὺς κατέλαβε τόπους, καὶ τὰ σημαινόμενα αὐτῶν εἰρήκαμεν, καὶ ἐπὶ διαγράμματος τῆς τὸν κάτω τόπον καταλαβούσης ὑποστάσεως διαφορὰς ἐξεθέμεθα· οὕτω καὶ περὶ τὴν τὸν μέσον τόπον καταλαβοῦσαν ὑπόστασιν, ἥτις ἐναιώρημα καλεῖται, ποιήσωμεν καὶ αὐτῆς τὰς διαφορὰς ἐπὶ διαγράμματος ἐκθήσωμεν οὕτως·

Λευκὸν ἐναιώρημα λεῖον, ὁμαλόν.
Λευκὸν ἐναιώρημα λεῖον, ἀνώμαλον.
Λευκὸν ἐναιώρημα οὐ λεῖον, ὁμαλόν.
Λευκὸν ἐναιώρημα οὐ λεῖον, ἀνώμαλον.

4. Αὗται αἱ τοῦ ἐναιωρήματος διαφοραί, ἃς ἐπὶ διαγράμματος ἐξεθέμεθα. προϊὼν δὲ ὁ λόγος διδάξει τὰ σημαινόμενα μιᾶς ἑκάστης διαφορᾶς. 5. Κατὰ δὲ τὸ παρὸν ἐκθήσομεν καὶ τὴν τρίτην διαφοράν, τὴν τὸν ἄνω τόπον τοῦ οὔρου καταλαβοῦσαν, ἥτις καὶ νεφέλη ὀνομάζεται, καὶ ταύτης οὖν τὰς διαφορὰς ἐπὶ διαγράμματος ἐκθήσομεν καὶ τί σημαίνουσι προϊόντος τοῦ λόγου διδάξομεν, καὶ τὰ σημαινόμενα αὐτῶν οὐ παραλείψομεν. 6. Ἔστιν οὖν αὐτῆς καὶ τὸ διάγραμμα οὕτως·

Λευκὴ νεφέλη λεία, ὁμαλή.
Λευκὴ νεφέλη λεία, ἀνώμαλος.
Λευκὴ νεφέλη οὐ λεία, ἀνώμαλος.
Λευκὴ νεφέλη οὐ λεία, ὁμαλή.

124 ιζ. Περὶ τῶν οὔρων ἐλαιωδῶν.

1. Καὶ ἐπὶ μὲν τῶν συμπλοκῶν τῶν διαφορῶν τῶν τριῶν ὑποστάσεων εἰρήκαμεν ἀνελλιπῶς καὶ ἐπὶ διαγράμ-

*ματος ἐξεθέμεθα.* **2.** *Ἐπειδὴ δὲ τὸ ἀνθρώπινον σῶμα ἐκ τριῶν συνίσταται, ἐκ πνευμάτων, καὶ ὑγρῶν καὶ στερεῶν μορίων, τὰ δὲ ὑγρὰ τὸ σῶμα συνιστῶντα ἐξεθέμεθα, εἴπωμεν οὖν ἀρτίως τὰ ἐξ αὐτῶν τῶν στερεῶν τοῦ σώματος μορίων ἐξουρούμενα, ἵνα τελεία καὶ ἀνελλιπὴς ἡ περὶ τῶν οὔρων διδασκαλία γένηται.* **3.** *Καὶ γὰρ καὶ αὐτῶν τῶν στερεῶν μορίων μαλακώτερά τινά εἰσι, καὶ τηκόμενα εἰς ἐλαίου σύστασιν ἢ ἄλλην τινὰ ἰδέαν ἐξομοιοῦται.* **4.** *Ἐπεὶ τοίνυν ἡ πιμελὴ καὶ ἡ σὰρξ μαλακώτερα τῶν στερεῶν εἰσὶ καὶ ὑγρότερα, πρῶτον μὲν ἀναλύει ὁ πυρετὸς τὴν πιμελήν, ὡς πάντων στερεῶν εὐδιάλυτον οὐσίαν· αὖθις δὲ τὴν σάρκα.* **5.** *Τῆς μὲν οὖν πιμελῆς τηκομένης, εἰς ἐλαίου σύστασιν μεταβάλλει ἡ θερμασία, καὶ ἐπειδὴ αὐτὴ οὐκ ἀθρόως ἀναλύεται, ἀλλ' ἔχει τινὰ ἀρχὴν τῆς συντήξεως καὶ ἀνάβασιν καὶ ἀκμήν, ἴδωμεν καὶ τῶν καιρῶν αὐτῆς τὴν διάγνωσιν.* **6.** *Τῆς ἀρχῆς μὲν τῶν ἐλαιωδῶν οὔρων, τὰ ἐλαιόχροα· τῆς δὲ αὐξήσεως, τὰ ἐλαιοφανῆ· τῆς δὲ ἀκμῆς, τὰ ἐλαιώδη.* 126 **7.** *Τὰ μὲν οὖν ἐλαιόχροα τὰ τὴν ἀρχὴν τῆς συντήξεως δηλοῦντα ὥσπερ ὑδατώδη φαίνεται.* **8.** *Τὰ δὲ ἐλαιοφανῆ, τὰ ἐπὶ τοῦ καιροῦ τῆς αὐξήσεως γενόμενα, τὴν μῖξιν ἀκριβεστέραν ἔχει τοῦ ἐλαίου πρὸς τὸ οὖρον.* **9.** *Τὰ δὲ ἐλαιώδη, ἃ ἐν τῇ ἀκμῇ γίνονται, ὅλα τὰ οὖρα καὶ ἐν χρώματι καὶ ἐν συστάσει οἷον ἔλαιόν εἰσι. Τὸ τοιοῦτον οὖρον ἐν πυρετοῖς ἐλαιῶδες ὑπόμελαν ἐλθόν, παρακοπὴν σπασμώδη καὶ θάνατον σημαίνει.* **10.** *Ἐπεὶ δὲ ἡ πιμελὴ ἡ μὲν καθολικωτέρα ἐστὶ (κατὰ πολλὰ γὰρ διέσπασται μόρια), ἡ δὲ κατὰ τοὺς νεφροὺς περιβέβληται, οἷον σκέπον αὐτούς, ταύτης τῆς κατὰ τοὺς νεφροὺς ἀναλυομένης πιμελῆς καὶ δι' οὔρων ἐξερχομένης ἀθροωτέρα ἡ ἔξοδος γενήσεται ἢ περὶ τῆς ἐν ὅλῳ τῷ σώματι πιμελῆς, διὰ τὸ τὴν μὲν σύνεγγυς τῶν οὐρητήρων εἶναι, τὴν δὲ πόρρω.* **11.** *Ταῦτα Ἱπποκράτης θεασάμενος γινόμενα ἔγραψεν οὕτως ἐν Ἀφορισμοῖς· „Ὁκόσοις λιπαρὴ ἡ ἐπίστασις εἴη καὶ ἀθρόη, τούτοις νεφριτικὰ σημαίνει·" δηλονότι τῆς πιμελῆς τῶν νεφρῶν ἀναλυομένης. Καὶ ἄλλως· „Οὖρον ἐν καύσῳ λιπαρὴν ὑπόστασιν ἔχον θάνατον σημαίνει."* **12.** *Ἄνευ δὲ πυρετοῦ γέρουσι τὸ τοιοῦτον γινόμενον παραπληξίαν σημαίνει. Καὶ*

*περὶ μὲν τῶν ἐλαιωδῶν οὔρων τῶν ἀπὸ τῆς συντήξεως πιμελῆς γινομένων, ἱκανὰ τὰ εἰρημένα.*

128 ### ιη΄ Περὶ ὑποστάσεων ὀροβοειδῶν.

*1. Ἐπεὶ τοίνυν προειρήκαμεν, ὅτι καθάπερ τήκεται ἡ πιμελή, οὕτω καὶ ἡ σάρξ, καὶ τηκομένης τῆς πιμελῆς ποταπὰ γίνονται ἐξεθέμεθα, εἴπωμεν καὶ τῆς σαρκὸς τηκομένης ποταπαὶ κατὰ πρῶτον λόγον ὑποστάσεις γίνονται. 2. Τηκομένων οὖν τῶν σαρκῶν τῶν τε καθ᾽ ὅλον τὸ σῶμα περιουσῶν καὶ αὐτῶν τῶν νεφρῶν οὐσίας, ὀροβοειδεῖς γίνονται ὑποστάσεις. Ταύτην δὲ τὴν προσωνυμίαν ἐκ τῆς τῶν ὀρόβων ἰδέας ἐκτήσαντο. 3. Καὶ εἰ μὲν ἐκ τῆς τοῦ ὅλου σώματος σαρκὸς τηκομένης τοιαῦται ἐν οὔροις αἱ ὑποστάσεις γενήσονται, ὀξὺν δῆλον ὅτι καὶ τὸν πυρετὸν δηλοῦσιν· εἰ δὲ καὶ τῆς νεφρῶν σαρκός, ἀπυρεξίαν δηλονότι, καθώς φησιν Ἱπποκράτης· „Εἰ τῷ οὔρῳ παχεῖ ἐόντι σαρκία σμικρὰ συνεξέρχονται, τούτοις ἀπὸ τῶν νεφρῶν ἐκκρίνεται." Καὶ περὶ μὲν τῆς πιμελῆς καὶ τῆς σαρκὸς ἱκανὰ τὰ εἰρημένα.*

### ιθ΄. Περὶ ὑποστάσεων πεταλωδῶν.

*1. Ἐπειδὴ οὖν τὰ στερεὰ τοῦ σώματος μόρια ἔχουσιν ἐν αὐτοῖς καὶ βάθος καὶ πλάτος καὶ μῆκος, ὅσα μὲν ἐπι-*
130 *πολῆς διαξέονται ὥσπερ τινὰ πέταλα ἐν τοῖς οὔροις φαινόμενα, τῆς κύστεως τὰ τοιαῦτα δηλωτικά. Τὴν προσωνυμίαν δ᾽ ἔχουσιν ἐκ τῶν ὁμοίων πετάλων ἐκ τῶν σίτων πτισσομένων γινομένων. 2. Τῷ δὲ προειρημένῳ τρόπῳ καὶ ἐπὶ τῶν νεφρῶν διορίζεται· εἰ μὲν γὰρ εἴη πυρετὸς καὶ τὸ οὖρον πεταλώδεις ὑποστάσεις ἔχον, τὸ ὅλον κεκάκωται σῶμα· εἰ δὲ μὴ εἴη πυρετός, τῆς κύστεως τὸ πάθος. 3. Ταῦτα καὶ ἀπεψίᾳ καὶ πέψει διορίζονται· εἰ μὲν γὰρ μετ᾽ ἀπεψίας, τοῦ ὅλου σώματος τὸ κακόν· εἰ δὲ πέψις εἴη, τῆς κύστεως.*

### κ΄. Περὶ τῶν πιτυρωδῶν ὑποστάσεων.

*1. Ὅταν δὲ ὁ πυρετὸς καταλάβῃ εἰς τὰ βάθη τῶν ἀγγείων, πιτυρώδεις αἱ ὑποστάσεις γίνονται· ἁδρομερέστεραι τῶν πεταλωδῶν εἰσι καὶ τῶν αὐτῶν ταῖς προειρημέναις*

ὑποστάσεσι κατὰ τὸν αὐτὸν τρόπον σημαντικαί, τῆς τε κύστεως τὸ πάθος εἶναι καὶ τοῦ ὅλου σώματος. 2. Εἰ μὲν γὰρ παρείη πυρετός, τοῦ ὅλου σώματος τὸ κακόν· εἰ δὲ μή, τῆς κύστεως· καὶ εἰ μὲν ἄπεπτον εἴη, τοῦ ὅλου· εἰ δὲ πεπεμμένον, τῆς κύστεως, ὡς Ἱπποκράτης φησίν· „Ὁκόσαις ἐν τῷ οὔρῳ πιτυρώδη ἐξέρχονται, τούτοις ἡ κύστις ψωριᾷ."

### κα΄. Περὶ τῶν κριμνωδῶν ὑποστάσεων. 132

1. Εἰ δὲ καταλάβοι πυρετὸς κατὰ τὰς τοῦ σώματος τρεῖς διαστάσεις, κατά τε μῆκος καὶ βάθος καὶ πλάτος, τὰ τοιαῦτα τῶν πιτύρων ἁδρομερέστερα γίνονται καὶ καλεῖται κριμνώδη. 2. Νοήσαις δ' ἂν τὸ τοιοῦτον, εἴ τις κουφίσας τὴν μύλην τὴν τὸν σῖτον ἀλήθουσαν. εἰς ἁδρομερῆ κόμματα τὸν σῖτον ἀπεργάζεται. Τὰ τοιαῦτα ἁδρομερῆ κόμματα τοῦ σίτου κρίμνα ὀνομάζονται. Ἐκ τούτων οὖν καὶ τὰ ἐν τοῖς οὔροις φαινόμενα τὴν προσωνυμίαν ἐκτήσαντο. 3. Γίνονται δὲ τὰ τοιαῦτα κριμνώδη οὖρα ἢ διὰ σύντηξιν τῶν στερεῶν ἰσχυράν, ἢ δι' ὑπερόπτησιν τοῦ αἵματος. ἀλλ' εἰ μὲν λευκὰ εἴη, τῶν στερεῶν ὑπάρχει τὸ πάθος· εἰ δὲ ἐρυθρά, τοῦ αἵματος· καθὼς φησιν Ἱπποκράτης· „Ἐν πυρετοῖς ὀξέσι οὖρον χολῶδες κριμνώδεις καὶ λευκὰς ἔχον ὑποστάσεις, πονηρόν." Καὶ ἄλλως· „Ἐν πυρετοῖς χρονίζουσιν, οὖρον κριμνώδη ὑπόστασιν ἔχον, ἄλλων τῶν σωτηρίων ἐόντων, τὴν ἀπόστασιν δηλοῖ." Ἄλλο· „Οὖρον ἐν πυρετοῖς ἐναιώρημα κριμνῶδες ἔχον, χρονίαν νόσον σημαίνει." Καὶ περὶ μὲν τῶν ἁδρομερεστέρων ὑποστάσεων, τῶν ἐν τοῖς οὔροις γενομένων τε καὶ φαινομένων ἱκανὰ τὰ εἰρημένα.

### κβ΄. Περὶ δυσωδῶν οὔρων. 134

1. Τὸ δυσῶδες οὖρον διάφορα σημαίνει. Οὖρον κάκοσμον καὶ δακνῶδες ὑγρῶν σῆψιν σημαίνει. 2. Καὶ πάλιν ἐν πυρετοῖς ὑδατῶδες καὶ λευκὸν οὖρον λευκοῖσιν ἐναιωρήμασι δυσῶδες, παρακοπὴν παύει. 3. Καὶ ἄλλως τε οὖρον ἐν πυρετοῖσιν ὀξέσι παχύ, μέλαν, καὶ δυσῶδες οὐδὲν τῆς κύστεως ἐχούσης, θάνατον σημαίνει. 4. Καὶ ἄλλως· οὖρον ὀδμὴν ἔχον βαρεῖαν σύντηξιν δηλοῖ. δηλοῖ δὲ καὶ σῆψιν

καὶ νέκρωσιν τῆς φύσεως. Καὶ περὶ μὲν τῶν τοιούτων οὔρων ἱκανὰ τὰ εἰρημένα.

*κγ΄. Περὶ τῶν συμπλοκῶν τοῦ χύματος καὶ τοῦ παρυφισταμένου μετὰ τῶν ἐνδεχομένων χρωμάτων.*

1. Ἐπειδὴ δὲ τὰς ἔμπροσθεν συμπλοκὰς ἐποιήσαμεν
τοῦ τε λεπτοῦ καὶ παχέος μετὰ τῶν χρωμάτων ἀρτίως,
συμπλέξωμεν τὸ χύμα καὶ τὸ παρυφιστάμενον μετὰ τῶν
ἐνδεχομένων χρωμάτων, καὶ τί σημαίνει τούτων ἕκαστον
παραθῶμεν. 2. Καὶ ἐπειδὴ τὸ παρυφιστάμενον τῇ οὐσίᾳ
136 παχύ, δηλονότι ἢ ἀπὸ πέψεως ἐπαχύνθη, ἢ ἐκ περιουσίας
παχέων καὶ ὠμῶν χυμῶν, λοιπὸν τοῦτο μετὰ λεπτῆς συστάσεως τὸ παρυφιστάμενον συνελθεῖν οὐ δύναται, πλέξωμεν οὖν αὐτὸ τὸ παχὺ χύμα μετὰ ὑποστάσεως καὶ ὑπερύθρου χρώματος καὶ ἐρυθροῦ. Ἐν γὰρ ταῖς συμπλοκαῖς ταύταις τὰ ἀπεψίαν δηλοῦντα χρώματα συνελθεῖν οὐ δύναται. 3. Ἀρξώμεθα οὖν τὴν συμπλοκὴν ποιεῖσθαι μετὰ τοῦ ὑπερύθρου καὶ ἐρυθροῦ χρώματος, ἐπειδὴ τὸ μὲν ἀπὸ ἰχωροειδοῦς αἵματος γίνεται, τὸ δὲ ἐκ τελείου. Χρὴ δὲ γινώσκειν ὅτι χρώματά τινα συμπλεκόμενα ἐν ταῖς συστάσεσι τοῦ χύματος, ταῦτα καὶ ἐν ταῖς ὑποστάσεσιν· ἀλλ᾽ ἐν ταῖς ὑποστάσεσιν ἀνείμενα. 4. Τί δηλοῖ τὸ παρυφιστάμενον παχὺ ὑπέρυθρον μετὰ παχείας συστάσεως; αὕτη ἡ συμπλοκὴ συνίσταται, καθὼς καὶ ἀνωτέρω εἴρηται, καὶ δηλοῖ μῆκος νόσου. Εἰ δὲ εἴη τὸ οὖρον ὑπέρυθρον, καὶ ἡ ὑπόστασις ὑπέρυθρός τε καὶ λεία, καὶ τὰ ἑξῆς. 5. Τί δηλοῖ τὸ παρυφιστάμενον παχὺ καὶ ἐρυθρὸν μετὰ παχείας συστάσεως; Καὶ αὕτη ἡ συμπλοκὴ συνίσταται, καὶ δηλοῖ πλῆθος αἵματος διά τε τῆς συστάσεως καὶ τοῦ παρυφισταμένου. 6. Τί δηλοῖ τὸ παχὺ μέλαν μετὰ παχείας συστάσεως; Καὶ αὕτη ἡ συμπλοκὴ συνίσταται, καὶ ὑπερόπτησιν κατά τε τὴν σύστασιν καὶ τὸ παρυφιστάμενον δηλοῖ·
138 ὁμοίως δὲ καὶ μετὰ τῶν χρωμάτων τῶν ἐνδεχομένων συμπλακῆναι τῇ συστάσει, καὶ τῷ παρυφισταμένῳ τὰ αὐτὰ σημαινόμενα δηλώσουσιν ὑπερβολῆς καὶ ἐλλείψεως, πλὴν τῆς συμμετρίας ἀμφοτέρων τῆς τε συστάσεως καὶ τοῦ παρυφισταμένου μετὰ τῶν κατὰ φύσιν χρωμάτων, ἢ ὡς μετὰ

*πυῤῥοῦ ἢ ὑποπύῤῥου. Καὶ γὰρ τοῦτο δηλοῖ τὴν ἀρίστην πέψιν ἔν τε συστάσει καὶ παρυφισταμένῳ καὶ ἐν τῷ χρώματι. 7. Καὶ περὶ μὲν τῆς τῶν οὔρων διδασκαλίας κατά τε γένη καὶ εἴδη καὶ διαφορὰς καλῶς ἐκτεθήκαμεν. Εὐχαρίσωμεν οὖν Χριστῷ τῷ ἀληθινῷ θεῷ ἡμῶν, τῷ εὐοδώσαντι ἡμᾶς εἰς τὸν δρόμον τῆς αὐτῆς πραγματείας, καὶ ἀξιώσαντι ἡμᾶς καὶ ἀρχὴν καὶ τέλος ἐπιθεῖναι αὐτῇ εἰς διόρθωσιν τῶν ὁπωσοῦν ἐπιθυμούντων ἐκ πάσης προαιρέσεως μανθάνειν.*

## XVII.

### * INEDITA CARMINUM MANUELIS PHILAE EX CODICE MONACENSI CCLXXXI. CHART.

---

*Θάλαμος ἰδού, νυμφικὴν φέρων κλίνην,*
*ἐφ' ἧς ἀτεχνῶς εὐπρεπής, ἡ Ῥωξάνη.*
*σκοπεῖ δὲ τὴν γῆν ὡς ὑπ' αἴδους ἡ κόρη,*
*μὴ πρὸς τὸν Ἀλέξανδρον ἑστῶτα βλέπῃ.*
*ἔρως δέ τις πάρεστιν ἐξ ὀπισθίου,*
*καὶ τῆς κεφαλῆς τὴν καλύπτραν ἑλκύσας*
*τῷ νυμφίῳ δείκνυσι τὴν ποθουμένην.*
*ἄλλοι δ' ἀφαρεῖ τοῦ ποδὸς τὴν ἀρβύλην,*
*δουλοπρεπεῖ σχήματι καμφθεὶς εἰς γονύ.*
*ταύτην γὰρ ἂν βούλοιτο καὶ κατακλίνειν*
*ἄλλοι δὲ τῆς χλανίδος αὐτὴν ἁρπάσας*
*ἕλκει πρὸς αὐτὸν ἐμβριθῶς τὴν Ῥωξάνην.*
*ὁ γοῦν βασιλεὺς γειτνιῶν τῇ παρθένῳ*
*πρὸ τοῦ γάμου στέφανον εὐθὺς εἰσφερεῖ*
*καὶ νυμφαγωγῶν συμπαρῆν Ἡφαιστίων,*
*ὃς ἀπερεισθεὶς εἰς τὸ μειρακύλλιον.*
*τὸ φαιδρὸν ὦ βέλτιστε καὶ βρύον τόδε·*
*πρὸς γὰρ τὸν ὑμέναιον ἡ τέχνη βλέπει,*
*γαμηλίου δείκνυσι πυρσοὺς λαμπάδος.*
*ἄλλοι δ' ἔρωτες αὖθις ἡδεῖς ἐκτόπως*
*ἐν τοῖς ὅπλοις παίζουσι τοῖς τοῦ νυμφίου.*
*Οἱ μὲν γὰρ αὐτῶν ὡς ὁρᾶν ἔχεις δύο,*
*κατωμαδὸν φέρουσιν αὐτοῦ τὸ ξίφος,*
*ἄλλοι δὲ δύο τῶν βασιλέων ἕνα,*
*ἡττημένον σύρουσιν ἐκ τῆς ἀσπίδος*
*λαβόντες αὐτῆς τὰς ἀπὸ σκότους πέδας*

εἷς δ' ἄλλος εἰσδὺς ὕπτιον [ἐς] θώρακα
τάχα τὸν ἑσμὸν ἐκταράξει τῶν φίλων
ὅταν ἐπ' αὐτὸν ἡ ῥοπὴ τούτους φέρῃ,
πλὴν οὐ γραφὴ καὶ μῦθος ἁπλῶς ἃ βλέπεις
ἀλλ' ἔστιν εὑρεῖν ἀπὸ τῶν ὁρωμένων,
ὡς αὐτὸς Ἀλέξανδρος ἐλθὼν εἰς γάμους
τῶν Ἀρεϊκῶν εἴχετο σπουδασμάτων.

* * *

*Ἔφοδος περὶ γυπῶν.*

Προγνωστικὴν ἔχουσι καὶ γῦπες φύσιν
οὓς μίξεως πλὴν καὶ σπορᾶς λόγος κύειν
σπῶντας πνοῆς ὄλισθον ἐν τοῖς ἐγκάτοις
ὅταν κατ' ἀνδρῶν τακτικῶς ὡπλισμένων
ἄλλους ὁ τῆς ἔριδος ὁπλίζῃ χρόνος,
σφυγμῶντος αὐτοῖς τοῦ καταλλήλων θράσους,
ἴσασι γὰρ δὴ τὴν ἑκατέρων τύχην,
καὶ τοὺς νικητὰς πρὸς σφαγῆς ἢ τραυμάτων
ὥσπερ πόλιν ἴσασι τοὺς θανουμένους·
καὶ τοῦτο σαφὲς ἔκ τινων γνωρισμάτων
οἷς εὐστόχως δίδωσιν ἡ πεῖρα κρίνειν.

* * *

*Πρός τινα διασύροντα αὐτὸν ἰδεῖν εἰρηκότα ἐν τῇ Περσίδι γυναῖκας ᾠοτόκους ἐξ ἐπῳδῆς.*

Ἐγὼ μὲν ἐξήνεγκα τὸν καινὸν τόκον
καὶ τοῖς φίλοις προὔθηκα ῥαστώνης χάριν,
ᾠῶν φορητὸν ἐκ γονῆς φιλοπτέρου.
ἐχρῆν γὰρ εὑρεῖν καὶ γυναῖκας ἐν Σκύθαις,
αἳ πολλάκις τίκτουσιν ὀρνίθων τρόπον,
ὅταν ὁ Σατὰν ὡς ἀλέκτωρ αὐθάδης
σοβῇ κατ' αὐτῶν τὸ πτερὸν καὶ τὸν λόφον.
εὐθὺς γὰρ αὐταῖς ἐνσπαρείσης τῆς λύμης,
σφαιροῖ πρὸς ᾠὸν ὀστρακοῦσα τὸν τόκον,
ἢ πρὸς τὸ χεῖρον ἕξις ἐκ παροινίας.

*σὺ δ' ὄρνις οὐκ ὢν συγκομίζεις τοὺς τόκους.*
*εἰς τὴν καλιὰν τῆς ψυχῆς κεκρυμμένους*
*καὶ τῷ πλατυσμῷ τοῦ πτέρου τῆς καρδίας*
*φρουρεῖς περισχὼν τοὺς κυλίνδρους τῶν χόγων*
*καὶ πῦρ καθ' ἡμῶν τῇ σχολῇ ταύτῃ πνέεις,*
*ὡς ἂν ὁ καινὸς τῇ πυρᾷ θαλφθεὶς τόκος*
*ἀναστομωθῇ πρὸς γονὴν σοι φιλτάτην.*
*καὶ γὰρ νεοσσοὺς τὰς ἐμὰς ὕβρεις κρίνεις,*
*ἐγὼ δέ σοι δέδοικα μὴ τοὐναντίον,*
*ὄφεις ἐν ᾠοῖς ὀργανοῖς ἀντ' ὀρνίθων,*
*ὅταν ἐπ' αὐτῶν ἐγχρονίζῃς τῇ ζέσει,*
*οἳ κατὰ καιρὸν ἐκδραμόντες ἀθρόοι*
*πλήξουσι καὶ ῥήξουσι καὶ φθεροῦσί σε*
*τὰ τῶν ἐχιδνῶν ἐκμιμούμενοι βρέφη.*
*πλὴν ἄφες αὐτοὺς ἐκφυῆναι τοὺς τόκους,*
*τῆς σῆς καλιᾶς τοὺς μυχοὺς καθαγνίσας,*
*οὐ γὰρ ἐπῳάζουσι τοῖς ἀλλοτρίοις,*
*οὐδ' ὄρνιθες πολλάκις, ὦ τᾶν, οὐδ' ὄφεις,*
*πρὶν ἂν ὁ καιρὸς τῆς γονῆς ἀναγκάσοι.*

* * *

*Περὶ ἐρωδιῶν.*

*Ἐρωδιοὺς νῆσός τις Ἑλληνὶς τρέφει,*
*οἳ τὴν ἑαυτῶν εὐγενίζοντες φύσιν*
*ὅσους μὲν ἂν ἴδωσι δεῦρο βαρβάρους,*
*μισοῦσι καὶ φεύγουσιν ὡς πτηνὸν γένος·*
*ὅταν δὲ κατάρῃ τις ἐκ τῆς Ἀττίδος,*
*εἰσὶ προσηνεῖς καὶ φιλέλληνες πάλιν.*
*εὐθὺς γὰρ αὐτῷ προσδραμόντες ἀθρόοι*
*τείνουσι τὰς πτέρυγας ὡς χεῖρας φίλοι.*
*κἂν οὗτος αὐτοῖς ὡς ἐθὰς προσεγγύσῃ,*
*στέγουσιν ἀφὴν εὐμενοῦς ἀλλοτρίου.*
*οὕτω πτερωτοὺς τοῦ φιλεῖν διδασκάλους*
*τοῖς ἀπτέροις δίδωσιν ἡ νῆσος ξένοις.*

* * *

*Εἰς τὸν μεταξοποιὸν σκώληκα.*

Καὶ σηρινοῦ νήματος ὑφαίνειν λόγους,
τῇ φιλίᾳ δίδωσιν ἡ Κλωθὼ τύχη,
πλὴν ὡς ὑφαντὸν καὶ κροτόπλοκον τέρας,
ἀμπίσχεται καὶ τοῦτο λαμπρῶς ἡ φύσις
ὡς νυμφίου θέλγουσα τὸν φθόρον χρόνον.
ἐγὼ δ' ἐμαυτοῦ σωφρονέστερος μένω,
ταλασία σκώληκος ἠσφαλισμένος,
εἰ σῶμα νωθρὸν καὶ περικεκλασμένον
ἢ καὶ χαμερπὲς καὶ κατεστυγημένον,
τοσοῦτον ἔργον τῷ βίῳ χαρίζεται.
ἐκ γὰρ ἀπαγοῦς καὶ βραχυτάτου σπόρου,
θαλφθέντος εἰς πῦρ ἢ λινοῦν ὕφασμά τι
ἢ διφθέρας ἔλυτρον, ἢ κόλπου ζέσιν,
ῥηγνυμένου πρόεισιν ἀμβλύς τις τόκος
ὡς κάρφος ἢ θρίξ, ἤ τι λεπτὸν ἐκτόπως
καὶ ζῇ καθ' αὑτὸν ἠρέμα κινούμενος,
καὶ βόσκεται τὰ φύλλα τῶν συκαμίνων,
τὸ τῆς τρύγης βέλτιστε μαστεύων γάλα.
πλὴν ἀπολεπτύνουσι φειδοῖ τοῦ βρέφους,
χεῖρες γυναικῶν τὴν τροφὴν τὴν φυλλίνην,
ἐπεὶ τὸ παχὺ καὶ τραχὺ πρὸ τοῦ χρόνου
τοῖς χρωμένοις κίρνησιν οἰκτρὰν ἀγχόνην.
ὅταν γε μὴν αὔξησιν ἡ φύσις λάβῃ,
δεῖται τροφῆς τὸ σῶμα δαψιλεστέρας.
κεῖται δ' ἐπ' αὐτῆς ἀτρέμας τῆς θρύψεως,
καρηβαριῶν ὑπὸ τῆς ἀπληστίας,
καὶ πᾶν τὸ σαπρὸν ταῖς τροφαῖς ἀποξύων,
δορᾶς νεαρᾶς ἐνδιδύσκεται σκέπην
καὶ πάλιν αὐτὴν εἰ βραχὺς λύσει χρόνος,
ἐκτείνεται γὰρ τῇ τροφῇ τὴν γαστέρα,
ὥσπερ τις ἁβρὸς ἄλλο τι στολίζεται
πᾶσαν δὲ συντίθησι τὴν βρῶσιν κάτω,
τὸ μηκέτι χρήσιμον ἐκκρίνων μόνον,
ἂν δ' ἐκτραχυνθῇ τῆς χλιδῆς ἡ λεπτότης,
ὁ σὴς παρευθὺς τὰς τροφὰς ἀναπτύει

καὶ τὰς ἀμοιβὰς τοῖς τροφεῦσιν ἐκτίνων
διαπλέκει τὸ νῆμα τῶν ἐντοσθίων.
καὶ βουκράνου κίνησιν ἑστῶτος φέρων,
ταλασιουργεῖ καὶ στιβάζει τοὺς μίτους.
πλὴν ἀλλ' ἴδε στράτευμα συχνὸν ἐνθάδε
καὶ τὴν φυσικὴν τακτικὴν μὴ φαυλίσῃς.
οἱ γὰρ φάγοι σκώληκες, οὓς πρὶν ἐσκόπεις
νωθεὶς ἀτεχνῶς καὶ βραδεῖς καὶ δυσκόλους
σοβοῦσι καὶ βομβοῦσι ταγμάτων τρόπον,
καὶ τὰς κόμας τρέχοντες ἀβρῶς τῶν κλάδων.
ποιεῖ γὰρ αὐτοὺς ἀντὶ βάθρων ὁ χρόνος
τῇ καταγωγῇ τοῦ στρατοῦ πεπηγμένους,
καί τις ἐπ' αὐτοὺς ἡγεμὼν τεταγμένος,
πρὸ τοῦ στίφους ἄνεισι καὶ βλέπει κάτω,
καὶ τὴν τελευτὴν ταῖς φυλαῖς ἐπιτρέπει
τούτων δὲ σὴς ἕκαστος εὐθὺς ἐκπτύων,
τὴν καταγωγὴν ὀργανοῖ τὴν ἐσχάτην.
ἡ σύνθεσις γὰρ τῶν πολυστρόφων μίτων
σφαῖρα προμήκης τῷ πλέκοντι γίνεται.
χαίρει δὲ τοῖς τέρπουσιν ὁ σκώληξ μύρσις
καὶ τοὺς βαρεῖς ἄνωθεν οὐ στέγει ψόφους.
αἱρεῖ γὰρ αὐτὸν καὶ ψιλὴ δυσοδμία,
καὶ μῦς λαθὼν καὶ πνεῦμα καὶ βροντῆς κτύπος.
θνήσκει δὲ τοῦ κλάοντος οὐκ ὄντος γένους,
κλεισθεὶς ἐν αὐτῇ τῆς πλοκῆς τῇ συνθέσει
μετὰ χρόνον δέ τινα παπαὶ τοῦ ξένου,
ζῷον πτερωτὸν ἐκ ταφῆς ἀνηγμένος,
τὴν τοῦ γένους ἔγερσιν ἡμῖν δεικνύει.
καὶ γὰρ ὁ νεκρὸς καὶ τεταριχευμένος
εἰς δεύτερον φῶς εὐπρεπῶς ἀνατρέχει.
τούτου γε μὴν Ἥρακλες Ἑρμῆ τὸν τάφον
χαυνοῖ τὰ θερμὰ τοῦ λέβητος ὕδατα
καὶ σφαῖρα καὶ χεὶρ καὶ βραχὺ τμῆμα κλάδου,
πυκναῖς ἀκανθῶν ἐξοχαῖς πεφυρμένον,
τοὺς δυσπλόκους λύουσιν εὐτέχνως μίτους
καὶ γίνεται τὸ πλέγμα τοῦ θνησειδίου,
χιτὼν ἀτεχνῶς καὶ βασιλεῦσι πρέπων.

οὐδὲν γὰρ εἰκῇ συμπαρήχθη τῇ κτίσει,
ἂν καὶ τὰ φαυλότατα σωφρόνως βλέπῃς.
σκώληξ μὲν οὖν ὄνειδος ἀνθρώπων γένου,
τῷ μετρίῳ σχήματι σαυτὸν σεμνύνων,
ἑλοῦ δὲ τὸν τραχύν τε καὶ σκληρὸν βίον
τοῖς τοῦ λόγου βρώμασι τὸ πνεῦμα τρέφων.
ἐπὶ δὲ τοῖς τεκοῦσι μὴ φρόνει μέγα·
σκώληξ γὰρ αὐτόμαζος οὐ κυΐσκεται·
ὅταν δὲ καλῶς ὀργανωθῇς τῷ χρόνῳ,
τῆς ἀρετῆς τὸν οἶκον εὐτρέπιζέ μοι
καὶ θνῆσκε νεκρῶν τῶν μελῶν σου τὸν τόνον,
ὡς ἂν λάβῃς πτέρωσιν οὐρανοδρόμον.
ὁ δὲ χρόνος τὸ νῆμα τῆς μνήμης φέρων,
τὸ τῶν κρότων ὕφασμα λαμπρῶς σοι πλέκῃ.
ἐμοὶ δὲ νυνὶ τὸν καλὸν πέπλον δίδου,
λαβὼν ἀπ᾽ αὐτῶν εὐλαβῶς τῶν διπτύχων,
καὶ ῥᾳδίως πέραινε τὰς ὑποσχέσεις.
οὐ γὰρ ἐπαινῶ τὰς ῥεούσας ἐλπίδας
ἃς πολλάκις ἥρπασεν ὡς κλὼψ ὁ χρόνος.
ἔστω δὲ μαλθακός τις, ὦ ξένη φύσις,
ἀφ᾽ Ἑστίας ὅ φασιν ἐξειργασμένος.
οἱ γὰρ παραπλέκοντες ὀθνείους μίτους
εἰς τὰς ἀγωγὰς τῆς ὑφιστώσης κρόκης
ὠνητὸν ἠσπάσαντο καὶ φαῦλον βίον
ὁρῶντες εἰς τὸ κέρμα τῶν πλανωμένων.
σὺ δὲ στιβαρὰν εὐτυχῶν τὴν καρδίαν
καὶ παντὸς ὢν ἄγευστος, εἰ καί τις δόλου
δώσεις καθαράν, ἥνπερ ὑπέστης χάριν. —

---

### Εἰς τὸν στρουθοκάμηλον πολιτικοί.

Ἀπὸ καμήλου καὶ στρουθοῦ σύνθετον εἶδον τέρας
οὔτε πτηνὸν οὔτε πεζόν, ἐξ ἑκατέρων γένος·
ὃ καὶ τῇ χέρσῳ σπένδεται, καὶ πρὸς αἰθέρα τρέχει.
καὶ γίνεται μεταίχμιον τούτοιν ἀμφοῖν τὸ ζῶον,
ἀξύμβλητον, οὐδέτερον, ἡμιτελές, ἀστεῖον.

*εἰς γὰρ ἀγώνισμα κοινὸν τοῦ σκήνους προκειμένου*
*καὶ μαχομένης πρὸς τὴν γῆν τῆς ἐν αἰθέρι βίας,*
*τὸ μὲν παχὺ τοῦ σώματος καὶ πῖον καὶ γεῶδες*
*ἐναπομένει τῷ βάρει τῆς ὑποσπώσης ὕλης.*
*καὶ τοῦτο δῆλον ἐξ αὐτῶν τῶν στέρνων καὶ τῶν νώτων*
*καὶ τῆς πυγῆς καὶ τῶν ποδῶν καὶ τῆς ἁδρᾶς ἰγνύης.*
*ὅσον δὲ κοῦφον καὶ λεπτόν, αὖθις αἰθὴρ λαμβάνει*
*καὶ γίνεται τὸ σπάραγμα τῆς ἀνθολκῆς τῆς ξένης,*
*τράχηλοι κοῦφος καὶ λεπτὸς καὶ γλίσχρος καὶ προμήκης.*
*ἡ μέντοι παραπτέρωσις, ἠρέμα πλημμελοῦσα,*
*περισκεπὲς καθίστησιν ἐν μέρει τὸ σαρκίον,*
*ὥσπερ τοῦ τάχους τῶν ποδῶν ἀρκοῦντος πρὸς τὸν δρόμον,*
*τὸ δὲ πτηνὸν δὲ καὶ πεζὸν ἀνασοβοῦν καὶ τρέχον,*
*περικολποῖ τὴν πτέρωσιν τοὺς πόδας ὑπεξαῖρον,*
*καὶ δείκνυται κουφότερον ἀπὸ τῶν ἐξαλμάτων.*
*εἶτα δοκοῦν ἀφίστασθαι, πάλιν ἐκτρέχει βάδην*
*καὶ πάλιν ὑπεφίπταται καὶ πάλιν ἐφιζάνει·*
*νικᾷ δὲ πρὸς τὴν ἅμιλλαν, ἡ χέρσος τὸν αἰθέρα*
*κἀν τούτῳ δή μοι θαύμαζε τὸ πτερωτὸν χερσαῖον.*
*καὶ γὰρ συνελαυνόμενον καὶ περαιτέρω τρέχον,*
*ἐνολισθαίνει ταῖς καμπαῖς ὑπὸ τῆς τραχύτητος.*
*καὶ τοῦ τραχήλου τὸν ὁλκὸν εἰς τὸ λοξὸν ἐπαῖρον,*
*δοκεῖ τὴν πτῆσιν ἀπειλεῖν τῇ τῶν πτερῶν ἐντάσει.*
*τῶν δὲ σκελῶν τὰς ἀγωγὰς ἀνέλκον ἐπ' εὐθείας*
*καθάπερ ἐπὶ πρόσθεσιν τὸ δάπεδον ἀμείβει.*
*καὶ τηνικάδε κάμηλον τετράπουν εἰκονίζει,*
*κλεπτούσης τῆς γοργότητος τῆς ἐναλλὰξ τοὺς πόδας.*
*δεῖ γὰρ τὰς φύσεις, βέλτιστε, καὶ τῶν ἀλόγων ζῴων*
*δωροφορεῖν τῷ βασιλεῖ τὰς θαυμαστὰς γενέσεις.*

* * *

Εἰς τοὺς ιβ μῆνας.

1. *Τοῦτ' ἄρα σαφές, ὁ γραφεὺς γὰρ ἐνθάδε*
*τῷ Μαρτίῳ μὲν ὅπλα καὶ θάρσος γράφει*
*καὶ κτῆνος ὀργῶν· τακτικὸς γὰρ ὁ χρόνος.*

2. Ἀπρίλλιον δὲ ταῖς γοναῖς καὶ ταῖς πόαις
καὶ ταῖς λύραις δείκνυσι τῶν προβατέων
οἷς καὶ γάλα προὔθηκεν ἀμέλγειν ζέον.

3. Καὶ Μάϊος μὲν τῇ κρόκῃ τῶν ἀνθέων
τὴν βασιλίδα τάχα τιμᾷ τοῦ χρόνου
χιτῶνας αὐτῷ συντιθεὶς ῥοδοχρόους.

4. Ἰούνιος δὲ τὴν φυὴν τετηγμένην
ἄλλῃ δρόσῳ κάτωθεν ἡβῶν φαιδρύνει,
θήγει δὲ καὶ δρέπανον εἰς ἕλους χλόην.

5. Ἰουλίου δὲ βοῦς ὑποζεύξας θέρους
τῶν ἀποδέσμων συντρίβει τὸν ἄσταχυν
καὶ τῇ καθ' αὐτὸν ἀντιτεχνᾶται ζέσει.

6. Ὁ δὲ φθίνων Αὔγουστος ἀλγῶν ἐν κλίνῃ
ῥιπτίζεται μέν, ἀλλὰ πυρέττει πλέον,
κἂν τῶν ὀπωρῶν εὐτραπίζῃ τὸ ψύχος.

7. Σεπτίβριος δὲ τοὺς γλυκεῖς βότρυς φέρει
καὶ ληνοβατῶν εὐλογεῖ τὰς ἐλπίδας
καὶ ξυλίνην γέγηθε πιθάκνην βλέπων.

8. Ὀκτόβριος δὲ κυνικὸν πράττων βίον
κίρκοις τε καὶ σκύλαξι καὶ βέλους δρόμῳ
αἱρεῖ πετεινὰ καὶ λαγὼς καὶ δορκάδας.

9. Νοέμβριος δ' οὖν αὐλακίζει τῷ σπόρῳ
καὶ τῶν κορωνῶν ἀντιπίπτει τῷ θράσει,
μὴ χανδὸν ἁρπάσωσι καὶ τὰς ἐλπίδας.

10. Δεκέβριος δὲ τοὺς βαρεῖς λύσας πόνους
αὐτὴν ἑαυτῷ δεξιοῦται τὴν φύσιν
σίφωνι καὶ κρατῆρι καὶ πίθων χύσει.

11. Ὁ δ' αὖ μετ' αὐτὸν ἐκ νεφῶν ὄμβρου βλέπων
συῶν φαγαῖς κέχηνε βορβοροτρόφων.

12. Ὁ δ' ἔσχατος μήν, εἰς ποτὸν χαίνει ζέον,
καὶ πῦρ ὁμαλὲς καὶ κρεῶν ἀμετρίαν.

## ΕΠΙΓΡΑΜΜΑΤΑ.

### α΄.

Περὶ τῆς παμφάγου γαστρός.

Οἴδημα γαστρός, βλαπτικῶν ἔργων τόκος,
ὁ γὰρ ἀφανὴς τῶν παθῶν φυτοσπόρος
ἀνδρίζεται μὲν τὴν τροφὴν ἐπεισφέρων.
Θεοῦ δὲ λιμὸν προξενεῖ παραυτίκα.

### β΄.

Περὶ ὕπνου.

Τὰς εἰσαγωγὰς τοῦ μονοτρόπου βίου
ἀγρυπνία ῥύθμιζε καθεύδων μόλις.
δεῖ γάρ σε φυγεῖν τὰς ὀνειρολεσχίας
μὴ γὰρ γαλισθῇς ὑπὸ φιλοσαρκίας.

### γ΄.

Περὶ ἀγρυπνίας.

Εἴνοικον αὐχῶν τὴν καλὴν ἀγρυπνίαν,
τοῖς ἀγγέλοις ἄνθρωπε συμψάλλεις τέως.
εἰ δ' ὑπὸ τοῦ σκάμματος ἡ φύσις κάμῃ
τῷ μετρίῳ τόνωσον αὐτὴν φαρμάκῳ.

# XVIII.

## * ΠΕΡΙ ΧΡΟΙΑΣ ΑΙΜΑΤΟΣ

### ΤΟΥ ΑΠΟ ΦΛΕΒΟΤΟΜΙΑΣ ΕΚ ΤΗΣ ΙΑΤΡΙΚΗΣ ΤΩΝ ΠΕΡΣΩΝ.

---

1. *Τὸ κατάμαυρον αἷμα * * * ὅτι ἰχῶρα οὐ ποιήσει, ῥίγια σημαίνει· εἰ δὲ ποιήσει ἰχῶρα τουτέστιν ὑγρόν, ὡς νερόν, ἀγαθόν.*

2. *Αἷμα ἑλκῶδες ἀπαλλαγὴν τῆς νόσου σημαίνει.*

3. *Αἷμα ῥεῦσαν ὡς βενετόν, μὴ φαινομένου αἵματος ἐν οἵῳ δή τινι μέρει τοῦ ἀγγείου, ὀλιγοχρόνιος ἔσται ὁ νοσῶν· εἰ δὲ πράσινος ὀφθείη ἡ τοῦ αἵματος χροιά, θάνατον ταχύτατον πάνυ δηλοῖ, ἤγουν πεμπταῖος ἢ ἑβδομαῖος ὁ τοῦτο ἔχων ἀποθνήσκει.*

4. *Εἰ δὲ ὡς σχιστὸν ἀρσενικόν ἐστι, θάνατον καὶ τοῦτο σημαίνει· εἰ δὲ καὶ πισσῶδες, ἐκεῖνον σημαίνει. εἰ δὲ καὶ ἕλκος λευκὸν ἢ βορβορῶδες, σῆψιν δηλοῖ.*

5. *Αἷμα κογχυλῶδες ὥσπερ ὀξὺ μετάξιον, θάνατον σημαίνει.*

6. *Αἷμα ἐν τῷ ἀγγείῳ τὸ ἥμισυ φαινόμενον λευκὸν καὶ τὸ ἥμισυ αἷμα ὑγείας ἐστὶ δηλωτικόν.*

7. *Αἷμα ἔχον μέσον λευκόν, θανάσιμον.*

8. *Αἷμα παχύ, μέλαν καὶ δυσῶδες, ἔχον λώρια μέσον ὀστρακώδη, ἐπίκαιρος ἔσται ἡ ζωὴ τοῦ ἀνθρώπου· εἰ δὲ φοινίκινον ἔχει χρῶμα, μακρονοσίαν δηλοῖ.*

---

# XIX.

## * ΠΕΡΙ ΓΕΝΝΗΣΕΩΣ ΑΝΘΡΩΠΟΥ ΚΑΙ ΓΟΝΗΣ.

---

1. *Νόμος μὲν πάντων κρατύνει. ἡ δὲ γονὴ τοῦ ἀνδρὸς ἄρχεται ἀπὸ παντὸς τοῦ ὑγροῦ τοῦ ἐν τῷ σώματι, ὄντος τὸ σῶμα τὸ ἰσχυρότατον ὑπὸ κάτωθεν.* 2. *Ἔχει δὲ νεῦρα καὶ φλέβας ἀπὸ παντὸς τοῦ σώματος τεινούσας εἰς τὸ αἰδοῖον, ὡς εἰπεῖν, τριβομένου καὶ διαθερμαινομένου, ὡς ἐξ ἀκοντίου ῥίπτει τὸ σπέρμα ἔξω οὐχ ὅπου τὸ οὖρον, ἀλλ᾽ ὅπου ἡ ὁδός ἐστι τῶν ὄρχεων, νεῦρα καὶ φλέβες εἰς αἰδοῖον τηροῦσαι.* 3. *Καὶ τοῦ μὲν ἀνδρὸς ἡ γονὴ ἰσχυροτέρα ἐστί, τῆς δε γυναικὸς ἀσθενεστέρα.* 4. *Εἰσὶ δὲ τέσσαρες ἰδέαι τοῦ σώματος, αἵματος, φλέγματος, χολῆς ξανθῆς καὶ χολῆς μελαίνης.* 5. *Ἐν δὲ τῷ καιρῷ τῆς συνουσίας εἰς τὴν μῖξιν τῶν αἰδοίων παρατριβομένων καὶ διαθερμαινομένων ἐμπίπτει ἡ ἡδονὴ καὶ θερμαίνει τὸ αἰδοῖον, καὶ πληροῦται τοῦ σπέρματος.* 6. *Καὶ ἡ μὲν γονὴ ἐπ᾽ ἀμφοτέρων ἐμπεσοῦσα μέση εἰς τὴν μήτραν ἔσω, καὶ εἰ μὴ ἀποῤῥέει τῶν ἔξω, ἀλλὰ φυλαχθῇ τῇ μήτρᾳ, ἀθροίζεται καὶ παχύνεται, καὶ θερμαινομένη καὶ ἐμφυσωμένη ὑπὸ τοῦ πνεύματος δίοδος ἔσω καὶ ἔξοδος γίνεται καὶ διὰ τοῦ ὑμένος, κἀκεῖ πρῶτον ταύτην ἕλκει εἰς ἑαυτόν.* 7. *Ὅταν δὲ ὁδὸς γένηται τοῦ πνεύματος, ἔξω τοῦ θερμοῦ ὄντος, αὖθις ἕτερον ψυχρὸν ἐπισπᾶται δι᾽ αὐτῆς μήτρας καὶ τοῦτο ποθεῖ διὰ παντός.* 8. *Καὶ τὸ μὲν αἷμα μιγνύμενον τῇ γονῇ σὰρξ γίνεται, καὶ θερμαινομένη ὑπὸ τοῦ πνεύματος αὔξει καθ᾽ ἡμέραν καὶ πληθύνεται. ἅμα γὰρ ἡ γονή, ἅμα τὸ πνεῦμα ἐμπίπτει εἰς τὴν μήτραν καὶ αὔξει καὶ πληθύνεται.* 9. *Τὸ γὰρ ἄψυχον οὔτε αὔξει οὔτε πληθύνεται· ἡ δὲ γονὴ αὔξει καὶ πληθύνεται ὑπὸ τοῦ πνεύματος, καὶ*

*ἄρχεται ἕκαστον εἰς τὸν ἴδιον τόπον, τὸ ὅμοιον εἰς τὸ ὅμοιον, καὶ τὸ πυκνὸν εἰς τὸ πυκνόν, καὶ τὸ ἀραιὸν εἰς τὸ ἀραιόν, καὶ ἕκαστον κατὰ τὸ ὅμοιον αὐτοῦ, καὶ διορίζονται καὶ διαρθροῦνται ἔνδοθεν καὶ ἔξωθεν τοῦ σώματος.* 10. *Καὶ ἡ μὲν κεφαλὴ γίνεται ἀφεστηκυῖα ἀπὸ τῶν ὤμων, καὶ οἱ βραχιόνες καὶ οἱ πήχυες ἀπὸ τῶν πλευρῶν· καὶ τὰ σκέλεα καὶ αἱ κνῆμαι διΐστανται ἀπ' ἀλλήλων καὶ τὰ νεῦρα καὶ αἱ φλέβες εἱλήσσονται καὶ ἀμφοῖν τὰς φύσιας τῶν ἄρθρων καὶ τὰ ἔνδον κοιλαίνεται ὑπὸ τοῦ πνεύματος, τὰ ἔντερα γίνονται, καὶ ἕκαστον κατὰ τὸ ὅμοιον.* 11. *Καὶ τὸ μὲν ἄρρεν τὴν πρώτην πῆξιν ποιεῖται δι' ἡμερῶν λ', τὸ δὲ θῆλυ δι' ἡμερῶν μβ'.* 12. *Ὅταν δὲ τὸ παιδίον τελείως διαρθρωθῇ, τότε δὴ τῶν μελέων αὐξανομένων αὐτῷ, διαζωοῦται καὶ ἀνατομοῦται καὶ τὰ ὀστέα σκληροῦνται καὶ κοιλαίνονται ὑπὸ τῆς θέρμης πηγνύμενα, καὶ ταῦτα μὲν ὑπὸ τοῦ πνεύματος γίνεται καὶ κοιλαίνεται.* 13. *Κοῖλα δὲ ὄντα τὰ ὀστέα ἑλκοῦσιν εἰς αὐτὰ ἀπὸ τῶν σαρκῶν τὸ αἷμα. λοιπὸν τὸ ποιότατον τοῦ μυελοῦ διαζωοῦται καὶ διαρθροῦται, αὖθις τὰ ἄκρα τῶν ὀστέων, καὶ διΐστανται ἀπ' ἀλλήλων οἱ δάκτυλοι τῶν χειρῶν καὶ τῶν ποδῶν.* 14. *Ἐπὶ δὲ τοῦ ἄκρου αὐτοῦ οἱ ὄνυχες φύονται, τελευτῶσι δὲ πᾶσαι αἱ φλέβες πρὸς τοὺς δακτύλους τῶν ποδῶν καὶ τῶν χειρῶν.* 15. *Ὅταν δὲ τὸ παιδίον τελείως διαζωωθῇ καὶ οἱ δάκτυλοι καὶ οἱ ὄνυχες ῥιζωθῶσιν, τότε δὴ καὶ τὴν κίνησιν ποιεῖται. ὁ δὲ χρόνος τῆς κινήσεως αὐτοῦ γίνεται τὸ μὲν ἄρρεν μηνῶν τριῶν, τὸ δὲ θῆλυ τεσσάρων.* 16. *Ὅταν δὲ κινηθῇ τὸ παιδίον, τότε δὴ σημαίνῃ τῇ μητρί. οἱ γὰρ μαζοὶ αἴρονται καὶ θηλαὶ ῥαγῶσι, καὶ τὸ γάλα γίνεται ἀπὸ τῶν πομάτων καὶ βρωμάτων καὶ πιεζόμενον ἀποπηδᾷ· ἐπὶ τὸ ἔπιπλον τῶν τιτθῶν, καὶ θερμαινόμενον γίνεται λευκὸν καὶ γλυκύ.* 17. *Καὶ εἰ μὲν ἐπ' ἀμφοτέρων τὸ σπέρμα ἰσχυρὸν ἔλθοι, ἄρρεν γίνεται τὸ παιδίον, καὶ εἰ μὲν ἡ τοῦ ἀνδρὸς γονὴ πλέον ἔλθοι, τῷ πατρὶ ὅμοιον ἔοικε τὸ παιδίον.* 18. *Ἢν δὲ γονὴ τῆς γυναικὸς πλεονάσῃ, τῇ μητρὶ ἔοικεν ὅμοιον, καὶ εἰ μὲν πάλιν ἐπ' ἀμφότερον ἡ γονὴ ἰσχυρὰ ὑπέλθοι, ἀμφοτέρων ἔοικεν ὅμοιον.* 19. *Καὶ εἰ μὲν ἡ μήτρα ᾖ στεγνὴ καὶ μὴ εὐρύχωρος, ἀσθενέστερον καὶ*

*λεπτὸν τὸ παιδίον γίνεται· εἰ δὲ πλατεῖα ᾖ καὶ εὐρύχωρος, ἰσχυρὸν καὶ παχὺ γίνεται.* 20. *Καὶ εἰ μὲν ἡ γονὴ εἰς δύο κόλπους τῆς μήτρας ἐμπέσῃ, δίδυμα ἔσονται τὰ παιδία, καὶ εἰ μὲν ἐν τοῖς δεξιοῖς τῆς ὑστέρας ἐμπέσῃ ἄρρενα τὰ δύο. εἰ δὲ ἐν τοῖς ἀριστεροῖς θήλεα τὰ δύο. ὡσαύτως καὶ τρία καὶ τέσσαρα παιδία γίνονται, ὅταν ἡ γονὴ ἐμπέσῃ εἰς τεσσάρους κόλπους τῆς μήτρας.* 21. *Ἱστορεῖται ἐν ταῖς ἀνατομαῖς τῶν ὑστέρων, ὅτι καὶ πέντε γίνονται παιδία, τοῦ σπέρματος εἰς τοὺς ε΄ κόλπους τῆς ὑστέρας ἐμπεσούσης.* 22. *Τὸ οὖν παιδίον αὔξει καὶ μεγεθύνεται καὶ καθ᾽ ἡμέραν κατὰ βραχὺ τρέφεται ἐκ τῶν αἱμάτων τῶν κατερχομένων τῶν καταμηνίων τῆς μήτρας, ὥς φησιν ὁ Ἱπποκράτης. γυνὴ ἐν γαστρὶ ἔχουσα καὶ φλεβοτομηθεῖσα ἀντιτρώσκει, γνοὺς ὅτι τὸ αἷμα τροφή ἐστι τοῦ παιδίου, καὶ μᾶλλον τὸ ἔμβρυον διὰ στέρησιν τροφῆς ἐκτιτρώσκεται.* 23. *Ὁ δὲ χρόνος τῆς γεννήσεως αὐτοῦ ἐστὶ καιροὶ τρεῖς ἤγουν μῆνες θ΄ τουτέστι διακοσίαι ἑβδομήκοντα ἡμέραι καὶ μόνον καὶ πέντε.* 24. *Εἰσὶ δὲ ἐν ἡμῖν ὀστέα* (*κθ. οὕτως ἡ κεφαλὴ ἔχει ῥαφὰς ε. ἔστι δὲ καὶ μονόραφος κεφαλὴ καὶ ἄραφον* (*ἄνου*?) *κράνιον, ἔστι δὲ τοῦτο ὑγιῆ. ὀδόντες λβ΄. σιαγόνες β΄. ἔχει ἡ ῥάχη σπονδύλους κδ΄ ἀπὸ κεφαλῆς μέχρι τοῦ ἱεροῦ ὀστέου. εἰσὶ δὲ καὶ πλευρὰ κδ΄, κατακλεῖδες β΄, ὦμοι β΄, πλάτες β΄, βραχίονες β΄, πήχεις καὶ καρκίδες β΄, τοῦ καρποῦ ὀστέα η΄, τοῦ μεσοκάρπου δ΄. σύγκεινται δὲ οἱ δάκτυλοι εἷς ἕκαστος ἐκ γ΄ σκυταλίδων, μόνον δὲ οὐ ἀντίχειρος.*

# XX.

## * ΣΚΕΥΑΣΙΑ ΑΛΑΤΙΟΥ ΛΟΥΚΑ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ.

*Ἔχων ἐνεργείας τοσαύτας, ὅσα καὶ τὰ ὑποτεταγμένα κεφάλαια, ἐφ᾽ ᾧ καὶ δωδεκάτεον λέγεται, ὅθεν καὶ εὐσεβῶς βιοῦντες τούτῳ κέχρηνται τῷ φαρμάκῳ. Ὅρασιν τηρεῖ μέχρι γήρως, φλέγμα ἐν τῷ θώρακι οὐκ ἐᾷ γενέσθαι, οὐκ ὀφθαλμίαν, οὐκ ἀπόρροιαν τριχῶν, χολήν τε πᾶσαν καθαιρεῖ, τοὺς χυμοὺς ἀναλύει, σπασμοὺς παύει, ὀδόντας σαλευομένους στηρίζει. 2. Σκευάζω δὲ οὕτως· ὑσώπου κρητικοῦ οὐγγίας δ΄, γλίχωνος οὐγγ. β΄. κιμίνου οὐγγ. β΄. ἐπιθύμου οὐγγ. α΄ ∽. ζιγγιβέρεως οὐγγ. β΄. θύμου οὐγγ. β΄. ἅλατος ὀγ. β΄. ἀμωνιακοῦ ὀγ. β΄. ἄμμεως ὀγ. κ΄. ἅλατος ὀρυκτοῦ ὀγ. β΄. ἀστραγωρειγάνου ὀγ. δ΄. πεπέρεως κοινοῦ οὐγγίαν α΄. πεπέρεως μακροῦ ὀγ. α΄. πεπέρεως λευκοῦ ὀγ. α΄. Τὰ πάντα θήσας καὶ τρίψας χρῶ ἐξ αὐτῶν καθ᾽ ἑκάστην ἐσθίων, ὁ ἐμβάπτων ἐν αὐτῷ τὰς τροφὰς πάσας.*

---

## * ΑΛΑΤΙΟΝ ΣΚΕΥΑΣΘΕΝ ΥΠΟ ΤΗΣ ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ ΕΝΕΡΓΕΙΑΣ ΤΟΙΑΣΔΕ.

*Ὀφθαλμίαν οὐ ποιεῖ ἕως γήρως, οὐκ ὀδόντες ἀλγῆσαι, οὐ μῖξαι, οὐ τρίχες ῥεῦσαι, ὀξυδορκίαν ποιεῖ, οὐκ ἀφίησι φλέγμα, οὐ χολήν, οὐ χυμόν, οὐ ποδαλγίαν, οὐ σπλῆνα. ἐστὶ δὲ ἡ κατασκευὴ αὐτοῦ οὕτως·*

2. Ὑσωπ' κρητικοῦ γο α'.
κυμίνου αἰθιοπικοῦ γο α'.
ἁλῶν ἀμμωνιακῶν γο β'.
σκαμμο γο γ'.
ζιγγιβεως γο α' ◡
σελίνου σπέρματος γο $\bar{\alpha}$ ◡
γλίχωνος ὀρινοῦ γο γ'.
πετροσελίνου μακεδονικοῦ γο $\bar{\beta}$ ◡
σιλφίου γο α'.
ἄμεως γο α'.
ἁλὸς κοινοῦ γο β'. $\frac{\varepsilon}{\pi} - \frac{\iota}{\kappa}$ γο $\bar{\beta}$ ◡
φύλλου γο β ◡
ταῦτα κόψας καὶ σείσας χρῶ ἐν ἐδέσμασιν οἷς ἂν βουλ'.

# XXI.

## * ΣΤΟΙΧΟΙ ΤΩΝ ΔΩΔΕΚΑ ΜΗΝΩΝ.

### ΑΛΛΩΣ.

---

*Μάρτ.* Ἐγὼ στρατήγους πρὸς παντοπλίαν ἄγω
ξίφη τε θήγω καὶ νεουργῶ τὰς μάχας
καὶ γῆν ξενὴν τίθημι τῷ στρατῷ φίλην.
καὶ μὴν παραινῶ καὶ διδάσκω ὡς θέμις,
πάντας κελεύω λαμβάνειν μεθ' ἡμέραν
τροφὴν γλυκίστην ἅμα οἴνῳ εὐώδει.
[τοῦ πάσχειν πιστοῦ τὴν γραφὴν ἐπιφέρων.]
*Ἀπριλλ.* Ἄρνας πιαίνω πρὸς βροτῶν παιδευσίαν,
χαρὰς βραβεύω τῆς ἐγερσίας πλέον
ὡς μὴ γένοιτο σωμάτων λοιμὴ τάχα.
[λέγω δὲ πᾶσι φεύγειν τὰς ῥαφανίδας,
ἐξ ὧν ῥίγη φύονται καὶ ποδαλγίαι
ἑορτασματῶν κτεινῶν πέλων ἁπάντων.]
*Μάϊος.* Ῥόδων δίδωμι λειποθυμίας ἄνθος
καὶ τῆς χλοῆς τὴν ῥίζαν ἑδραίαν φέρω.
τίκτουσι καὶ γὰρ φλέγμα πυρώδους χόλου.
[Βροτοῖς παραινῶ ἤτοι λαμβάνειν ὕδωρ
γεννῶσαν (δεινὰς) σωματοφθόρους νόσους.
καὶ τὰς ἅλωνας ἐμφορῶ τῶν δραμάτων.]
*Ἰούνιος.* Ἐγὼ δὲ χόρτον τῇ δρεπάνῃ συλλέγω
καὶ τοὺς γεωργοὺς εὐτρεπίζω πρὸς θέρος
καὶ χολὴν ξανθὴν τούτοις αὐξάνω πᾶσι.
[λέγω δὲ φεύγειν τῶν ὀπωρῶν τὸν κόρον
καὶ βλάβην (γὰρ) κάκιστον εἰώθην φέρειν,
καὶ πᾶσι τοῖς ψύχουσι χρῆσθαι σιτίοις.]

Ἰούλιος. Σῖτον θερίζω καὶ κριθῆς ἐγὼ στάχυς
ἄρτου τε πληρεῖς τοῦ λάου τὰς καρδίας.
ἔνθεν γάρ ἐστι σῆψις τῶν ἐντοσθίων.
Αὔγ. Ἐγὼ κελεύω τὰς ὀπώρας ἐσθίειν.
καὶ γὰρ κύναστρος ἡλίου παρατρέχει
οὗ φλογμὸς ἅπτει πυρὸς Αἰτναίου δίκην.
Σεπτ. Ἐγὼ δὲ κείρω βότρυας τῶν ἀμπέλων,
οἶνον ποτὸν ἥδιστον εἰς ἀρχὴν ἔτους,
ὡς ἂν κενοῖαι [?] γαστρὸς ἰχῶρας πλέον.
Ὀκτωβρ. Ὄρνις ἀναιρῶ καὶ νεοσσῶν πᾶν γένος
καὶ προτρέπω τὸ πράσον ἐσθίειν φίλους,
ὡς [ἐκ]καθαίρειν τὴν βλάβην τῆς κοιλίας.
Νοεμβρ. Γῆς τὴν ἄρουραν ἐξορύττω καὶ σπείρω
χρῆσθαι δὲ λουτροῖς παντελῶς ἀποτρέπω,
δι' ὧν βλάβη πέφυκε ταῖς ἀρτηρίαις.
Δεκεμβρ. Θηρῶ λαγωοὺς ἀγρίαν εὐωχίαν
καὶ τὴν ἑορτὴν τῶν γενεθλίων ἔχω,
καὶ βρῶμα μὲν πᾶν δαψιλῶς φαγεῖν λέγω.
Ἰαν. Πίθους ἀνοίγω καὶ κάλανδα δεικνύω
καὶ πᾶν τὸ πρὸς ὄρεξιν ἀνθρώπου τρέφω
ἓν δὲ μόνον φύλαξον ἀρρωστεῖν θέλων.
Βεβρ. Ἑόρταζε γὰρ καὶ πίνε μοι φειδὸν κόρον
μελήτην ἀρκῶ καὶ μαλάττω τὴν φύσιν
πλὴν τοὺς γέροντας καὶ γυναῖκας καὶ νέους.

## XXII.

## * ΕΡΜΗΝΕΙΑ ΠΕΡΙ ΤΩΝ ΣΤΟΙΧΕΙΩΝ ΤΟΥ ΑΝΘΡΩΠΟΥ.

---

Ἰστέον ὅτι διὰ τῆς ἀποψύξεως καὶ ὑποχωρίσεως τῆς τοῦ αἵματος θερμότητος ὁ χωρισμὸς τῆς ψυχῆς γίνεται καὶ μερίζονται τὰ στοιχεῖα, τὸ θερμὸν εἰς πῦρ, τὸ ψυχρὸν εἰς τὸν ἀέρα, τὸ ὑγρὸν εἰς τὰ ὕδατα, τὸ ξηρὸν συνάπτεται τῷ σώματι. 2. Ὁπηνίκα γοῦν ἀνάστασις γένηται, συντρέχει πάλιν τὰ στοιχεῖα πρὸς ἑαυτόν. Ὁμοίως καὶ ἡ ψυχὴ ἔχεται ἐν αὐτοῖς, καὶ ἀνίσταται ὁλόκληρος ὁ ἄνθρωπος, ὅθεν ὁρῶμεν, ὅπερ ἡνίκα περὶ τὸ ὑγρὸν στοιχεῖον ἡ φθορὰ γένηται θνήσκουσιν αὐτομάτως ἰχθύων πλήθη, ὅτε περὶ τὸ τῆς γῆς ξηρὸν πίπτουσι τὰ κτήνη. 3. Ἐὰν δὲ τὸ τοῦ ἀέρος ψυχρὸν πλεονάσῃ, φθείρονται τὰ πετεινά. εἰ δὲ τοῦ πυρὸς ὑπερζέσει στοιχεῖον, συνειδήσει τοῦ πεποιηκότος τελευτῶσιν ὑπὸ θανατικοῦ ἄνθρωποι. οἱ ἄωρα ἐκλείψει ἡ ἐν τῷ * αἵματι θερμὴ κινητικὴ ἐνέργεια, εὐθέως ἡ ζωὴ τοῦ σώματος χωρίζεται. Καὶ διὰ τοῦτό τινες τῶν ἀνθρώπων ἀποθνήσκουσιν. 4. Ἐπὶ δὲ τῶν ψυχῶν τῶν ἀλόγων ζῴων γίνεται διὰ τοῦ πνεύματος τοῦ ἀέρος ἐν τῷ αἵματι ζωτικὴ κίνησις, ἥτις ἐκ τῶν στοιχείων τὴν ὕπαρξιν ἔχουσα ἐν αὐτοῖς πάλιν κωλύεται τοῦ ζῴου θνήσκοντος. 5. Ψυχὴ δὲ ἀνθρώπου ἐστὶν οὐσία ἀνούσιος λογικὴ ἀθάνατος, νοερά, οὐκ ἐκ στοιχείων, ἀλλ' ἐκ θεοῦ τὴν ὕπαρξιν ἔχουσα, οἵαν οἶδεν αὐτὸς μόνος. 6. Καὶ ὅθεν οἶδεν ὁ αὐτὸς συστησάμενος οὐκ ἄναρχον μὲν ὑπάρχουσαν, ἀτελεύτητον δὲ διαμένουσαν; Ἐκ τῶν δ' στοιχείων τὸ ἡμέτερον συνίσταται σῶμα, ἐκ θερμοῦ, ἐκ ξηροῦ, ὑγροῦ καὶ ψυχροῦ, θερμοῦ μὲν τοῦ αἵματος ἤτοι τοῦ πυρός, ξηροῦ δὲ τῆς ξανθῆς

χολῆς ἤτοι τῆς γῆς, ὑγροῦ δὲ τοῦ φλέγματος ἤτοι τοῦ ὕδατος, ψυχροῦ δὲ τῆς μελαίνης χολῆς ἤτοι τοῦ ἀέρος.

7. Τοῦ αἵματος ἡ φύσις παρὰ μὲν τοῖς ἀλόγοις οὐσία τίς ἐστι ζωτική, τῶν λοιπῶν τριῶν στοιχείων συστατική, οὗ τινος τὸ ζῶον στερούμενον, θνήσκει, ἐκ τῶν τριῶν στοιχείων μηδὲν ὠφελούμενον.

8. Παρὰ δὲ τοῖς ἀνθρώποις ἡ τοῦ αἵματος φύσις σύνδεσμός ἐστι τῆς ψυχῆς καὶ τοῦ σώματος. ἀφηρουμένου γοῦν τοῦ συνδέσμου ἀνάγκη τὰ συνδεδεμένα διαλύεσθαι.

# XXIII.

## ΑΝΩΝΥΜΟΥ

### ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΚΟΣΜΟΥ ΚΑΤΑΣΚΕΥΗΣ ΤΟΥ ΑΝΘΡΩΠΟΥ.

---

1. *Κόσμος οὗτος συνέστηκεν ἐκ τεσσάρων στοιχείων, ἐκ θερμοῦ, ψυχροῦ, ξηροῦ καὶ ὑγροῦ, ἤγουν ἐξ ἀέρος, πυρός, γῆς καὶ ὕδατος.* 2. *Καὶ ὁ μὲν ἀὴρ ἐστι θερμὸς καὶ ὑγρός, τὸ δὲ πῦρ θερμὸν καὶ ξηρόν· ἡ δὲ γῆ ψυχρὰ καὶ ξηρά, τὸ δὲ ὕδωρ ψυχρὸν καὶ ὑγρόν.* 3. *Ὡσαύτως καὶ ὁ ἄνθρωπος ὁ μικρὸς κόσμος συνέστηκεν ἐκ τεσσάρων στοιχείων, ἐκ θερμοῦ, ψυχροῦ, ξηροῦ καὶ ὑγροῦ ἐξ αἵματος, χολῆς ξανθῆς, χολῆς μελαίνης καὶ φλέγματος.* 4. *Καὶ τὸ μὲν αἷμα ἔοικε τῷ ἀέρι θερμὸν καὶ ὑγρόν· ἡ χολὴ ἡ ξανθὴ ἔοικε τῷ πυρὶ θερμὴ καὶ ξηρά· ἡ χολὴ ἡ μέλαινα ἔοικε τῇ γῇ ψυχρὰ καὶ ξηρά· τὸ φλέγμα ἔοικε τῷ ὕδατι ψυχρὸν καὶ ὑγρόν.* 5. *Καὶ τὸ μὲν αἷμα πληθύνεται εἰς τὸ ἔαρ, ἡ χολὴ ἡ ξανθὴ εἰς τὸ θέρος, ἡ χολὴ ἡ μέλαινα εἰς τὸ φθινόπωρον, καὶ τὸ φλέγμα ἐν χειμῶνι.* 6. *Καὶ ἐπὶ μὲν τῆς παιδικῆς ἡλικίας τὸ αἷμα πληθύνεται ἕως ἐτῶν ιδ´ καὶ ἔστι θερμὸν καὶ ὑγρὸν καὶ γλυκύ· ἐπὶ δὲ τῶν νεανίσκων ἡ χολὴ ἡ ξανθὴ πληθύνεται ἕως ἐτῶν κη´ καὶ ἔστι θερμὴ καὶ ξηρὰ καὶ πικρά· ἐπὶ δὲ τῆς τελείας ἡλικίας ἡ μέλαινα χολὴ πληθύνεται ἕως ἐτῶν μβ´ καὶ ἔστι ψυχρὰ καὶ ξηρὰ καὶ ὀξώδης· ἐπὶ δὲ τῶν γερόντων τὸ φλέγμα πληθύνεται ἕως ἐτῶν π´ καὶ ἔστιν ψυχρὸν καὶ ὑγρὸν ἁλμυρόν.* 7. *Καὶ τὸ μὲν αἷμά ἐστιν ἐν τῇ καρδίᾳ, καὶ ἐν τῇ καρδίᾳ τὸ πνεῦμα. ἡ χολὴ ἡ ξανθὴ ἐν τῷ ἥπατι καὶ ἐν τῷ στομάχῳ· ἡ χολὴ ἡ μέλαινα ἐν τῷ σπληνὶ καὶ ἐν τῇ . . . . . ., καὶ [ἐν] τὸ φλέγμα ἐν τῷ ἐγκεφάλῳ καὶ τῇ κύστει.*

II. *Πόθεν οἱ μὲν τῶν ἀνθρώπων εἰσὶ χαριεντικοὶ καὶ γελῶσι καὶ παίζουσι, οἱ δέ εἰσι στυγνοὶ καὶ σκυθρωποὶ καὶ κατηφεῖς, οἱ δὲ ὀργίλοι καὶ πικροὶ καὶ μανιώδεις, οἱ δὲ ῥάθυμοι καὶ ὀκνηροὶ καὶ ὀλιγόψυχοι;* 2. *Ἡ αἰτία ἐστὶν αὕτη ἐκ τῶν δ΄ στοιχείων· οἱ μὲν οὖν ἐξ αἵματος καθαρωτάτου τυγχάνοντές εἰσι πάντοτε χαριεῖς καὶ παίζουσι καὶ γελῶσι καὶ σώματά εἰσι ῥοδινοὶ καὶ ὑπόπυρροι καὶ καλλίχροοι.* 3. *Ὅσοι δὲ ἀπὸ ξανθῆς χολῆς τυγχάνουσιν, οὗτοί εἰσιν ὀργίλοι καὶ πικροὶ καὶ εὔτολμοι καὶ σώματά εἰσιν ὕπωχροι καὶ ξανθόχροοι.* 4. *Ὅσοι δὲ ἀπὸ μελαίνης χολῆς τυγχάνουσιν, οὗτοί εἰσι ῥάθυμοι καὶ ὀλιγόψυχοι καὶ φιλάσθενοι, καὶ σώματά εἰσι μελανόψιοι καὶ μελάντριχοι.* 5. *Ὅσοι δὲ ἀπὸ φλέγματος τυγχάνουσιν, οὗτοί εἰσι λυπηροὶ καὶ ἀμνήμονες καὶ τῷ σώματί εἰσι λευκόχροοι.*

III. *Τὰ μὲν οὖν παιδία ὅτι εἰσὶν ἐκ τοῦ αἵματος, εἰσὶ χαριεντικά, καὶ παίζουσι καὶ γελῶσι, καὶ διὰ τοῦτο, ὅταν κλαύσωσι, μάλιστα μεταλλάσσονται.* 2. *Οἱ δὲ νεανίσκοι ἐκ τῆς ξανθῆς χολῆς εἰσι πικροὶ καὶ ὀργίλοι καὶ μανιώδεις, καὶ διὰ τοῦτο, ὅταν πικρανθῶσιν, βραδίως λάσσονται.* 3. *Οἱ δὲ τέλειοι ἄνδρες ἐκ τῆς μελαίνης χολῆς εἰσι ῥάθυμοι καὶ ὀλιγόψυχοι καὶ ὀκνηροὶ καὶ διὰ τοῦτο ὅταν μαίνωνται, εἰσὶ δυσμετάβλητοι.* 4. *Οἱ δὲ γέροντές εἰσι εἰς τοῦ φλέγματος πολυπηροὶ καὶ στυγνοὶ καὶ ἀμνήμονες, καὶ διὰ τοῦτο ὅταν μαίνωνται, ἀμετάβλητοι διαμείνουσι.*

IV. *Ἔχουσι δέ τινα τόπον ὅδιον κατὰ μέρος ἕκαστον τούτων, τὸ αἷμα διὰ ῥινὸς πνέει, ἡ ξανθὴ χολὴ διὰ τῶν ὤτων πνέει, ἡ μέλαινα διὰ τῶν ὀφθαλμῶν, καὶ τὸ φλέγμα διὰ τοῦ στόματος ἐκχέει.* 2. *Μερίζονται δὲ οἱ χυμοὶ διὰ τὸν δ΄.* 3. *Ἐν τῇ α΄ ἡλικίᾳ κυριεύει τὸ αἷμα ἕως ἐτῶν ιδ΄, ἐν τῇ β΄ ἡ ξανθὴ χολὴ ἕως ἐτῶν κη΄, ἐν τῇ γ΄ ἡ μέλαινα ἕως ἐτῶν μβ΄, ἐν τῇ δ΄ τὸ φλέγμα ἕως ἐτῶν π΄ καὶ ἕως γήρως.*

# XXIV.

## ΑΛΕΞΑΝΔΡΟΥ ΤΡΑΛΛΙΑΝΟΥ

### ΕΠΙΣΤΟΛΗ ΠΕΡΙ ΕΛΜΙΝΘΩΝ.

---

*Γέγραφάς μοι, φίλτατε Θεόδωρε, περὶ τοῦ σοῦ παιδὸς ἀπολέσθαι κινδυνεύοντος, ὅπως ἄν τι τῶν ἑλμίνθων ἀναιρεῖν δυναμένων ἡμῖν ἀποστεῖλαι φάρμακον γινοίμεθα βοηθεῖν αὐτῷ. ἐχρῆν δὲ ὑμᾶς μὴ μόνον τοῦτο γράψαι, ἀλλὰ καὶ αὐτὸν τὸν ἄρρωστον ὑποπτεύεσθαι, εἰ πάρεστι πυρετός, ἢ ἔμετος ἢ τῆς γαστρὸς φθορά, καὶ πῶς ἔχει τὰ τῆς ὀρέξεως ἢ δίψης, αὐτῶν τε τῶν ὀφθέντων τὸ εἶδος τῶν ἑλμίνθων, καὶ ἁπλῶς ἅπαντα διελθεῖν, ὅσα τε τὴν νῦν διάθεσιν συνεδρεύει, καὶ ὅσα προηγήσατο. οὕτω γὰρ αὐτός τε εὐχερέστερον τὰ παρ' ἡμῶν ἔδοξεν, ἐγώ τε οὐκ ἂν ἐδεήθην πλείονα συνάψαι. νῦν δὲ τὸ ἀπροσδιόριστον τῶν ὑπὸ σοῦ γεγραμμένων ἀναγκάζει μὴ πρὸς ἕν, ἀλλ' εἰς πολλὰ βλέποντα ποιεῖσθαι μᾶλλον τὴν ἔκθεσιν. Πρῶτον τοίνυν ἡμᾶς εἰδέναι δεῖ, ὡς τριττὸν εἰρήκασιν οἱ παλαιοὶ τῶν ἑλμίνθων εἶδος, ἓν μὲν τὸ μικρὸν πάνυ καὶ λεπτόν, ὃ καλεῖν εἰώθασιν ἀσκαρίδας, δεύτερον δὲ τούτων στρογγύλον· καὶ τρίτον ἄλλο τὸ τῶν πλατειῶν. ἔχουσι δὲ τὴν γένεσιν αἱ μὲν λεπταὶ καὶ μικραὶ περὶ τὰ κάτω μέρη τοῦ παχέος ἐντέρου· αἱ δὲ στρογγύλαι περὶ τὰ ἄνω μᾶλλον τῶν ἐντέρων, ὥστε καὶ ἐπαναβαίνειν αὐτὰς ἄχρι τῆς γαστρός, ὅθεν καὶ ἐμοῦνται πολλάκις· αἱ δὲ πλατεῖαι εἰς τοσοῦτον ἥκουσι μέγεθος, ὥστε καὶ ὅλῳ συμπαρεκτείνεσθαι τῷ ἐντέρῳ. οἶδα δὲ ἐγγύς που ιϛ' ποδῶν ἐκρίθησαν, καὶ αὕτη μὲν αὐτῶν ἐστι ἡ διαφορά· τίκτονται δ' ἀπὸ διαφθορᾶς σιτίων καὶ σήψεως ὠμῶν χυμῶν. διαγνοὺς οὖν πρότερον τίνες τέ εἰσι καὶ περὶ ποῖα μᾶλλον μέρη οἱ πλεονάζοντες*

ἕλμινθες καὶ πολὺ πρότερον αὐτῷ τούτῳ οἱ πλεονάζοντες ἕλμινθες, ἔρχου οὕτως ἐπὶ τὴν θεραπείαν αὐτῶν. συμβαίνει γὰρ δάκνεσθαι τῇ ναυτίᾳ τὸν παῖδα καὶ στροφᾶσθαι· ἐνδέχεται δὲ καὶ διὰ χολώδεις χυμοὺς καὶ μοχθηροὺς καὶ διαφορὰν τὰ αὐτὰ γίνεσθαι. μὴ οὖν ἐξ ὑπονοίας ἀλλὰ μετὰ σκέψεως ἅμα πάντα εἰ φανῇ ἀκριβῶς, τότε καὶ αὐτὸς ἔρχου ἐπὶ τὴν θεραπείαν θαρρῶν.

### I. Σημεῖα τοῦ ὑποκεῖσθαι ἕλμινθας.

Διαγνώσῃ δὲ τοὺς ἕλμινθας ἔκ τε τῶν προηγησαμένων ἀγρυπνιῶν τε πολλῶν τε καὶ ἀπεψιῶν ὧν προηγοῦνται παχύτεραί τε καὶ πλειότεραι τῶν ἐδεσμάτων ἐδωδαὶ καὶ βαλανείων συνέχειαι· καὶ μετὰ τροφὴν γίνονται δὲ αὐτοῖς στρόφοι καὶ νύξεις καὶ δήξεις καὶ συστολαί τινες ἀναιδεῖς εἰς ἄρθρα. ἤδη δὲ συνεχόμενοι τῷ πάθει καὶ τῶν ἑλμίνθων αὐξανομένων ἐπὶ πλέον, καὶ οἱ σφυγμοὶ μικροὶ γίνονται καὶ ἀμυδροί, καὶ τοῖς ἐκλείπουσι καὶ παλινδρομοῦσιν. οἱ δὲ ἀφῇ καταψύχονται καὶ παραφρονοῦσιν καὶ τρύζουσι τοὺς ὀδόντας, καὶ τῇ γλώσσῃ τὰ χείλη τρίβουσι, καὶ λοιμῶδες καὶ σηπεδονῶδες ἀναπνέουσι διὰ τοῦ στόματος, καὶ ἀνορεκτοῦσι, καὶ ἣν ἂν προσενέγκωσι τροφὴν ἐμοῦσι ταύτην εὐθὺς καὶ στρέφονται συνεχῶς καὶ ἀποροῦντες ἀνακλήσεως ἄλλο τε ἐν ἄλλῳ τόπῳ ῥίπτουσιν ἢ μέχρι πολλοῦ, καὶ τελευταῖον, ὅταν ἔχωσιν ἐσχάτως ἱδροῦντες ψυχρόν τε καὶ συγκοπτικόν. Ταῦτά ἐστι τῶν ἐχόντων ἕλμινθας σημεῖα· μηκέτι δὲ μηδὲν ἄλλως βοηθεῖν καὶ προσφέρειν ὀρθῶς ἢ ὅσα πεπίστευται τοὺς ἕλμινθας ἀναιρεῖν.

### II. Θεραπεία ἑλμίνθων μετὰ πυρετοῦ.

Ὅτι μὲν λεπτύνουσα δίαιτα πᾶσι τοῖς ἔχουσιν ἕλμινθας ἁρμόζει, παντί που δῆλον. ἀλλ' ἐπειδὴ τοῖς πολλοῖς τῶν λεπτυνόντων ἁπάντων οὐ μία τις διαφωνία, ἀλλὰ ποικίλη καὶ διάφορος, τὸ μὲν αὐτῶν μετέχον σαφοῦς θερμασίας καὶ πολλῆς, τὸ δὲ μετρίως καὶ ἀνεπαισθήτως (καὶ σπανίως ἔστιν εὑρεῖν τοὺς πυρετοὺς οὕτως παροξύνοντας), εὔδηλον ὡς, εἴ γε πυρετὸς ἅμα τε ἕλμινσιν ἐνοχλεῖν φαίνοιτο, ὡς οὐδὲ τοῖς σφόδρα καὶ λεπτύνειν δυναμένοις χρῆ-

σθαι καὶ ἀναιρεῖν αὐτοὺς καὶ φθείρειν εἰώθασιν, ἀλλὰ μᾶλλον τοῖς μετρίοις ὡς ἐνδέχεται θερμαίνειν καὶ λεπτύνειν δυναμένοις. ἔστι δὲ τὰ τοιαῦτα τοῦ τε σελίνου τῆς ῥίζης τὸ ἀπόβρεγμα καὶ τοῦ χαμαιμήλου καὶ τῶν μισχιλίων καλουμένων, ὧν ἡ ὕλη μᾶλλον τὸ κατάγλισχρον κέκτηται μὴ λεπτύνον (εἰσὶ δὲ διάφορα τὰ τοιαῦτα), ἢ τὰ πάνυ θερμαίνοντα τοὺς πυρετοὺς αὔξει καὶ καταβάλλει τὴν δύναμιν· διόπερ εἰκότως, ὄντων πυρετῶν, ἀνοίκειά εἰσι τὰ τοιαῦτα, ὅσα δὴ πάνυ τὸ πικρὸν καὶ δριμὺ κέκτηται.

### III. *Περὶ ὑπαγωγῆς γαστρός.*

Ὑπαγωγή ἐστι γαστρὸς ἀπὸ ὑδρελαίου καὶ ἢ μελίκρατος ὑδαρὰ ἢ χαμαιμήλου μετὰ μέλιτος. ἔξωθεν δὲ τῷ οἰνελαίῳ δεῖ βρέχειν τὸ σπλάγχνον ἀποβραχείσης [τῆς γαστρὸς] πρὸς ὀλίγον ἀψίνθιον.

### IV. *Περὶ τῶν σφόδρα πυρεσσόντων.*

Εἰ δὲ σφόδρα ὁ πυρετὸς εἶναί σοι φαίνοιτο πάνυ, καὶ τὸ ῥοδόμελι δίδου· καὶ γὰρ εὐστόμαχόν ἐστιν καὶ ἑλμίνθων ἀναιρετικὸν διὰ τὸ ἐν αὐτῷ ὑπόπικρον. ἔστι δὲ καὶ ἄδιψον καὶ ληξοπύρετον. τούτου δὲ μὴ παρόντος ὑδρορόσατον δίδου ἢ ὑδροῥόδινον· ἔξωθεν δὲ κηρωτὴ ῥοδίνη καλῶς σκευασθεῖσα. δεῖ γὰρ τὸν κηρὸν ἐν ὕδατι πολλάκις ἀποπλύνειν καὶ οὕτως τὸ ῥόδινον ἐπιβάλλειν κάλλιστον, ἠρέμα τε ἕψειν, ὥστε μὴ καῆναι τὸ ῥόδινον (ἔστω δὲ τὸ ἴσον τοῦ κηροῦ), μετὰ δὲ τὸ μιγῆναι καλῶς ὀλίγον περίμεινον ἕως οὗ ψυχθῇ. ψύξας αὐτὸ κατὰ μικρόν, ὡς ἂν ἑνωθῇ ἐκ τοῦ χαλκοῦ, ἐπίβαλε πάντα ἐν τῇ θυείᾳ καὶ τρίβε συντόνως ἐπιβάλλων ὀλίγον ὑδροῥόδινον, ἕως οὗ γένηται μαλακὸν πάνυ καὶ δίυγρον. ἐὰν οὖν οὕτως σκευασθῇ, καὶ τῷ πυρετῷ μάχεται, εἴπερ τι καὶ ἄλλο παρενοχλεῖ, καὶ τοὺς ἕλμινθας ἐκτινάσσει διὰ τῆς κάτω γαστρός, καὶ νεκρὰν τὴν ὄρεξιν καὶ ἀσθενοῦσαν ἐπεγείρει, καὶ πρὸς ἄλλα δὲ πάθη διακαῆ ποιεῖ καλῶς, οἷον ἐπὶ ἐρυσιπέλατος, καὶ ἀνθράκων, καὶ τὰς ἐν δακτυλίῳ γενομένας φλεγμονάς, καὶ ἐπιρευματισμοὺς δὲ ποδῶν, [εἰ] δριμὺ καὶ χολῶδές ἐστι τὸ ἐπιρρέον,

καὶ κεφαλαλγίαν δὲ χρονίαν διὰ θερμότητα γινομένην ὠφελεῖ καὶ ἁπλῶς οὕτω πολύχρηστον κηρωτὴν οὐκ ἂν εὕροις. καὶ [ἡ] διὰ τῆς ἀγχούσης δέ, ἐὰν οὕτω σκευασθῇ, χρησιμωτάτη ἐστίν, ἐφ' ὧν ἐστι πυρετός, καὶ ῥάκη εἰς ὑδρέλαιον ἄριστα. ποιεῖ δὲ τὸ ἔλαιον, εἴ ἐστι χαμαιμήλινον. ἐν δὲ τῷ ὕδατι τῷ ἐπιμιγνυμένῳ δεῖ ἐμβάλλειν μελίλωτα καὶ χαμαίμηλον καὶ ὀλίγον ἀψίνθιον, καὶ οὕτως ἀποζέννυσθαι. ῥάκει δὲ προσφερέσθω μὴ πάνυ θερμῷ. εἰ δὲ θεραπεύσεις, ὠφελήσει δέ, ἐκτὸς μέντοι τοῦ ἀψινθίνου. πικρῶν γὰρ οὐ δεῖ θεραπεύειν οὐδενὶ τὴν κάτω γαστέρα· τοὐναντίον γὰρ ἀναδραμοῦνται οἱ ἕλμινθες μᾶλλον ἐν τούτοις ἄνω. διόπερ εἰ μὴ πάνυ κωλύει ὁ πυρετός, ἐπιβάλλειν δεῖ μέλι. τοῦτο γὰρ ἅμα καὶ τοὺς ἕλμινθας προτρέπει παρὰ τὰ κάτω καὶ τὰ τούτους τρέφειν δυνάμενα, περίθετα παχέα καὶ γλίσχρα ὄντα. εἰ δὲ καὶ τούτων γινομένων ἐπιμένει τὰ τῶν πυρετῶν, καὶ δίψα πολλὴ ὑπάρχει, κέχρησο καὶ τῇ ἄλλῃ διαίτῃ τῇ ψύχειν τε καὶ ὑγραίνειν δυναμένῃ· τὸ γὰρ σφοδρὸν τοῦ πυρετοῦ χολώδη ἐπιμιξίαν χυμοῦ δείκνυσι ἐν τῷ σώματι· ἐπὶ τούτων οὖν προσφέρειν δεῖ πτισάνην μετὰ ψυχροῦ καὶ του λεπτύνειν δυναμένου. καὶ μὴ θαυμάσῃς, εἴ τι πρὸς ψύξιν ἐχρησάμην· ἀεὶ γὰρ πρὸς τὸ κατεπεῖγον ἐνίστασθαι χρὴ καὶ σπουδάζειν εὐκρασίαν ἀεὶ περιποιεῖν τῷ σώματι. ταύτης γὰρ παρούσης ἐξόν ἐστι καὶ τοῖς λεπτύνουσιν ἀβλαβέστερον κεχρῆσθαι λοιπὸν ὄξους τε βραχὺ καὶ ῥίζης σελίνου ἐν τῇ ἑψήσει αὐτῆς ἐμβάλλοντας. οὕτω κάλλιστος καὶ ὠφελιμώτατος ὁ χυλὸς αὐτῆς. εἰ δὲ μηδὲν προσλάβῃ τῶν εἰρημένων οὐδὲν ἄλλο ἢ τροφὴ τῶν ἑλμίνθων γενήσεται μᾶλλον. ἀλλὰ καὶ τῶν λαχάνων ἐσθιέτω τὰ ἴντιβα, καὶ τὰς θριδακίνας τὰ καλούμενα μαροῦλλα ἑφθὰ εἰς ὀξύκρατον αὐτὰ ὑδαρὲς ἀναβάπτειν. εἰ δὲ ἀκαίρως ἔχει καὶ διψώδης ὁ κάμνων, καὶ τοῦ πέπονος τὴν ἐντεριώνην δίδου (ἔχει γὰρ καὶ ῥυπτικόν), ἀλλὰ καὶ συκάμινα. ταῦτα δὲ μετὰ τοῦ τὴν γαστέρα ὑπάγειν, καὶ ἄλλως πως εἰσιν ἀναιρετικά. δίδου πάντα εἰς κόρον. ἀλλὰ πολλάκις καὶ δι' ἀπορίαν τροφῆς αὐτῶν τῶν ἐντέρων εἰς τοσοῦτον ἥψαντο, ὥστε καὶ διὰ τοῦ δέρματος αὐτοῦ ὀφθῆναι διεξιόντας· νυνὶ δὲ καὶ πρὸς τὸν πυρετὸν καὶ πετραίους ἰχθύας δίδου προσειληφό-

τας ἐν τῇ ἑψήσει ὄξος, ἀλλὰ καὶ περιστεράς. τοσαῦτα καὶ περὶ τῶν ἐχόντων ἕλμινθας μετὰ πυρετοῦ.

V. *Περὶ τῶν ἐχόντων ἕλμινθας ἄνευ πυρετοῦ.*

Εἰ δὲ ἀπύρετος ὑπάρχει, μηκέτι τὸ ῥοδόμελι δίδου μήτε πέπονα εὐχερῶς· ἀλλὰ καὶ τὸ πόμα καὶ ἡ τροφὴ πᾶσα γινέσθω λεπτύνουσα· οἷον ἀπὸ σελίνων τε καὶ πράσων, ἢ καυκαλίδος ἢ γιγγιδίου, ἔσθ' ὅτε δὲ καὶ σκορόδων, ἀμυγδαλῶν πικρῶν, καὶ ὅσα τοιαῦτα. μελάνθιόν τε ἐπὶ κύμινον μετὰ ὄξους συγκείμενον καὶ μαστίχη ἢ κάππαρις ἁρμόζει τούτοις καὶ τὸ τοῦ ἀβροτόνου ζέμα, τῆς κόμης τοῦ ἀψινθίου καὶ τὸ τοῦ ἡδυόσμου καὶ τὸ τῆς δικτάμνου, καὶ τὸ καλούμενον κύφιν ἱερατικόν. καὶ ἡ θηριακὴ καὶ πρὸς ταῦτα ἁρμόζει οὐ μόνον τοὺς ὄντας φθείρειν, ἀλλὰ καὶ ἄλλους οὐ συγχωρεῖ ἀποτεχθῆναι, εἴγε προπίνει τις ἅπαξ ἢ δὶς τοῦ μηνός. καὶ ἔγωγε πολλάκις ἐπέτυχον δεδωκὼς αὐτὴν ἐπὶ τῶν πολλὰς ἐχόντων ἕλμινθας μετὰ ἀνατροπῆς στομάχου· καὶ ὁ γαγάτης δὲ λίθος πάνυ ποιεῖ. καλῶς δὲ ποιεῖ, εἴπερ τι καὶ ἄλλο, κοκκία διδόμενα ἔσωθεν, καὶ ἔξωθεν ἐπιτιθέμενα. καλῶς δὲ ποιεῖ καὶ ἡ ταυρία χολὴ μετὰ μυελοῦ ἐλαφείου ὥσπερ καὶ μετὰ κεδρίας μιγνυμένη. ὁμοίως δὲ ποιεῖ καὶ τὸ θέρμινον ἔλαιον μετὰ μυελοῦ ἐλαφείου κατὰ τοῦ ὀμφαλοῦ ἐπιτιθέμενον. καὶ ἡ κηρωτὴ δὲ ἡ γαληνία ὁμοίως ποιεῖ. καὶ ταῦτα μὲν ἀρκούντως δοκεῖ μοι ἔχειν. καὶ γὰρ εἴρηται περὶ αὐτῶν εἰκότως, ὁποίοις δεῖ βοηθήμασι χρῆσθαι πρὸς τὰς ἐν τῷ σώματι πλεοναζούσας ἕλμινθας, εἰ μετὰ πυρετοῦ ὑπάρχουσι. τινὰ δὲ καὶ ἑτοίμως ὑπομιμνήσκω τῶν κατὰ μέρος, καὶ μηδὲν πολλῶν βιβλίων ἐκθήσομαί σοι πλὴν εἰς ὅσα τοῖς τε ἀρίστοις τῶν ἰατρῶν καὶ τῶν ἄκρως ὑπ' ἐμοῦ μεμαρτυρημένων τῇ πείρᾳ ἐξεῦρον· καὶ πρῶτόν γε τῶν τὰς πλατείας ἕλμινθας ἀναιρεῖν δυναμένων μνημονεύσομεν, ἐπειδὴ τῶν ἄλλων μᾶλλον αὗται ἐπικίνδυνοί εἰσι.

VI. *Περὶ τῶν τὰς πλατείας ἀναιρούντων ἕλμινθας, Ἀλεξάνδρου.*

Κάρδαμον ἕλμινθας πλατείας ἕλκει καταπινόμενον· ὁμοίως δὲ καὶ ὁ κόστος καὶ τὸ κίκινον ἔλαιον πινόμενον·

*καὶ κάρυα βασιλικὰ πλείονα βρωθέντα ἕλμινθας πλατείας ἐκβάλλει καὶ ἀναιρεῖ. ἕλμινθας ἐκβάλλει φλοιὸς ῥοδακινέας, φύλλα μυρσίνης, ῥοιᾶς ἄνθη. καὶ ἑλμινθοβότανον πότιζε. συκαμινέας τῆς ῥίζης ὁ φλοιὸς ἐν ὕδατι ἑψηθείς, καὶ τὸ ἡλιοτρόπιον τὸ πικρὸν μετὰ τοῦ καρποῦ σὺν νίτρῳ καὶ ὑσσώπῳ, καὶ κάρδαμον σὺν ὕδατι πινόμενον ἕλμινθας στρογγύλας καὶ πλατείας ἐκτινάσσει μετὰ γάρου ἢ μέλιτος < γ' ἐκλειχόμενον· καὶ χαμαιλέοντος λευκοῦ ἡ ῥίζα ποθεῖσα, ὀξυβάφου πλῆθος σὺν οἴνῳ αὐστηρῷ μετὰ ὀριγάνου ἀφεψήματος ἕλμινθας ἐκβάλλει. ὑσσώπου καὶ καρδάμου ἡ ῥίζα τέταρτον < μετὰ μελίκρατος ἐκλαμβανόμενον ἕλκει, βέλτιον μέντοι μετὰ σκαμμωνίας ἢ ἐλλεβόρου μέλανος ὀβολῶν β'. εἴ τις δὲ σκόροδα φάγῃ καὶ λάβῃ θυλυπτερίου τὴν ῥίζαν ἐκλειῶν τῷ μέλιτι, ἐξάγει ἕλμινθας πλατείας. σὺν οἴνῳ δὲ πινομένη < πλῆθος στρογγύλας ἐκβάλλει· ἢ χυλὸς κενταυρείου μετὰ κυμίνης ἐπιτιθέμενος ἕλμινθας ἐκβάλλει. μελάνθιον ὕδατι λειωθὲν καὶ ἐπικαταπλασθὲν κατὰ ὀμφαλοῦ, ὁμοίως ποιεῖ· καὶ σικύου ἀγρίου ἡ ῥίζα ἑψημένη ὑδρομέλιτι. κἂν τούτῳ ἐπιβαλλομένου μετὰ τὸ ἑψηθῆναι λινοσπέρμου μέρη β', θερμίνου ἀλεύρου μέρος ἕν, καὶ πάλιν ἑψημένου καὶ καταπλαττομένου τὰ ἄνω πάντα μέρη τούτων, καὶ πλατείας ἀναιρεῖ καὶ στρογγύλας· καὶ ἁπλῶς σφόδρα κινδυνευόντων ὑπὸ ἑλμίνθων ἔξωθεν προσφέρεται, καὶ θαυμαστῶς.*

### VII. *Περὶ τῶν στρογγύλας ἀναιρούντων ἕλμινθας.*

*Ἀναιρεῖ δὲ καὶ ἐκβάλλει ἕλμινθας στρογγύλας καὶ τὸ σπέρμα τῆς ἡμέρου κράμβης· καὶ μάλιστα τῆς Αἰγυπτίας, πινόμενον καὶ ἔλαιον κοινὸν πάνυ μετὰ πηγάνου ἑψηθὲν καὶ ποθὲν θερμὸν κυάθους ϛ' καὶ πλῆθος ἑλμίνθων στρογγύλων ἐκβάλλει. καὶ ἀνδράχνης ὁ χυλὸς πινόμενος καὶ θαλασσία ἀψίνθη ἑψηθεῖσα ἢ καθ' αὑτὴν ἢ μετὰ ὀρύζης καὶ ληφθεῖσα μετὰ μέλιτος ἀσκαρίδας στογγύλας ἐκτινάσσει ὑπεξάγουσα τὴν κοιλίαν. καὶ λίθον γαγάτην ἑψήσας ὕδατι δίδου πίνειν· καὶ ὕσσωπον ἑψηθὲν μετὰ σύκων καὶ ὕδατος καὶ πηγάνου ποθέν, τὰ αὐτὰ ποιεῖ, καὶ σὺν μέλιτι ἐκλειχόμενον. καὶ χυλὸς ἡδυόσμιον μετὰ ὄξους πινόμενος· καὶ*

*καλαμίνθη πινομένη σὺν ἁλσὶ καὶ μέλιτι, ἑφθή τε καὶ ὠμή, τετριμμένη λίαν ἕλμινθας στρογγύλας καὶ ἀσκαρίδας ἐκβάλλει· καὶ θύμος πινόμενος μετὰ μέλιτος, καὶ τὸ κορίου σπέρμα ὀλίγον ποθὲν μετὰ γλυκέος ἕλμινθας ἐκβάλλει καὶ τὴν διάνοιαν ἐπίπλεον κινεῖ.*

VIII. *Περὶ ἀσκαρίδων.*

*Κέδρος σκώληκας καὶ ἀσκαρίδας κλυζομένη φθείρει· οἶνον καὶ ἄλευρον ἑψήσας σὺν μελανθίου κατάπλασσε. κάλλιον δὲ γίνεται εἰ κρίθινον εἰς ζέμα χαμαιμήλου ἑψήσας διακλύζεις. κτείνει δὲ καὶ σκώληκας παντοίους καὶ ἀσκαρίδας καὶ τὸ ῥίνισμα τοῦ ἐλέφαντος διδόμενον· παντοίας ἕλμινθας φθείρει καὶ καλαμίνθη· ξηρὰν βάλλων εἰς ξέσ. β', [καὶ] ἕψε μέχρι συστάσεως τρίτου. τοῦτο ποιεῖ πρὸς παντοίας ἕλμινθας· καὶ ῥόδινον ἔλαιον μετὰ ἑψήματος χλιαίνων πότιζε, καὶ ἀλόην δίδου καὶ ἴντυβον μετὰ ὄξους. καὶ σκόροδα ἐσθιόμενα ποιεῖ· καὶ τὸ ἀβρότανον ζεννύμενον ἕως συστάσεως τρίτου δίδοται πρὸς ἕλμινθας. βέλτιον δὲ καὶ εἰ ὄξος προσπλέξῃς τῷ ζέματι. ἔστι καὶ ἄλλα μυρία εἰρημένα τοῖς παλαιοῖς, εἰ καλῶς προσέχεις καὶ ἀκριβῶς ποιήσεις.*

# XXV.

## ΙΩΑΝΝΟΥ ΤΟΥ ΑΚΤΟΥΑΡΙΟΥ

### ΠΕΡΙ ΕΝΕΡΓΕΙΩΝ ΚΑΙ ΠΑΘΩΝ ΤΟΥ ΨΥΧΙΚΟΥ ΠΝΕΥΜΑΤΟΣ ΚΑΙ ΤΗΣ ΚΑΤ' ΑΥΤΟ ΔΙΑΙΤΗΣ ΛΟΓΟΙ Β.

---

Ed. Martini Iuvenis p. 1

## ΛΟΓΟΣ Α.

Ed. Fischer. p. 5

1. Ἐπειδή σου ταῖς ἐναγχός τε καὶ πρότριτα ἐπὶ φι-
λοσόφοις θεωρήμασι συνουσίαις ἀνακαθήρας τὴν περικεχυ-
μένην ἡμῖν περὶ τὸ διανοητικὸν ἀχλὺν, ἀνενέγκαι, καὶ πρὸς
ἑαυτοὺς συστραφῆναί τε καὶ κατιδεῖν, ὅτι ἐν ἡμῖν θεῖον
καὶ νοερὸν πνεῦμα πέπεικας, ὃ δὴ διαλάμπον ἐπὶ τῷ ψυ-
6 χικῷ τούτῳ καὶ διανοητικῷ πνεύματι τὰς ἐν ἡμῖν ἀποπλη-
ροῖ ἐνεργείας, προσετίθης δὲ τοῖς λόγοις, ἀξιῶν βιβλίον
ἐκδοθῆναί σοι περὶ τοῦ ἐν ἡμῖν ψυχικοῦ πνεύματος, ὅπερ
ἂν καθαρὸν διατελοίη ἐπικουρίᾳ τέχνης, καὶ αἷς τισι κε-
χρῆσθαι δέον ἐπὶ τούτῳ διαίταις, οὐκ ἄν γε δίκαια δρά-
σαιμεν, μὴ ὑπείξαντές σου ταῖς ἀξιώσεσι· καὶ ἐν ὑποθή-
κης μέρει τουτί σοι τὸ βιβλίον συντάξαντες, ὡς ἂν ἔχοις
2 ἐκ τοῦ προχείρου εἰδέναι, αἷς τισί σε δέον κεχρῆσθαι διαί-
ταις, τῷ τε σώματι τὴν ὑγίειαν, καὶ τῷ ψυχικῷ δὴ τούτῳ
πνεύματι χαριζομέναις ἀκραιφνῆ τὴν διάνοιαν. 2. Ἐπειδή
τοι τῶν ἄλλων τούτου μᾶλλον μεμέληκεν, ἵνα ὑπὸ δεξιῷ
δηλαδὴ ὀργάνῳ ὁ νοῦς σοι τὰ θεωρήματα ταῖς ἐφεξῆς ἐλ-
λάμπῃ δυνάμεσι τῆς ψυχῆς· καὶ τὸ εὐδαιμονεῖν σε ἐν-
τεῦθεν εἴη, ἐν γαλήνῃ τε καὶ καταστάσει τοῦ πνεύματος·
καὶ πάλαι δ' ἔμοιγε χρέος ἀποτιννῦναί σοι ὧν ἂν ἡμῶν ἐν
χρείᾳ γένοιο τῆς τέχνης καλῶν, ἀμέλει καὶ ὑπείκειν καὶ
ἐγχειρεῖν προσῆκον ἔδοξε τοῖς ἀρίστοις τε καὶ τελεωτάτοις

τῆς τέχνης θεωρήμασι, καὶ τῷ τηλικούτῳ χαρίζεσθαί σοι
φίλῳ καὶ θείῳ πατρί. 3. Ὅτι μὲν γὰρ τῶν ἐν ἰατρικῇ θεω-
ρημάτων πέρας, ἡ τοῦ ἐν ἡμῖν ψυχικοῦ πνεύματος θεωρία,
ᾧ δὴ πνεύματι αἱ τῆς λογικῆς ψυχῆς δυνάμεις ἐλλάμπου-
σιν· ἀρχὴ δὲ αὖθις τοῦτο καὶ οἷον ὑποβάθρα τῶν κατὰ
τὸν νοητὸν διάκοσμον πολιτευομένων ἀνδρῶν, αὐτός τ' ἂν 7
ἀκριβῶς εἰδείης, καὶ ἱκανῶς γε περὶ τούτων ἡμῖν, ὡς οἶσθα,
πεφιλοσόφηται ἔναγχος. 4. Ὅτι δὲ καὶ κλίμαξί τισι καὶ 3
γεφύραις αἱ κατὰ τὴν φιλοσοφίαν θεωρίαι ἐοίκασιν, ἀπὸ
τῶν ταπεινοτέρων ἐπὶ τὰ τιμιώτερα τὸν νοῦν ἐπανάγου-
σαι, δέονται δ' ὅμως καὶ τῆς ἀπ' ἀλλήλων ἐπικουρίας,
κἀντεῦθεν ἂν εἴη δῆλον· νοῦς μὲν γὰρ καὶ ὅσαι περὶ αὐ-
τὸν ψυχῆς ἐνέργειαι, οἷς ἂν τὰς καθ' αὐτὰ δυνάμεις ἐκ-
πέμψαιεν, ταῦτα διαφανῆ τε καὶ εὐτύπωτα διατελεῖν ἐθέ-
λουσι. 5. Ταῦτα δ' οὐκ ἂν ἀπὸ τῆς τέχνης ἐπανασώσαιεν
τὸν αὐτοῖς προσήκοντα λόγον, ὅσος ἔν τε κράσει καὶ ποιό-
τητι καὶ ποσότητι θεωρεῖται, μὴ ἐπιστατικῶς τοῦ νοῦ ἐξ-
ευρηκότος, οἷς τισι διαιτήμασι καὶ φαρμάκοις δέον κεχρῆ-
σθαι. οἷς δῆτα προὖργον δίνεται, ἐπὶ μὴ πᾶσι τοῦτο γί-
νεται. 6. Ἐπεὶ δὲ ταῦτα οὕτως ἔχει, φαίης δ' ἂν ἡμῶν
ἄμεινον κατανεύσας καὶ περὶ τούτων, χρεὼν ἂν εἴη ἐν-
τεῦθεν προαναλαβόντας ἡμᾶς τὸν λόγον, προδιασαφῆσαι
ἅττ' ἂν εἴη προσῆκον εἰδέναι τὸν ἐντευξόμενον τῷ βιβλίῳ,
ὡς μὴ ἀπατῷτο τῆς περὶ τὸν ἄνθρωπον οἰκονομίας ἀγνοῶν 4
τοὺς λόγους· εἰκὸς γὰρ καὶ ἑτέροις ἐμπεσεῖν τὸ βιβλίον·
οἷς μὴ κατὰ τὴν σὴν ἕξιν ἐς φιλοσοφίαν διατεθεῖσι δόξειεν
ἄν τι λόγου ἄξιον ἔχειν καὶ τὰ πρὸ τῆς ὑποθέσεως ῥηθη-
σόμενα. 7. Οὐδενὸς οὖν εἰκῇ οὐδ' ὡς ἔτυχε γινομένου
ἐπὶ τοῖς κατὰ φύσιν ἐνεργουμένοις πράγμασι, καὶ τούτου
ὡς μεγίστου τε καὶ ἀμεταθέτου κειμένου ἀξιώματος, οὐ
δίκαιον ἀγνοουμένων τῶν λόγων, ἐφ' οἷς δὴ ταῦτα γίνεται,
δι' ἁμαρτίας δή τινας καὶ ἀκαιρίας καταιτιᾶσθαι τῶν γενο-
μένων· ἀλλ' ἀπὸ τῶν ἐγνωσμένων κἀπὶ τὰ μὴ ἐγνωσμένα
χωρεῖν, καὶ τὴν αὐτῶν ποιεῖσθαι συζήτησιν· οὕτω γὰρ ἂν
πολλὰ καὶ τῶν μὴ φαινομένων ἀναφανείη τῷ περὶ ταῦτα
ἐσπουδακότι νῷ· φύσει μὲν γὰρ καὶ ὁμοιότητι τὰ κατ' αὐ- 8
τὸν καὶ περὶ αὐτόν, ὑπεροχῇ δὲ τὰ μετ' αὐτὸν οἶδε νοῦς.

μετουσίᾳ δὲ καὶ ἀλλοιώσει καὶ συγγενείᾳ τὰ ὑπὲρ αὐτόν.
εἰ δὲ μὴ πάντες ταῦτα διανοεῖσθαι ἱκανοὶ πεφύκαμεν, τὸ
ἀπεστράφθαι ἡμᾶς ἐκεῖθεν καὶ κεχηνέναι περὶ τὴν ὕλην,
5 τὸ αἴτιον. 8. Ἵν' οὖν μὴ εἰς μακρὸν τὸν λόγον ἀποτείνων
ἐκβεβηκέναι δόξω τῆς ὑποθέσεως, ἀπ' αὐτοῦ δὴ τοῦ ζη-
τουμένου πράγματος τὴν ἀρχὴν τῆς ὑποθέσεως θήσομαι,
βραχέ' ἅττα προδιαλαβὼν τῷ λόγῳ περὶ ψυχῆς, οὕτω βια-
σαμένης τῆς περὶ τὸν λόγον μεθόδου.

*Κεφ. α'. Ἀπόδειξις ἐκ τῶν κατὰ μέρος ἰδιοτήτων τῶν ἀλόγων ζῴων, ὅτι ἐν ἡμῖν θεία τις οὐσία.*

1. Ὅτι μὲν οὖν ἐξ ἑτεροειδῶν εἰς ταὐτὸ συνιόντων,
ψυχῆς λέγω καὶ σώματος, ὁ ἄνθρωπος συνίστασθαι πέφυκε,
σοί τε πρὸ τῶν πολλῶν ἀποδεικτικαῖς μεθόδοις, καὶ τοῖς
πολλοῖς αὐτῇ τῇ ἐξ αἰσθήσεως πίστει δῆλον καθίσταται.
καὶ τῷ μὲν εἰς αἴσθησιν βλέποντι κἀκ τῶν τεθνεώτων οὐχ
ἧττον ἂν ἐποφθείη. ἐκστάντος γάρ τινος πάντα νεκρὰ φαί-
νεται. 2. Ἀλλὰ τοῦτο μὲν καὶ περὶ τὰ λοιπὰ τῶν ζῴων
φαινόμενον, οὐκέτι δῆλον τὸ διάφορον ἡμῶν πρὸς τὰ τῶν
ἀλόγων εἴδη ἐμποιεῖ. τῷ λόγῳ δὲ τὸ μεταξὺ ἀλόγου τε καὶ
λογικῆς ψυχῆς, ῥαδίως ἀναφαίνεται· ἕκαστον μὲν γὰρ τῶν
ἀλόγων ζῴων τὰ συστατικὰ ἐκ φύσεως πλεονεκτήματα καὶ
πρὶν ἢ δόξαι μαθεῖν προβαλλόμενον, τούτοις δὴ ἀπαρα-
6 9 τυπώτως χρῆται, μήθ' ὅπως εἰς τοῦτο γέγονε συνιέναι ἔχον,
μήθ' ὅπως ἂν ἐφ' ἕτερον μετασταίη εἶδος ἐπιτηδεύματος.
3. Ἀεὶ δὲ τοῖς αὐτοῖς ἕκαστον κέχρηται· μέλιττα μὲν γὰρ
ἀεὶ τοῖς αὐτοῖς σχήμασιν ἐπὶ τοῦ δίμβλου κέχρηται. καί-
τοι γε ἐξὸν καὶ ἐφ' ἑτέροις σχήμασι τὴν αὐτὴν ἀσφάλειαν
ἐπιδείξασθαι. τῇ αὐτῇ δ' ἀεὶ κέχρηται ἐργασίᾳ, καὶ οὔτ' ἂν
ποτε παύσαις αὐτὴν ἐργάζεσθαι· οὔτε παύσας, ἐφ' ἑτέραν
ἐργασίαν αὐτὴν ἐσόψει τραπεῖσαν. κἂν ἤδη ἐς τὸ ζῶον
εἶναι παραχθεῖσαν μεταστήσῃς τῶν γεννησάντων, καὶ ταῦτα
μήπω τὴν τοῦ μέλιτος ὅθεν τε καὶ ὅπως διδαχθεῖσαν οἰκο-
νομίαν, ἀφεὶς δὲ ταύτην ᾗ ἂν βούλοιτο φέρεσθαι, αὐτὰ
δὴ ταῦτα ἃ καὶ ἡ γεννησαμένη ποιήσῃ. καὶ οὔτ' ἂν τῆς
ἐργασίας ἐλλείψοι τῷ μὴ φθάσαι μυηθῆναι παρὰ τῶν φυ-
σάντων, οὔτ' ἂν πολλὰ κάμῃ, πλέον τι δυνήσεται τῶν λοι-

πῶν ἐξευρεῖν. 4. Μύρμηκες δὲ σίτου μὲν καὶ τῶν λοιπῶν
δημητρίων καρπῶν γεγήθασι σωροῖς, καὶ ταῦτα καιρῷ θέ-
ρους μᾶλλον συλλέγουσι· χειμῶνος δ' ὥρᾳ ἀπρόϊτοι, καὶ
οὔτ' ἀνθῶν αὐτοῖς μέλει, οὔτε δρόσου λεπτῆς κατὰ τὰς 7
μελίττας. 5. Τοῖς αὐτοῖς δ' ἀεὶ καὶ σφίσιν οἰκείοις ἐγκε-
κύφασιν ἔργοις. καὶ οὔτ' ἂν ἐν σίμβλοις παραχειμάσαιεν,
οὔτε κατὰ τοὺς κατοικιδίους μῦς ἐν ὀρόφοις τε καὶ ταῖς
τῶν τοίχων ὀπαῖς· ἀεὶ δ' ὑπὸ γῆν αὐτῶν ἕκαστος χωρεῖ,
καὶ τὴν ἐς νέωτα ἀλίαν ἀναμένει ἐγκαρτερῶν. 6. Ἀράχνης
δὲ πλέκει δίκτυα, κἀκεῖθεν αὐτῷ τὸ ζῆν ἐπιγίνεται. κἂν
ἐπὶ βραχυτάτης αὐτὸν στενοχωρήσῃς ὀπῆς, οὐκ ἄν γε παύ-
σαις μὴ διατείνειν σπαρτία, καὶ ἐνεδρεύειν κώνωπα ἁλώ-
μενον, ἢ μυῖαν, ἤ τι τῶν ἐντόμων τε καὶ εὐχειρώτων ζώων.
7. Καὶ ἄλλα δὲ ἄλλοις, σφίσι δὲ οἰκείοις γέγηθεν ἐπιτηδεύ- 10
μασι· λέων μὲν γὰρ ἐπὶ θήραν, καὶ τὸ τῶν λοιπῶν κατ-
ωρύεσθαι πρόεισι. κἂν πάνυ τοῦτον δουλώσαις, οὔποτ' ἂν
ἀφεὶς ἄλλα ποιοῦντα κατίδοις. 8. Λαγωοὶ δὲ κατεπτηχότες
τὸν ἀεὶ χρόνον διατελοῦσι· κυσὶ δὲ μᾶλλον τὸ φιλοδέσπο-
τον ἔνεστι, καὶ ἄλλοις ἄλλο τι πλεονέκτημα φύσεως, καὶ
ὑφ' ἓν εἰπεῖν, οὐδέν τι τῶν ζώων ἐσόψει, ὃ μὴ πλεονεκτεῖν
κατά τι τῶν ἄλλων πέφυκε. 9. Πάντα δὲ ἀλλήλων λείπε- 8
ται· ὥστε οὐ μόνον ἡμιτελὲς ἂν ἐντεῦθεν ἕκαστον τῶν
κατ' εἶδος ζώων ῥηθείη, ἀλλὰ καὶ σχολῇ γ' ἂν εἰ συγχωρη-
θείη, βραχύ τι ἀπόπτωμα ἤ τινα ἀπόρροιαν τοῦ ἐν ἡμῖν
λογικοῦ ταῦτα ἔχειν, θαυμασίως ὧδε τοῦ δημιουργικοῦ
οἰκονομοῦντος λόγου, ἵνα δηλαδὴ τῇ μὲν δοκούσῃ κοινω-
νίᾳ πρὸς τὸ συγγενὲς τὰ ἄλογα τῶν ζώων ἐπιστρέφηται,
τῷ διαφόρῳ δὲ καὶ ὑπερέχοντι ὑπείκῃ τε καὶ δουλαγωγῆται
ῥαδίως. 10. Καθ' ἃ δὴ καὶ ἐν ἡμῖν ἐμπιστευθεῖσι νοερὰν
οὐσίαν, πρὸς τὸν ὑπὲρ νοῦν τε καὶ οὐσίαν, νοῦν μόνον
ἅγιον, ἐπιστρέφειν καὶ ἀνάγειν ἑαυτοὺς προστέτακται· κἂν
ἀποσφαλέντες τοῦ δέοντος, ἡμεῖς τ' ἐκεῖθεν ἀπέστημεν καὶ
ἴσοις μέτροις τὰ θηρία τε καὶ ἑρπετὰ ἡμῶν διέστησαν.
11. Καὶ τοῦτο δῆλον ἐκ τῆς ἐσαῦθις πρὸς τὸν θεὸν ἡμῶν
ἐπιστροφῆς· ὑπείκει γὰρ ἤδη καὶ δουλαγωγεῖται τὰ ἀτί-
θασσα καὶ ἰοβόλα ζῶα, καὶ χειροήθη γίνεται τοῖς κατὰ τὸ
δοθὲν ἡμῖν νοερὸν ἀξίωμα πολιτευομένοις. 12. Καὶ τοῦ-

9 των μὲν πέρι, μᾶλλον ἂν σου πυθοίμεθα περὶ νοερὰν ἐσπουδακότος ἐργασίαν· καὶ τἄλλα πάντα τούτου τιθεμένου δεύτερα. ἡμῖν δὲ ἐπεὶ ταῦθ᾽ οὕτως ἔχειν πεπίστευται, συχνὸν ἂν εἴη τὸ μεταξὺ ἀνθρώπων καὶ ἀλόγων ζώων, καθὼς ἂν ἔτι προϊὼν ὁ λόγος κατασκευάσειεν.

11 *Κεφ. β΄. Ὅτι οὐδέν τι ζῷον ἑτέρου ἐπιφέρεται πλεονέκτημα, ἄνθρωπος δὲ τὰ πάντων προβάλλεται πλεονεκτήματα, καὶ ἄμεινον αὐτοῖς κέχρηται, λόγῳ τε καὶ διανοίᾳ χρώμενος.*

1. Εἰ μὲν οὖν ὥσπερ ἔνια ἐνίων φρονιμώτερα φαίνεται ταῖς φυσικαῖς ἰδιότησιν, οὕτω δὴ ἐπεκοινώνει κατὰ πλείους τινὰς τρόπους τοῦ τῶν ἀνθρώπων γένους, εἰκότως ἄν τις ἔφη, ὡς τῆς αὐτῆς ἢ τό γε δεύτερον ὁμοίας ψυχῆς ἄνθρωπος τοῖς ἀλόγοις ἐπικοινωνεῖ. 2. Νυνὶ δὲ τοσούτῳ ζῷα ἄλογα τῶν λογικῶν λείπεται, ὡς μηδ᾽ ἄν ποτε ζῷον ἄλογον ἑτέρου ἐπιδέξασθαι ἐπιτήδευμα, ἤτοι τέχνῃ ἢ βίᾳ νικώμενον· ὡσαύτως δ᾽ ἀεὶ τὰ φρονιμώτερα τὰ σφῶν αὐτῶν ἔργα ἐπιδείκνυται, ὥσπερ αὖ γε τὰ ἀσφαλέστερα, τὰ ἑαυτῶν· καὶ ἀλλήλοις μὲν τοιαῦτα παραβαλλόμενα δείκνυται. ἕκαστον δὲ ἐν τοῖς οἰκείοις ὅροις καὶ ἤθεσι διατελοῦν γιγνώσκεται. 3. Ἄνθρωπός γε μὴν τὸ λογικὸν ζῷον πολλῷ τ᾽ ἀμείνονος καὶ ὑψηλοτέρας δημιουργίας ἐπιτυχὼν τοσούτῳ
10 τῶν λοιπῶν ἀλόγων διαφέρει, ὅσῳ, εἰ μὴ μικρὸν εἰπεῖν, ταῦτα φυτῶν. 4. Ὥσπερ δὲ κἂν τοῖς φαυλοτάτοις τῶν ζώων ἔνεστι τὴν πᾶσαν τῶν φυτῶν οἰκονομίαν κατιδεῖν, θρέψιν δηλαδὴ καὶ αὔξησιν καὶ καρποῦ φορὰν καὶ πᾶν ὅ,τι φυτῶν ἴδιον, οὐδενὸς δ᾽ ἂν ἴδοις ζώων αἴσθησιν ἢ κίνησιν ἐν τούτοις, μή τί γε ἤθη ἢ ἐπιτηδεύματα, οὕτω δὴ καὶ τὴν τῶν ἀνθρώπων φυσικὴν πλεονεξίαν κατὰ τῶν λοιπῶν ἀλόγων ζώων σκοπεῖν προσήκει. 5. Καὶ πρῶτον μὲν ἄνθρωπος ἀνθρώπου φρονιμώτερος καὶ ἐπιτηδειότερος ἕτερος ἑτέρου φαίνεται· ἕκαστος δὲ αὐτῶν πολλὰς μεταμείβει τέχνας, καὶ ἤθη καὶ τρόπους μυρίους ἐπιδείκνυται. 6. Καὶ σχεδὸν εἰπεῖν, οὐκ ἔστιν οὐδὲν ἴδιόν τι ἐν ζώοις
12 πλεονέκτημα ἢ ἦθος ἢ δίαιτα, ὃ μὴ καὶ τοῖς ἀνθρώποις ἐπιφαίνεται, ἐκ τῶν ὁμοίων ἀεὶ τοῦ λόγου τὰ ὅμοια ἐξευρίσκοντες. τοσούτῳ δὲ διαφέροντα φαίνεται τὰ ἡμέτερα

*τῶν ὅθεν δήπου προῆλθεν ἐς μίαν μίμησιν, ὅσῳ γε καὶ
μετὰ λογικῆς ταῦτα γέγονεν ἐπισκέψεως.* 7. *Εἰ δὲ καὶ
καθ' ἕκαστα ταῦτ' ἐθέλεις ὁρᾶν, μάλιστα ἐσόψει τὸ τῶν* 11
*ἀνθρώπων διάφορον· ἐνταῦθα μὲν γὰρ θηρίων ἀγριότη-
τας ἐσόψει καὶ δειλίας· ἐκεῖ δὲ ἐπιμιξίας καὶ μονώσεις·
σωφροσύνας δ' ἐν ἄλλοις ἢ καὶ ἀκολασίας, ἐπιστήμας τε
μεταβολῶν ἀέρος καὶ ἰατρικὰς τέχνας· καὶ πᾶν ὅ,τι χαρίεν
τε καὶ φαῦλον ἐπὶ τῷ τῶν ἀνθρώπων ἀναφαίνεται βίῳ.*
8. *Ἔτι γε μὴν οὐ μόνον κατὰ τὰς μελίττας ἀποθήκας
μέλιτος, ἀλλά γε καὶ διαφόρων χυμῶν τε καὶ χυλῶν καὶ
ὀπῶν οἰκονομίας καὶ καρπῶν ἀποθήκας κατὰ τοὺς μύρ-
μηκας· καὶ πᾶν ὅ,τι μετὰ λόγου τε καὶ ἐπιστημονικῆς
ἐξευρισκόμενον κρίσεως τῷ τῶν ἀνθρώπων βίῳ λυσιτελεῖν
πιστεύεται.* 9. *Ἰξευτὴς δὲ οἶδεν ἀραχνῶν ἄμεινον καὶ
ἁλιεὺς πλέκειν δίκτυα· ἰατρῶν δὲ παῖδες σωτήρια καὶ ἀναι-
ροῦντα φάρμακα.* 10. *Καὶ τούτων ἕκαστος ἱκανὸς τοὺς
λόγους ἀποδιδόναι· ζῷα δὲ ἄλογα οὔτε οἶδεν οἷς κέχρηται
ὅπως κέχρηται, οὔτε ἐφ' ἕτερα μεταβῆναι δύναται· ὥστε* 13
*μάλιστα ἄν τις θαυμάσειε, τῶν μέχρις ἀλόγων τὸ τῆς ψυχῆς
ἡμῶν βιασαμένων νοερὸν τίσι τρόποις ἢ συλλογισμοῖς πε-* 12
*πεισμένοι τοῦτ' ἔφασαν. ὅπου γε μηδὲ τὰ πονηρότατα τῶν
πνευμάτων οἰκείως ἔχειν νομίζεται, ἐπὶ ἀλόγων χωρεῖν
σώματα, καὶ ταῦτα ἐπὶ ἀνθρώπων ὁσημέραι χωροῦντα.*
11. *Ἀλλ' ὅτι μὲν τὸ μεταξὺ ἀλόγων τε καὶ λογικῶν διά-
φορον μέγιστόν τι καθέστηκε, μάτην ἄν τις ἐμπομπεύοι
τῷ λόγῳ μηκύνων, αὐταῖς αἰσθήσεσι γινωσκόμενον.*

### *Κεφ. γ'. Ὅτι θεῖον καὶ νοερὸν ἐκ τῶν κατ' αὐτὴν ἐνεργειῶν ἡ ἐν ἡμῖν ψυχὴ συνάγεται.*

1. *Ὅτι δὲ ἐκεῖνο μὲν συνδιαρρεῖ τοῖς σώμασι μὴ παραμένον, ἀθάνατον δέ γε τὸ ἐν ἡμῖν καὶ θεῖον, ἔνεστιν ἰδεῖν καὶ ἐξ ὧν αὐτὸ τῷ τῶν ἀλόγων παραβάλλοντες ἐξευρίσκομεν βουλευόμενον, κρῖνον, συλλογιζόμενον, προτρεπόμενόν τε καὶ ἀποτρέπον, ποτὲ μὲν οὕτως, ποτὲ δ' αὖ ἐκείνως, ἀεὶ δ' ἐφ' ἡσυχάζοντος τοῦ σώματος, πολλά τε καὶ θαύματος ἄξια δι' ὀνείρων ἐξηγούμενον.* 2. *Καὶ τί δεῖ περὶ ἐνυπνίων φάσκειν; ὅπου γε καὶ οἷς κεκαθαρμέ-*

νον τὸ ψυχικὸν τουτὶ πνεῦμα καὶ ὁ βίος ἐπὶ θεωρίαν τῶν
ὄντων ἔστραπται, πάντα δῆλα γίνεται, ἃ τὴν αἴσθησιν
ἡμῶν διαφεύγειν φύσιν ἔσχηκε. 3. Τίνες γὰρ ἂν χυμοί,
13 ἢ πνευμάτων ἀπόρροιαι, ἢ δυνάμεις ἄλογοι, ῥαδίως οὕτω
ποτὲ μὲν ἐπὶ ἀκαριαίῳ τμήματι ὥρας διελθόντα τὴν οἰ-
κουμένην κατίδοιεν τὰ γιγνόμενα, ποτὲ δὲ ταῦτ᾽ ἀφέντα
καὶ ἐπὶ τὰ θειότερα χωρήσαντα τῶν οὔπω γεγονότων φαῖεν
ἂν τὰς ἀποβάσεις; ἢ δηλονότι τῶν λογικῶν τοῦτο ζώων
τὸ πλεονέκτημα; τὸ μὴ ἐπιστρέφεσθαι δὲ ἡμᾶς εἰς τοῦτο,
ποιεῖ ἀμφιγνοεῖν ὅτι ἐν ἡμῖν θεῖόν τι καὶ ἀθάνατον.
14 F. 4. Τὴν ἀρχὴν δὲ οὐκ ἂν ᾔδειμεν, ὅτι θεία τις καὶ νοερὰ
ἐν κόσμῳ οὐσία, εἰ μή τις κἂν ἡμῖν τοιαύτη τις οὐσία
ἐνῆν. τῇ κοινωνίᾳ γὰρ τῶν φύσεων ἕκαστον τῶν αἰσθητι-
κῶν καὶ νοερῶν ἐπιγινώσκει. οὕτω τὸ τῆς ψυχῆς ἡμῶν
θεῖον καὶ νοερὸν ἐκ τῶν κατ᾽ αὐτὸ ἐνεργειῶν καταλαμ-
βάνεται. 5. Πλείους δ᾽ ἄν τις καὶ ἀριδηλοτέρους τούτων
λογισμοὺς ἐξεύροι τῷ λόγῳ, ὑπόθεσιν τὴν λογικὴν ψυχὴν
τοῦ λόγου ποιούμενος· ἡμῖν γὰρ οὐ περὶ ταύτης φάναι
πρόθεσις ἔνεστι· τῇ κοινωνίᾳ δὲ τοῦ λόγου καὶ ταῦτ᾽ εἰρη-
ται. 6. Ὅτι δὲ ἁπλοῦν τὸ λογικὸν τοῦτο καὶ νοερὸν πνεῦμα
καὶ αὐτοκίνητον, ἐκ πολλῶν ἄν τις συλλογίσαιτο. Ὅτι δὲ
καὶ ἀθάνατον, καὶ ἀπὸ τῶν καθ᾽ ἡμᾶς τούτων καὶ ὑπὸ
14 M. αἴσθησιν. 7. Εἰ γὰρ καθ᾽ Ἱπποκράτην, εἰ ἓν ἦν, ὁ ἄν-
θρωπος οὐκ ἂν ἤλγει (οὐ γὰρ ἂν εἶχεν ὑφ᾽ ὅτου ἂν ἔπασχε
πνεῦμα νοερὸν καὶ ἀσώματον), πῶς ἂν ὑποσταίη φθοράν,
μὴ ἔχον ὑφ᾽ ὅτου ἂν πάθοι; 8. Εἰ δὲ δὴ λογικὸν τὸ ἐν
ἡμῖν θεῖον καὶ ἀθάνατον, τὰ καθ᾽ ἡμᾶς δὲ ταῦτα σώ-
ματα τὸν ἀεὶ χρόνον διαρρέοντα καὶ ἀναίσθητα, ζητητέον
οἷς τισι ψυχὴ πρώτως συνάπτεται σώματι καὶ δι᾽ ὧν τὰς
ἑαυτῆς τῷ σώματι ἐπιλάμπει δυνάμεις· τούτου γὰρ δήλου
γεγονότος, ἐξέσται ἡμῖν καὶ τοῖς ἀπὸ τῆς τέχνης βοηθή-
μασιν ἀμείνονα τὰ πρώτως αὐτῇ κοινωνοῦντα κατασκευά-
15 F. ζειν· ὥσπερ γὰρ μοχθηρία διαίτης νωθροτέρους ἡμᾶς καὶ
ἀμβλεῖς τὸν νοῦν ἀπεργάζεται, τὸν αὐτὸν αὖθις τρόπον
ἐπιτετευγμένη ὀξυτέρους τε καὶ ἐπιτηδειοτέρους ἐς νόησιν.
9. Τοῦτο δ᾽ ἂν ἕκαστος καταμάθοι ζητήσας, καὶ πρὶν ἢ
κατὰ σκοπὸν ἐπιχειρῆσαι διαίταις, ὁτὲ μὲν ἀμβλύτερον,

ὁτὲ δ' αὖ ὀξύτερον αὐτὸν ἑαυτοῦ ἐπὶ ταῖς τυχούσαις ἐνεργείαις καταμανθάνων. 10. Ἀλλὰ ὅτι μὲν ἁπλοῦν τε καὶ πολυδύναμον, καὶ οἰκείοις ὅροις ἐμπεριγραφόμενον, ἀσώ- 15M.
ματόν τε καὶ ἀμόρφωτον τὸ ἐν ἡμῖν θεῖον πέφυκεν, ἐκ τῶν κατ' αὐτὸ ἐνεργειῶν ὁ λόγος δίδωσιν ἐννοεῖν. ὅτι δὲ καὶ διὰ τοῦ ἐν ἡμῖν πνεύματος ὡς δι' ὀργάνου τὰς ἑαυτοῦ χορηγεῖ ἐνεργείας, καὶ ἐπιὼν ὁ λόγος διδάξειεν ἄν.

*Κεφ. δ'. Ὅτι ἁπλῆ τις οὖσα καὶ μία τῷ ἀριθμῷ ἡ ψυχή, πολυειδὴς τὴν δύναμιν φαίνεται.*

1. Ἡ τοίνυν ψυχή, ὡς εἴρηται, μία μὲν καὶ ἁπλῆ τῇ οὐσίᾳ τελοῦσα, ποικίλη δὲ καὶ διάφορος τῇ δυνάμει, τισὶ τῶν ἐξ αὐτῆς δυνάμεων, τῷ ἡμετέρῳ τούτῳ συνάπτεται σώματι. 2. Ἐπεὶ γὰρ αἱ μὲν τῶν ἐν αὐτῇ δυνάμεων θειότεραί τε καὶ ἀκραιφνέστεραι, αἱ δ' αὖ γε ταῖς πρώταις παραβαλλόμεναι ταπεινότεραί τε καὶ ἐνεργεῖς ἐν σώματι, διὰ τῶν δευτέρων ἂν εἰκότως φαίημεν δυνάμεων, οἰκείως ἔχειν ταύτην τῷ ἐν ἡμῖν συνάπτεσθαι πνεύματι. 3. Καὶ μή μοι διαπίστει λέγοντι, ἱκανῶς ἔχοντι καὶ ἀπὸ τῶν καθ' ἡμᾶς τούτων καὶ αἰσθητῶν τὰς πίστεις ἐπισυνάγειν. ἓν γάρ που ἢ δύο ῥηθέντα παραδείγματα ἱκανὰ ἔσται τοὺς μὴ φιλονεικεῖν ἐθέλοντας πεῖσαι, ὡς ἁπλοῦν τι καὶ πολυδύναμον ἡ ψυχή. 4. Τῶν ἁπλῶν οὖν ἔνια φαρ- 16M.
μάκων, δύο που ἢ τρεῖς ποιότητας ἔχοντα, οὐδεμία τούτων παραλυμαίνεται τὴν ἑτέραν, οὔτε κατὰ τὴν αἴσθησιν οὔτε κατὰ τὴν δύναμιν, ἀλλ' ᾗ ἂν αὐτῶν οἰκείως 16F.
ἔχῃ τὸ πεπονθός, ταύτης ἄρα καὶ ἀπολαύει οἰκειότητί τινι τῆς ἐν αὐτοῖς δραστικῆς ποιότητος ἐνεργούσης ἐν τοῖς ἀντιπεπονθόσι μέρεσι. 5. Καὶ γὰρ ἀλόης καταπίων τις τοὺς ἐνοχλοῦντας τῷ τῆς κοιλίας στόματι ἰάσεται καθαιρομένους χυμούς, τῇ ῥυπτικῇ ταύτης δηλονότι δυνάμει. ἀτμοῖς δὲ ταύτης ἢ ἐπιχρίσεσι τὰ ἐπισκοτοῦντα ταῖς κόραις λύεται· αὖθις δὲ ἐκλελυμένον στόμα γαστρὸς τονώσαις ἂν τῇ στυφότητι ἔξωθεν ἐπιθείς. ὀμφαλὸν δὲ ἐπιχρίσας καὶ ἐπιγάστριον, κτείναις ἂν τὰς ἐντὸς ἕλμινθας· καὶ ταῦτα γίνεται, ἑκάστης αὐτῆς ποιότητος ἐνεργούσης ἐν ἀντιπεπονθόσι μέρεσι. 6. Κάππαρις δὲ ἄλλῃ μὲν τονοῦν

*δυνάμει τὸν στόμαχον λέγεται, ἑτέρα δὲ ῥύπτειν ἐγκαθημένους τῶδε χυμούς, ἄλλη δὲ τέμνειν καὶ ἀποφράττειν σπλάγχνα. 7. Καὶ πολλὰ τοιαῦτα ἔργα φύσεως ἐσόψει ἐγ-*
17 M. *καταμεμιγμένας τε καὶ πολυχρήστους δυνάμεις ἔχοντα. 8. Εἰ δὲ ἁπλᾶ οὕτω φάρμακα ἀκατακεράστους μικροῦ δεῖν καὶ ἀνεπιμίκτους ἔχει ποιότητας, καὶ διαφόρως δι' αὐτῶν ἐν ἡμῖν ἐνεργεῖ κατὰ τὰς ἀντιπεπονθυίας διαθέσεις, οὐσία θεία τε καὶ νοερὰ πῶς οὐκ ἂν κατὰ τὰς ἐν αὐτῇ δυνάμεις ἐνεργήσειε τὰ ἀνήκοντα;*

### *Κεφ. ε΄. Περὶ ἰδίων ἐνεργειῶν τῶν κατὰ τὴν ψυχὴν δυνάμεων.*

1. *Καὶ νοῦς μὲν βραχύ τι ἢ οὐδὲν καθ' αὑτὸν ἐπικοινώνηκε τοῦ ἐν ἡμῖν πνεύματος.* 2. *Πρώτη γὰρ οὖν οὗτος καὶ ἀκραιφνεστάτη δύναμις τῆς ἐν ἡμῖν λογικῆς καὶ νοερᾶς οὐσίας ἐν τοῖς ὁμοίοις γέγηθεν ἀνατρέχων, κἀκεῖθεν αὐτῷ πᾶσα νοερὰ ἔννοια· τότε δὲ καὶ ἀνεπιστρόφως*
17 F. *αὐτὸν ἔχειν πρὸς τὰς περὶ τὴν αἴσθησιν δυνάμεις γίνεται, ἀντιρρόπου οὔσης τῆς κατ' αὐτὸ ἐνεργείας, τῇ καθ' ἡμᾶς αἰσθήσει, ὅτε ταύτῃ μόνῃ ζῶμεν τρόπον βοσκηματώδη. εἰ μὴ καὶ τὸ πλέον ἐκείνῳ τις χαρίσαιτο.* 3. *Ὅτι ἀξίᾳ τε καὶ ἐνεργείᾳ καὶ ἐφ' οἷς ᾠκείωται, πολλῷ γε τῶν ὑπὸ αἴσθησιν διενήνοχεν, ἀμέλει πρὸς τὰς ὑπ' αὐτὸν δυνάμεις καὶ τὰ μετ' αὐτὰς ὄργανα, ἢν ἀπλανῆ καὶ καθαρὰ ᾖ, ῥο-*
18 M. *πὴν λαβών, πολλὰ τῶν ἀμεινόνων θεαμάτων μέχρις αὐτῆς αἰσθήσεως παραπέμπει· καθ' ὅσον δ' ἂν ταῦτα τύχοιεν πλημμελήσαντα, καὶ αἱ ἐκεῖθεν ἔννοιαι παρατυπωτικῶς προΐενται.* 4. *Διάνοιά γε μὴν μετὰ νοῦν δευτέρα οὖσα τῷ ἀξιώματι, οἷά τις γέφυρα μεταβιβάζει διαπλάττουσα ἀπὸ τοῦ νοῦ ἐπὶ τὰς ἐφεξῆς δυνάμεις, τὰ ἀποσά τε καὶ ἀμεγέθη καὶ ἀχρωμάτιστα θεάματα.* 5. *Ταῦτα δὲ δόξα παραδεξαμένη, ἀμφιρρεπής τις οὖσα δύναμις τῆς ψυχῆς, ἅτε μετασχηματιζομένη ταῖς τε ἀπλανέσι ἐννοίαις καὶ ταῖς μὴ τοιαύταις φαντασίαις, τῇ φαντασίᾳ ἐγκατατίθησιν.* 6. *Ἡ δὲ ὥσπερ λέγεται παθητικὸς οὖσα νοῦς καὶ χρώματα καὶ τύπους καὶ σχήματα ποιότητάς τε καὶ θέσεις καὶ πᾶν ὅ,τι τοιοῦτον τοῖς παραπεμφθεῖσιν ἐντίθησι.* 7. *Τούτῳ δὴ τῷ μέρει τῆς ψυχῆς καὶ πολλοὺς πυνθάνομαι τῶν ἐπιδοῦναι*

ἑαυτοὺς θεωρίᾳ βεβουλημένων, ἀποσυληθέντας τὸν νοῦν,
ἀνάξιόν τι παθεῖν τῆς ἑαυτῶν προθέσεως, καὶ μάτην ἐγ- 18 F.
κατατρίψαι τὸν χρόνον. 8. Βίαιον γὰρ πάνυ τουτὶ τὸ
μέρος καὶ ἀντιπεπονθὸς ταῖς τοῦ νοῦ ἐνεργείαις· ὅσον γὰρ
ἐκείνῳ δυσχερὲς ἐνταῦθα τὸ νόημα διαβιβάσαι καὶ ὑπὸ 19 M.
αἴσθησιν ἀγαγεῖν, τοσούτῳ δὴ τῇ φαντασίᾳ τῶν ὧν ἡ
αἴσθησις δίδωσι παθῶν ὑπεκστῆναι· ἀνάπαυμα γάρ τι καὶ
οἷον ταμιεῖον αἰσθήσεων ἡ φαντασία τοῖς ζῴοις φαίνεται·
καὶ τοῖς μὲν ἀλόγοις αὐτὸ δὴ τοῦτο τὸ ἡγεμονικώτατον,
ἡμῖν δὲ τοῦτ᾽ ἀρχὴ μετὰ τὴν αἴσθησιν τῶν ψυχικῶν δυνά-
μεων. 9. Ἀλλὰ γὰρ ἐπειδὴ ἡμᾶς αὐτοὺς ὁρῶμεν πάσχον-
τας, ἐνίοτε μὲν μίαν ἢ δύο που τῶν αἰσθήσεων (ἔστι
δ᾽ ὅτε πάσας ἢ τὰς πλείους), οὐχ ἧττον δὲ πάσχον ἴσμεν
τό,τε φανταστικὸν καὶ λογιστικὸν καὶ μνημονευτικόν, φέρε
δὴ σκεψώμεθα, ὅπως τε ταῦτα πάσχει καὶ ὑφ᾽ οἵων αἰτίων,
καὶ πῶς ἂν μὴ ῥᾳδίως ἁλίσκοιτό τις τούτων τοῖς πάθεσι
διαιτώμενος, ὡς ἂν δὴ πέρας ἡ ἐπὶ τῷ λόγῳ σχοίη ὑπό-
σχεσις. 10. Ὅτι μὲν οὖν καθ᾽ αὑτὴν ἀπαθὴς ἡ ψυχὴ πε-
φυκεν, ἐπικοινωνεῖ δὲ τῶν ἐν ἡμῖν παθῶν διὰ τοῦ ἐν ἡμῖν
ψυχικοῦ πνεύματος, ὥσπερ ὄχημά τι τοῦτο ἔχουσα, καὶ
δι᾽ αὐτοῦ τὰς ἑαυτῆς ἐπιτελεῖ ἐνεργείας, τὸ μὲν ἤδη δέ-
δεικται, τὸ δ᾽ αὖ ῥηθήσεται· ὅτι δὲ κατὰ τὰς ἀλλοιώσεις
αὐτοῦ καὶ μεταβολὰς μετρίας οὔσας ἔστιν ὅτε μεγάλα ἐπα- 20 M.
κολουθεῖ τοῖς σώμασι συμπτώματα, καὶ τοῦτ᾽ ἂν προϊὼν
ὁ λόγος διδάξειε.

*Κεφ. ϛ´. Περὶ τῆς κατὰ τὴν τροφὴν οἰκονομίας, ἐν ᾧ καὶ περὶ διαφορᾶς πνευμάτων γενομένων κατά τε τὴν γαστέρα καὶ τὸ ἧπαρ, ἔτι δὲ τὴν καρδίαν καὶ τὸν ἐγκέφαλον· καὶ ὅπως τούτοις οἷον ὀχήμασιν αἱ ψυχικαὶ δυνάμεις κέχρηνται.*

1. Καὶ δὴ τέλους ὡς ἄν τις φαίη τῆς ἐν ἡμῖν οἰκο-
νομίας τοῦ ψυχικοῦ τούτου τελοῦντος καὶ οὔ ποτε παυο-
μένου, ἀεὶ δ᾽ ἐπιρρέοντός τε καὶ ἀπορρέοντος, προσήκει
σκέψασθαι, ὅθεν δὴ τὴν γένεσιν ἔχει καὶ ὅπως ἂν ἀκραιφνὲς 19 F.
τηροῖτο. 2. Ἐπεὶ δὲ τοῦτο μὲν ὥσπερ ἀρχή τε καὶ πρῶ-
τον τῆς ὑποθέσεως κεφάλαιον, οὐκ ὀλίγα δέ οἱ συμβάλλε-
ται, καὶ ὁ περὶ τῶν λοιπῶν ἐν ἡμῖν πνευμάτων λόγος, καὶ

ἄλλως δὲ ἐντελέστερον ἂν οὕτω διασκευασθείη ὁ λόγος, φέρε περί τε τῶν χυμῶν, οἳ δὴ ἐν ἡμῖν στοιχεῖα πρῶτα διατελοῦσι, καὶ τῶν ἐξ αὐτῶν πνευμάτων, καὶ πρό γε τούτων περὶ τῆς κατὰ τὴν τροφὴν οἰκονομίας καὶ τῶν ἐξ αὐτῆς πνευμάτων διασαφήσωμεν, ὡς μὴ ἐλλεῖπόν τι τῷ λόγῳ ὑποσχάζειν τὴν ὑπόθεσιν ἐμποιῇ. 3. Τῆς τοίνυν τροφῆς διαμασηθείσης καὶ ἐπὶ πέψιν τὴν ἐπὶ τῇ κοιλίᾳ χωρησάσης, εὐχύμου μὲν καὶ εὐπέπτου οὔσης καὶ μάλιστα ἀφύσου, ὑγιαι-
21 M. νούσης δὲ καὶ τῆς γαστρός, καὶ μή τινος αὐτῇ ἐμπεπλασμένου χυμοῦ, ὡραία μὲν ἥ πέψις τε καὶ ἡ ἀλλοίωσις γίνεται ἐν αὐτῇ, βραχὺ δὲ ἢ οὐδὲν ἄνω ἢ κάτω πνεῦμα ὑπέξεισιν· ἀτμοειδὴς δ' ἐκεῖθεν ἐπὶ τὴν κεφαλὴν ἀναδοθεῖσα ἀναθυμίασις, τέγγει μὲν τὰ αὐχμῶντα, διευρύνει δὲ οἷον τῇ ἠπίᾳ προσβολῇ τοὺς ἐν αὐτῇ πόρους καὶ χαλᾷ τὸ συντεταμένον τῶν αἰσθήσεων καὶ ἐπὶ ἠρεμίαν ἤδη μεταβιάζεται τὴν ἐπὶ τὸ ἐγρηγορέναι κίνησιν, εἶθ' οὕτως λήγειν τῆς ἀναπεμπούσης αὐτὴν τροφῆς διοικηθείσης ἤδη τῇ γαστρὶ καὶ ὑποχαλασθείσης. 4. Εἰ δ' ἀγαθὰ μὲν εἴη τὰ σιτία, ἤτοι δὲ κατά τινα δυσκρασίαν ἢ χυμῶν τινων ἐμπεπλασμένων, ἡ γαστὴρ νοσεῖ, αἵ τε πέψεις ἀτελεῖς ὧδε καὶ οἱ ἐκεῖθεν ἀτμοὶ ἢ παχεῖς τε καὶ ὁμιχλώδεις, ἢ καπνώδεις τε καὶ λιγνυώδεις· ἱκανοὶ δὲ πάντες οἵδε χρονίσαντες παχῦναί τε καὶ θορυβῆσαι τὸ ἐν ἡμῖν πνεῦμα. 5. Ἢν δὲ φαῦλα μὲν ᾖ τὰ σιτία, ἐπικρατῇ δὲ ποιότησί τισιν ἀλλοτρίαις κακόχυμα ὄντα,
20 F. ἔστιν ὅτε δὲ καὶ δύσπεπτα, τὰ παραπλήσια τοῖς προτέροις
22 M. συμβαίη ἄν· καὶ ὧδε μὲν ἤτοι ταῖς ποιότησιν ἢ ταῖς ποσότησι λυμαινομένων τῶν τροφῶν. 6. Τῶν δὲ ὀργάνων ἢ δυσκρασίᾳ ἁλόντων, ἢ ἐμπεπλασμένους ἐχόντων χυμούς τινας τοῖς ἐκεῖθεν ἀναφερομένοις ἀτμοῖς, ὁποῖαι δή τινες ἀλλοιώσεις περὶ τουτὶ τὸ πνεῦμα γίνονται· μέτριαι μὲν ἐπὶ μετρίοις πλημμελήμασιν, οὐκ ἀγεννεῖς δὲ ἐπὶ μεγίστοις. 7. Ἀλλ' ἐπειδάν γε τῆς τροφῆς οἰκονομηθείσης καὶ διακριθείσης κατὰ τοὺς στοιχειώδεις τούτους χυμούς, καὶ κατὰ τὴν ἐνοῦσαν ἑκάστῳ τῶν σπλάγχνων δύναμιν, ἐπὶ τἀκριβέστερον ἕκαστος τῶν προληφθέντων χυμῶν τῷ προσλαβόντι ἐξομοιωθῇ, ἀναφέρονται μὲν ἐπὶ τὴν κεφαλὴν ἀλλοιουμένων τε καὶ πεπτομένων ἀτμοί, οὐ πάνυ τι δὲ

οὐδ' οὗτοι θορυβεῖν πεφυκότες, εἰ μή που πάνυ ἐπικρα-
τήσαιεν. 8. Ὅ γε μὴν ἀμείνων πάντων χυμός, ὃς δὴ
καὶ ὕλη καὶ ἀρχὴ τοῖς ἐν ἡμῖν γίνεται πνεύμασιν, ἐπὶ τὸ
ἧπαρ ἤδη χωρήσας καὶ ἐξομοιωθεὶς τῷ σπλάγχνῳ, τὸ φυ-
σικὸν δὴ τοῦτο πνεῦμα πρώτως ἀπογεννᾷ, ᾧ δὴ καὶ τὸ
ἐπιθυμητικὸν τῆς ἐν ἡμῖν ψυχῆς ἐπιφαίνεται· τούτῳ γὰρ
ὀργάνῳ, ὡς ἄν τις εἴποι ἐπιθυμίας τε καὶ ἀλόγων ὀρέξεων, 23
ἡ ἐν αὐτῷ ψυχικὴ δύναμις κέχρηται. 9. Ὅτι δὲ τοῦθ'
οὕτως ἔχει, δῆλον ἂν εἴη ἐκ τοῦ πεπονθότος τουτουὶ τοῦ
σπλάγχνου καὶ τοῦ ἐν αὐτῷ διαφθαρέντος χυμοῦ, ἀποσί-
τους τε ἡμᾶς καὶ πάντα ἀηδῆ λογιζομένους φαίνεσθαι,
καὶ πάντῃ ἀνεπαφροδίτους εἴς τε πικρίαν καὶ ὀργὴν καὶ
τὰ τοιαῦτα μεταπίπτοντας πάθη κατὰ τὴν ἐπικρατήσασαν
ποιότητα τοῦ ἐν αὐτῷ συμφθειρομένου πνεύματος. 10. Τὰ 21
γὰρ δὴ κατὰ συμπάθειαν τῆς γαστρός, ἐφθαρμένους πλου-
τούσης χυμούς, πολλῷ γε μέτρια καὶ ῥᾷόν ἐστι βοηθεῖν.
ἀποτροφεῖ δὲ ὧδε καὶ ἀπορρεῖ τὸ σῶμα, ἐπειδὴ φυτῶν ἐνέρ-
γειαν τουτὶ τὸ σπλάγχνον πεπίστευται, καὶ διὰ τοῦ ἐν αὐτῷ
πνεύματος ἡ διοικοῦσα δύναμις τῆς ψυχῆς προβάλλει τὰ
ἀνήκοντα. 11. Ὅτι δὲ κἀν τῇ γαστρὶ πνεῦμά τι ἕτερον
διάφορον πρὸς ταῦτα φαίνεται γεννώμενον, καὶ διὰ τούτου
τὰς κατὰ μέρος πάσχομεν αἰσθήσεις ἐπὶ τοῖς ὀρεκτοῖς,
νῦν μὲν τούτων, αὖθις δ' ἐκείνων, ἄλλοτε δ' ἄλλων φαύ-
λων τε καὶ ἀγαθῶν ὀρέξεις σιτίων ἔχοντες, ὁσημέραι ἰδεῖν
ἐστὶν ἡμᾶς οὕτω διατιθεμένους καὶ ποτὲ μὲν τῶν ὁμοίων 24
ὀρεγομένους κατὰ τοὺς ἐπικρατοῦντας χυμούς, ποτὲ δὲ
τῶν ἐναντίων τῶν ἐπικρατούντων ἐπὶ τὸ κολάσαι τὴν ἀμε-
τρίαν. 12. Καὶ τοῦτο μὲν ἤδη ψυχρόν τε καὶ ὑγρὸν τὸ
πνεῦμα, τοῖς μετ' αὐτὸ προβαλλόμενον· ὄχημα δέ τι τῆς
ἐν ἡμῖν τῶν κατὰ μέρος σιτίων ἑκάστοτε ὀρεκτικῆς δυνά-
μεως. ἐκδέχεται δὲ αὐτὴν ἡ ἐπὶ τὸ ἧπαρ, γεννικωτέρα οἷον
οὖσα καὶ περιεκτικωτέρα, καὶ ἀρχὴ μειζόνων ὀρέξεων καὶ
ἐπιθυμιῶν· 13. Καὶ οὔπω θαυμαστόν, εἰ μία τις οὖσα
τῷ ἀριθμῷ ἡ ἐν ἡμῖν ψυχὴ ποικίλας ἀποδίδωσιν ἐνεργείας
κατὰ τὰς τῶν ὀργάνων ἐπιτηδειότητας, πολυδύναμός τε
οὖσα καὶ τῷ παντὶ ἐνηρμοσμένη σώματι κατά τινας οἰ-
κειότητας. 14. Ἀλλὰ ταῦτα μὲν ὧδε· οὐ γὰρ δὴ καὶ πε-

ραιτέρω χρὴ προβαίνειν ἡμᾶς ἐκβαίνοντας τὴν ὑπόσχεσιν.
15. Τὸ τοίνυν φυσικὸν τουτί, ὡς εἴρηται πνεῦμα, λεπτό-
τερον μὲν ὂν πολλῷ καὶ καθαρώτερον καὶ θερμότερον τοῦ
22 ὑπὸ τῆς κοιλίας ἐν ταῖς πέψεσι τῶν τροφῶν ἐπιγεννωμέ-
νου, ὑγρότερον δὲ τοῦ μετ' αὐτό, πολλῷ ἐλλεῖπον τῇ λεπτό-
25 τητι καὶ τῇ θερμότητι φαίνεται. 16. Καὶ γὰρ μετὰ τὴν
ἐπὶ τὰ κυρτὰ τοῦ ἥπατος ἀνάδοσιν, κατὰ τὴν λαμβδοειδῆ
οὕτω καλουμένην φλέβα ἀποσχιζομένου τοῦ αἵματος, τὸ
μὲν ἐπὶ τὰ κάτω μέρη, τὸ δ' αὖ εὐθὺ καρδίας χωροῦν φαί-
νεται, καὶ διὰ τῆς δεξιᾶς ἐπὶ τὴν ἀριστερὰν κοιλίαν τῆς
καρδίας διέξεισι. 17. Καὶ πλείονα κατεργασίαν δεξάμενον
διὰ τῶν ἀρτηριῶν ἄνω τε καὶ κάτω χωρεῖ, καὶ τὸ ζωτικὸν
ὧδε καλούμενον γεννᾶται πνεῦμα, ὥσπερ ἀπό τινος πηγῆς
τῆς καρδίας διὰ τῶν ἀρτηριῶν ἐφ' ὅλον χωροῦν τὸ σῶμα,
ὄργανον ζωῆς τῇ φύσει γινόμενον. 18. Οὐ γὰρ εἰκὸς ἦν
τῇ διαπλαττούσῃ ταῦτα δυνάμει ὄργανον πεποιημένῃ φυ-
σικόν, δι' οὗ τρέφει καὶ αὔξει τὰ μεταβατικὰ ταῦτα σώ-
ματα μὴ οὐχὶ ζωῆς ποιῆσαι πρότερον· εἰ γὰρ δὴ διὰ τὸ
μεταβαίνειν τοῦ ἡγεμονικοῦ ἐδέησε, πρώτου τῶν ἄλλων
ὄντος τῷ ἀξιώματι, μᾶλλον ἂν ἔδει προσειληφέναι τοῦτο
τὸ ζωτικόν· ζῶντα μὲν γὰρ ἔνια οὐ μεταβατικῆς δυνάμεως
εἴληχε, τῶν μεταβαινόντων δ' οὐδέν, ὃ μὴ καὶ ζωῆς μετεί-
ληφεν. 19. Εἰ δὲ καὶ τῇ ὑλικῇ αἰτίᾳ προσέχειν τις ἐθέλει,
26 τῷ ζωτικῷ μᾶλλον εὐχερὲς τοῦ φυσικοῦ πνεύματος μετα-
βεβλῆσθαι, ἐς ψυχικοῦ καὶ ἡγεμονικοῦ πνεύματος ἰδέαν.
20. Καὶ τῇ μὲν ἀνάγκῃ τῆς χρείας ζωτικὸν μὲν μετὰ τὸ
φυσικόν, εἶθ' οὕτω ψυχικὸν γέγονεν. οὐχ ὥσπερ δὲ προ-
βαῖνον ἀπὸ γαστρὸς ἠργμένον λεπτότερον γίνεται, οὕτω δὴ
ἀεὶ καὶ θερμότερον· ἀλλὰ μέχρι μὲν αὐτῆς τῆς καρδίας
ὡσαύτως τῇ λεπτότητι καὶ ἡ θερμότης προβαίνει. 21. Ὑφαι-
23 ρεῖται δὴ ἀεὶ τὸ πλέον τῆς ὑγρότητος· μετὰ δὲ τοῦτο τῆς
μὲν θερμότητος ἱκανῶς ἀνίεται· τῇ δὲ λεπτότητι ἀεὶ τὸ
πνεῦμα προβαίνει, ἐλλεῖπον ἤδη καὶ καθ' ὑγρότητα· ἀρ-
τηριῶν γὰρ ὧδε καὶ φλεβῶν ἀνηνεγμένων καὶ κατακεκερ-
ματισμένων εἰς ἀγγεῖα βραχύτατα, τὸ δικτυοειδὲς ἐντεῦθεν
γίνεται πλέγμα, κάτωθεν διὰ τῆς λεπτῆς καλουμένης μή-
νιγγος, αὐτὸ τὸ σπλάγχνον διαλαμβάνον τοῦ ἐγκεφάλου.

22. Ἐντεῦθεν δὲ τοῦ ἐγκεφάλου τρεφομένου τὸ ψυχικὸν εἶθ᾽ οὕτως γίνεται πνεῦμα κατὰ τὰς αὐτοῦ κοιλίας καὶ τὰς τῆς ψυχῆς ἡμῶν ἐνεργείας πιστεύεται· ὄργανον πρῶτόν τε τῷ ἀξιώματι καὶ οἰκεῖον γινόμενον τῇ λεπτότητι.
23. Ἀλλὰ γὰρ ἐπειδὴ περὶ τὸ σκοπιμώτατον ἡμῖν ὁ λόγος 27
γέγονε, πλείονος δεῖ καὶ τῆς σκέψεως, ὡς μήτι τῶν δεόντων ῥηθῆναι, τύχῃ διαφυγόν. οὕτω γὰρ ἂν ἄρτιος ὁ λόγος τῇ καθ᾽ αὐτὸν οἰκονομίᾳ ἀποδοθείη.

Κεφ. ζ΄. Περὶ τῆς κατὰ τὸν ἐγκέφαλον διαπλάσεως καὶ τῆς κατ᾽ αὐτὸν φαινομένης διαφορᾶς τοῦ ψυχικοῦ πνεύματος.

1. Τοῦ τοίνυν ψυχικοῦ τούτου πνεύματος, ἐπὶ τῷ σπλάγχνῳ ἀποτελουμένου τοῦ ἐγκεφάλου, οὐκ ὀλίγα θαύματα γίνεται τῆς φύσεως, ἐφ᾽ οἷς ἀπορεῖν ἔστιν. 2. Ἐπὶ μὲν γὰρ τῶν ἄλλων σπλάγχνων, ὅπη τὸ ζωτικὸν καὶ φυσικὸν τελεσιουργεῖται πνεῦμα, ᾗ ἂν αὐτῶν ἑκάτερον διαδοθείη τοῦ σώματος, τὰς αὐτὰς ἰδεῖν ἔστιν αὐτῶν ἐνεργείας. κἂν εἴ τι καὶ διαλλάξαιεν, βραχύ τι τοῦτο καὶ οὐκ ἄξιον λόγου. 3. Ὧδι δ᾽ οὐχ οὕτως, ἀλλ᾽ ὧδε μὲν ἑτέρας ἐνεργείας, ἐκεῖ δ᾽ ἑτέρας, ἀλλοίας δ᾽ ἐν ἄλλῳ μέρει, καὶ ὑφ᾽ ἓν εἰπεῖν ποικίλας τε καὶ πολυειδεῖς τὸ τοῦ αὐτοῦ καὶ ἑνὸς σπλάγχνου πνεῦμα ἐνεργείας οἰκονομεῖ· ὥστε καὶ ἀπο-
ρεῖν ἔστι, πότερον κατὰ τὰς τῶν μορίων τοῦ σπλάγχνου 24
διαφορὰς διάφορον καὶ αὐτὸ γινόμενον, οὐχ ὅμοιον ἑαυτῷ πάντῃ ἐστὶ τουτὶ τὸ πνεῦμα, ἢ τὸ αὐτὸ διόλου ὂν ἑτεροῖον κατὰ τὰς τοῦ σπλάγχνου οὐσιώδεις διαφοράς, καὶ ἔτι
τὰς ἀπονευρώσεις ἢ ἀποφύσεις φαίνεται, ἢ δηλονότι τὸ 28
δεύτερον μᾶλλον ἄν τις ἕλοιτο. 4. Καὶ γὰρ ἐπειδὴ τὸ τοιοῦτον τοῦ ἐγκεφάλου ὄργανον ἐν βραχεῖ τόπῳ περιγραφόμενον, ἔμπροσθεν μὲν εἰς δύο διῄρηται κοιλίας· προσπέφυκε δ᾽ αὐτῇ ἑτέρα βραχύ τι ὄπισθεν, ἣν παρεγκεφαλίδα ἔφασαν· συντέτρηται δὲ καὶ τὸ μεταξὺ τῶν κοιλιῶν, ὡς μὴ ἐμποδὼν εἶναι χωρεῖν τὸ πνεῦμα ὅπη ἂν ὁρμήσοι· κεκένωται δὲ καὶ πρὸ τῶν ῥηθεισῶν δύο κοιλιῶν ἔμπροσθεν τὸ κρανίον ὑπὸ τὴν παχεῖαν μήνιγγα, ὡς κἀνταῦθα τὸ ψυχικὸν τουτὶ πνεῦμα διαρρεῖν· οὐκ ἔστιν ἄλλως εἰπεῖν, οὐκ ἔστιν ἢ ὡς πάνυ λεπτόν τε καὶ διαφανὲς ὄν, καθ᾽ οὓς

*ἂν τόπους κινηθείη τοῦ ἐγκεφάλου, μεταβάλλεται ἀλλοιούμενον, εἰ μὴ γελοῖον εἰπεῖν, κατὰ τοὺς πολύποδας.* 5. *Ὅτι δ' οὐ πάνυ τι ἀκριβῶς τουτὶ τὸ σπλάγχνον ὁμοιομερές, τῷ λόγῳ δείκνυται, εἰ καὶ μικροῦ τὴν αἴσθησιν διαπέφευγεν· ἐκ γὰρ τῶν κατ' αὐτὸ ἔστι τοῦτο μαθεῖν ἀποφύσεων.* 6. *Τὰ μὲν γὰρ ἔμπροσθέν οἱ, ἁπαλωτέρας τὰς ἀποφύσεις ἔχει, ἰσχυροτέρας δέ γε τὰ ὄπισθεν· καὶ δὲ οὕτω*
29 *τῆς χρείας καλούσης ταῦτα γίνεται, ἀλλ' οὖν τὸ ὑλικὸν αἴτιον ὧδε πρότερον. τὰ μὲν γὰρ ὄπισθεν κινῆσαί τε καὶ μεταγαγεῖν καὶ ἕλξαι καὶ πᾶν ὅ,τι δρᾶσαι βίαιον ἱκανά· τὰ δ' ἔμπροσθεν ἀποφυόμενα νεῦρα αἰσθάνεσθαί τε καὶ ἀλλοιοῦσθαι ῥᾷον, ἐπιτήδεια γέγονεν.* 7. *Εἰ τοίνυν ἐκ τῶν*
25 *ἐξ αὐτοῦ ἀποφύσεων μὴ ἑαυτῷ πάντῃ ὁμοίως διαφαίνηται, τὸ πνεῦμα δὲ διὰ παντὸς τοῦ σπλάγχνου χωρεῖ, εἰκότως ἂν ῥηθείη, ὡς κατὰ τὰς τῶν μορίων ἐξαλλαγὰς καὶ τὸ πνεῦμα μεταβαλλόμενον, λεπτὸν πάνυ καὶ εὐαλλοίωτον ὄν, ὧδε μὲν ἄλλας, ἐκεῖ δ' ἑτέρας ἐνεργείας ἀποπληροῖ.* 8. *Καὶ καθάπερ διὰ τῶν φωταγωγῶν θυρίδων ὑέλους διαφόρων παραπετάσαντες χρωμάτων τὰς ἐκεῖθεν δι' αὐτῶν εἰσαγομένας τοῦ φωτὸς ἀκτῖνας τὰς ποιότητας τῶν ἐπανθούντων ταῖς ὑέλοις ἐπιφερομένας ὁρῶμεν χρωμάτων, αὐταὶ δὲ καθ' αὑτὰς ὁμοειδεῖς τελοῦσι καὶ ἀχρωμάτιστοι, οὕτω δὴ κἀνταῦθα σκοπεῖν δεῖ.* 9. *Καὶ γὰρ τοῦ ἐγκεφάλου πᾶσι τοῖς αἰσθητηρίοις ὀργάνοις ἀποφύσεις αἰσθητικῶν νεύρων ἐκπέμψαντος, οὔτ' ἐκ τῶν αὐτῶν πᾶσαι τόπων πεφύκασιν, οὔτε εἴδει ἀλλήλοις ἐοίκασιν, ἀλλ' ἀναλόγως τοῖς ὀργάνοις*
30 *τοῖς παραδεξαμένοις καὶ αἱ ἀποφύσεις τῶν νεύρων γεγόνασι τῇ μὲν παχύτεραι τῇ δὲ λεπτότεραι. καὶ πυκνότερα μὲν ὧδε ἢ ἀραιότερα τὰ ἀποφυόμενα νεῦρα φαινόμενα, μαλακώτερα δ' ἐν ἄλλοις ἢ σκληρότερα γινόμενα.* 10. *Ὥσπερ δῆτα καὶ ἑτέρωθι μὲν ἐκδηλοτέρους ἔχοντα τοὺς πόρους, ἑτέρωθι δὲ ἀφανεῖς, διαφόρους καὶ τὰς ἀντιλήψεις ποιεῖται. ἕκαστον γὰρ αὐτῶν καθὼς ἂν ἔχῃ οἰκειότητος πρὸς ἡντιναοῦν ἐνέργειαν ταῖς αὐτοῦ ποιαῖς κατασκευαῖς καὶ τουτὶ τὸ πνεῦμα συμμεταφορούμενον δείκνυσι.*

*Κεφ. η'. Περὶ τῆς κατὰ τοὺς ὀφθαλμοὺς ἐνεργείας τοῦ ψυχικοῦ πνεύματος καὶ τῶν λοιπῶν αἰσθητηρίων.*

1. *Καὶ τοίνυν διὰ τῆς λεπτῆς μήνιγγος ὑπὸ τὰς ἐμπροσθίους κοιλίας τοῦ ἐγκεφάλου ἀποφυέντα νεῦρα ἐπὶ τοὺς ὀφθαλμοὺς χωρεῖ. καὶ ἐμπεριειληφότα ὧδε τὰ διαφανῆ ὑγρά, ὥστε τὸν ἀμφιβληστροειδῆ ἐντεῦθεν συνεξυφάνθαι χιτῶνα, τὴν κατ' αἴσθησιν ἀλλοίωσιν ἐνταυθοῖ γίνεσθαι παρασκευάζει διὰ τοῦ αὐγοειδοῦς πνεύματος. οὐ γὰρ δὴ κατ' οὐσίαν ταῦτ' ἀλλοιοῦσθαί τις ἂν φαίη δικαίως.* 26
2. *Ὁποῖον οὖν τι ὁ ἀὴρ ὑπὸ τοῦ ἡλίου πάσχει φωτιζόμενος, τοιοῦτο δὴ καὶ τὰ διαφανῆ ταῦτα σώματα ὑπὸ τοῦ αὐγοειδοῦς ἡμῶν πνεύματος.* 3. *Ἐνεργείᾳ τοίνυν διαφα-* 31
*νοῦς τοῦ ὀφθαλμοῦ γεγονότος καὶ αἰσθητικοῦ, καὶ ἅπαξ τὴν ἀρχὴν τοῦ δρᾶν εἰς τὸ οἰκείως ἔχον πείσεσθαι τουτουὶ τοῦ πνεύματος εἰληφότος, καὶ αὐτὸς ἤδη ὁ πέριξ ἀὴρ κατὰ τὸ ἐκτὸς τοῦτο φῶς μεταβάλλεται ἀλλοιούμενος μέχρις ἱκανοῦ διαστήματος, ὁμοίου τοῦ συμβαίνοντος ὄντος ταῖς ψεκάσιν, αἳ καταφερόμεναι μέχρι τινὸς διαστήματος κίνησίν τινα τοῖς ὑπ' αὐτῶν πληττομένοις ὕδασι παρέχουσιν.* 4. *Ἤδη γὰρ κατηυγασμένος ὢν ὑπὸ τοῦ θύραθεν φωτὸς βραχείας τινὸς δεῖται τῆς ἐπικινήσεως, ὥστε ἱκανὸν δοκεῖν ἤδη καὶ τὸ ἀφ' ἡμῶν αὐγοειδὲς πνεῦμα τοῦτον ἀλλοιοῦν, ἐνεργείᾳ ἤδη ὄντα διαφανῆ. ἀσθενὲς γὰρ ὂν δεῖται καὶ ἐπικουρίας τῆς ἔξωθεν.* 5. *Ἐνίοις μέντοι τῶν ἀλόγων ζῴων τοσούτῳ διενήνοχε τὸ πνεῦμα τοῦτο τοῦ ἡμετέρου, ὡς ἀρκεῖσθαι τούτῳ μέχρις ἱκανοῦ διαστήματος τὴν ὄψιν ἐν τοῖς νυκτερινοῖς θεάμασιν. ἀποπάλλεται δὲ καί τις αὐγὴ ἐκεῖθεν ἰταμώτερον ἐνορῶσι τῇ πλείονι τοῦ πνεύματος ῥύμῃ καταυγαζομένων τοῦ τ' ὀφθαλμοῦ καὶ τοῦ σύνεγγυς ἀέρος·* 32
*καὶ πολλάκις ἡμῖν ἐν διαφόροις ζῴοις ταῦτ' ἐνῶπται.* 6. *Ἑνὸς οὖν ὥσπερ διαφανοῦς σώματος τοῦ τ' ὀφθαλμοῦ καὶ τοῦ πέριξ πεφωτισμένου γεγονότος ἀέρος, ἡ αἰσθητικὴ δύναμις ὥσπερ ἐποχουμένη τοῖς ἐνεργείᾳ διαφανέσι σώμασι, πρώτως μὲν τῶν οἰκείων αὐτῇ αἰσθάνεται ἅπερ εἰσὶ χρώματα· εἶθ' οὕτως καὶ μεγεθῶν, τῷ συνεῖναι μεγέθη τοῖς χρώμασι.* 7. *Καὶ ὀφθαλμοὶ μὲν οὕτω δὴ τῷ μόνον ἀτενίσαι* 27
*ἐνεργείᾳ διαφανεῖς γινόμενοι, διὰ τοῦ εἰς αὐτοὺς αὐγοειδοῦς*

*καταρρέοντος πνεύματος καὶ τοῦ θύραθεν ἐνεργείᾳ διαφανοῦς τυχόντες. καὶ δυοῖν φωτοῖν κράσεως γεγονότοιν, καὶ τῆς ἐπ' ἀλλήλων μεταλαμβανόντοιν δυνάμεως ὥσπερ ἑνὸς ἤδη διαφανοῦς τε καὶ αἰσθητικοῦ γεγονότος σώματος, τὰ ἀμφὶ τὰ αἰσθητὰ δῆλα ἡμῖν ποιοῦσι.* 8. *Τὸ γὰρ ἤτοι κώνους ἐξιόντας τῶν ὀφθαλμῶν ἐν ἀκαρεῖ τῆς ὥρας μέχρις αὐτῶν ἀντύγων τοῦ οὐρανοῦ ἐξικνεῖσθαι οἴεσθαι, ἢ μὴν τῶν αἰσθητῶν τούτων μέχρις αὐτῆς αἰσθήσεως ἐγγίζειν εἴδωλα, τῶν ἀδυνάτων δοκεῖ τῷ λόγῳ.* 9. *'Αλλ' ὁ μὲν περὶ τούτων λόγος [οὐ πάνυ τοι ἁρμόζων λέγεσθαι, ὧδέ πῃ καὶ ληγέτω.*

*Κεφ. θ'. Περὶ τοῦ ὅπως ἀπὸ τῆς αἰσθήσεως ἐπὶ τὴν φαντασίαν διαβαίνει τὰ αἰσθητὰ καὶ τῶν κατὰ τὴν φαντασίαν ἐνεργειῶν.*

1. *"Οτι μὲν] γὰρ αἰσθητικόν τε καὶ αὐγοειδὲς πνεῦμα*
33 *διά τινων συντετρημένων νεύρων ἀποφυέντων τοῦ ἐγκεφάλου ἐπὶ τοὺς ὀφθαλμοὺς φέρεται, κἀκεῖνο τοῦ ὁρᾶν ἡμᾶς πρῶτον αἴτιον, οἵ τε ἀγωγοὶ τοῦ πνεύματος ἐκ τῶν ἀνατομῶν δεικνύμενοι πείθουσι, καὶ ἐκ τοῦ παραπιέσαι τῶν κανθῶν ἑκάτερον δῆλον κἀκ τῶν αἰφνιδίων ἐνίοτε κατὰ*
28 *τοὺς ὀφθαλμοὺς παθῶν, πληγῶν, μαρμαρυγῶν τινων καὶ λαμπηδόνων προδεικνυμένων, καὶ ἔτι ἐκ τοῦ συγκλείσαντά τινα τῶν ὀφθαλμῶν τὸν ἕτερον, τὴν λοιπὴν εὐρύνεσθαι τῶν ὀφθαλμῶν κόρην, ὃ μὴ συμβαίνειν πέφυκεν ἐπὶ τῶν ὑπόχυμα παθόντων, ἐπιπροσθοῦντος ἀλλοτρίου τῷ πνεύματι σώματος.* 2. *Εἰ τοίνυν αὐγοειδὲς μὲν πνεῦμα ἐν ὀφθαλμοῖς ὂν δείκνυται, ἀερῶδες δ' ἐν ἀκοῇ (δεῖ γὰρ καὶ περὶ τῶν λοιπῶν αἰσθήσεων ἐπιμνησθῆναι τῷ λόγῳ), δίυγρον δὲ καὶ χυμῶδες ἐν γλώττῃ, ἐν τῷ μεταξὺ δὲ γεύσεως καὶ ἀκοῆς τὸ τῶν ὀσμῶν ἀντιλαμβανόμενον πνεῦμα, ἀτμῶδες οἷον πεφυκός, γεῶδες δὲ τὸ κατὰ τὴν ἁφήν, θαυμάσαι*
34 *ἄξιον, ὅπως ποτέ, τοῦ αὐτοῦ δὴ πνεύματος πεφυκότος, διαφοραὶ αἰσθητικῶν πνευμάτων ταῖς ἀναλογίαις τῶν αἰσθητηρίων γίνονται.* 3. *"Η δηλονότι καὶ τοῦτο τῆς ἐν ἡμῖν σοφῆς δημιουργίας οὐδέτερον, τοῖς αἰσθητοῖς ἀεὶ ἀνάλογα προβαλλομένης τὰ αἰσθητήρια· τῷ μὲν γὰρ ῥᾳδίως αἰσθάνεσθαι τῶν ἔξωθεν, πνεύματος ἔδει (τοῦτο γάρ τοι τῶν*

*ἐν ἡμῖν λεπτότατόν τε καὶ εὐαλλοίωτον), τῷ δ' οἰκειώσεσθαί τε καὶ ἀντιλήψεσθαι τῶν προσηκόντων αἰσθητῶν, ἀναλογίαν ἔχειν τὰ αἰσθητὰ ἐπὶ τῶν αἰσθητηρίων παρεσκεύασε. 4. Καὶ ἐν ὀφθαλμοῖς μὲν αὐγοειδὲς τοῦτ' εἶναι πεποίηκεν· οὕτω γὰρ εἰκὸς ἦν αἰσθέσθαι χρωμάτων τε καὶ μεγεθῶν διὰ μέσου φωτὸς τοῦ θύραθεν. 5. Εἰς ἀερῶδες δὲ τὸ τῆς ἀκοῆς ἡμῶν μετέπλασεν αἰσθητικὸν πνεῦμα, ὥσπερ εἰς χυμῶδες τὸ τῶν γευστῶν διακριτικόν. ἐν τῷ μεταξὺ δὲ τούτων, τὰ τῶν ὀσμῶν, ἀτμῶν ἵν' αἴσθοιτο. 6. Καὶ τὸ τῆς ἁφῆς δὲ γεῶδες, ὡς τῶν παχυτέρων καὶ σωματωδεστέρων λαμβάνῃ τὴν αἴσθησιν. ὃ δὴ καὶ ὁ σοφὸς Ἐμπεδοκλῆς αἰνίσσεται λέγων·* 29

*γαίῃ μὲν [γὰρ] γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ,*
*αἰθέρι δ' αἰθέρα δῖον, ἀτὰρ πυρὶ πῦρ ἀΐδηλον.* 35

*7. Καὶ μή τις θαυμαζέτω πῶς ποτε τὸ αὐτὸ καὶ ἓν πνεῦμα ἐν διαφόροις ὀχετοῖς ῥέον διαφόρων αἰσθάνεται ἀλλοιούμενον· τοῦ μὲν γὰρ ἠλλοιῶσθαί τε καὶ ποίαν σχεῖν ἰδέαν πρὸς ὃ ἂν τὴν αἴσθησιν ποιήσαιτο, ἐκεῖνο δὴ τὸ μόριον αἴτιον ᾧ μεταβληθὲν ᾠκείωται· ἄλλαι γὰρ ἄλλων ἀποφύσεις τοῦ ἐγκεφάλου καιριώτεραί τε καὶ ἁπαλώτεραι. ἀμέλει καὶ τὸ ἐξοχετευόμενον τοῦ ἐγκεφάλου πνεῦμα, τὸ αὐτὸ τῇ πρώτῃ ὂν προόδῳ, ἄλλο ἄλλου μᾶλλον ἀκραιφνέστερον φέρεται. 8. Ὅπως δ' οὕτω τῆς ἀρχῆς ἀπορρεῦσαν ῥᾳδίως ἐν ταῖς κατὰ μέρος ποιότησι μεταβάλλεται, μάθοις ἂν ἀπὸ τῶν φυτῶν, τοῦ αὐτοῦ μὲν χυμοῦ ταῖς ῥίζαις ἀναληφθέντος, διαφόρου δὲ χροιαῖς τε καὶ ποιότησιν ἔν τε πτόρθοις καὶ φύλλοις καὶ ἄνθεσι καὶ τοῖς μετὰ ταῦτα φαινομένου καρποῖς. εἰ δὲ ταῦτα μὲν ῥᾳδίως, τῷ μακρῷ δ' ἐκεῖνα γίνεται χρόνῳ. Σκόπει μοι καὶ τὴν τοῦ πνεύματος ὅση πρὸς τὴν τῶν χυμῶν ἐστιν ἡ διαφορά.*

*Κεφ. ι'. Περὶ τῶν κατὰ τὸ μνημονευτικὸν ἐνεργειῶν.*

*1. Ὅτι δὲ κοινόν τι ταμεῖον αἰσθητηρίων ἡ αἴσθησις καὶ ἐν ἐκείνῃ τὰ τῶν αἰσθητηρίων συνάγεται, δῆλον μὲν ὧδε· ἔξεστι δ' ἐντεῦθεν συνιέναι καὶ ὡς τὸ αὐτὸ καὶ ἓν* 36 *ἐστι τὸ τῆς αἰσθητικῆς ἡμῶν δυνάμεως πνεῦμα. ᾧ δὴ καὶ ἡ τῆς ψυχῆς ἡμῶν αἰσθητικὴ ἐπαναπαύεται δύναμις, ἀφ'*

ἧς δηλαδὴ τῷ τῆς μετοχῆς λόγῳ καὶ τὸ πνεῦμα τοῦτο
αἰσθητικὸν εἴληχε λέγεσθαι· οὐ γὰρ δὴ οἴκοθέν τινα τοιαύ-
την πλουτεῖν πέφυκε δύναμιν. 2. Πάντα δὲ ἀπὸ τῆς ψυχῆς
δι' αὐτοῦ ἐπὶ τὸ σῶμα τοῦτο χωρεῖ. καὶ τὰ μὲν ἐκτὸς δὴ
ταῦτα, ὅσα ὑπὸ αἴσθησιν τῷ πρώτῳ αἰσθητικῷ ἐκκρίνεται,
ἀναλόγως ἕκαστον ὅπως ἔχει χρώματός τε καὶ μεγέθους,
ψόφου τε καὶ φωνῆς καὶ ῥυθμοῦ, ὀδμῆς τε καὶ γευστῆς
ποιότητος, ἔτι δὲ θερμότητος καὶ ὑγρότητος, καὶ τῶν ἀντι-
κειμένων παθῶν, σκληρότητός τε καὶ μαλακότητος, καὶ
ὅσα λοιπὰ ὑπὸ τὴν αἴσθησιν· οὐκ ἐπὶ τὴν αἴσθησιν δὲ
ταῦτα μόνον διαβάντα παραμένει, ἢ καὶ μέχρις αὐτῆς τῆς
φαντασίας χωρεῖ. 3. Τῷ γὰρ ἀναλόγῳ τοῦτο κεχρημένον
ζωῇ, ἐπειδὴ καὶ τέλος τῆς κατ' αὐτὰ οἰκονομίας ἡ φαντα-
σία φαίνεται. ἀλλὰ καὶ περαιτέρω προβαίνει ἄνθρωπος·
καὶ γὰρ ἐπιστατοῦντα λόγον ἔχων, τούτῳ δὴ καὶ λογίζεται
37 καὶ ἀναπτύσσει ἔνδον τὰ αἰσθητὰ λαβών. 4. Ἐπεὶ γὰρ
μὴ οἰκειότητα φύσεως ἡ πρώτη αἴσθησις ἔσχηκεν, ὥστε
παρακατέχειν, ὧν ᾔσθετο πρότερον, τοὺς τύπους, ἑτέρων
δ' αὖθις ἐπαισθάνεσθαι (σωματοδεστέρα γὰρ οὖσα ἥδε ἡ
δύναμις οὐκ ἐφικνεῖται ἐπὶ πλείω κατακερματίζεσθαι), τοὺς
τύπους τῶν αἰσθημάτων ἡ φαντασία παραδεξαμένη, μυω-
πιζομένη οἷον ὑπὸ τοῦ λογιστικοῦ τῆς ψυχῆς μέρους, ἀνα-
διφᾷ τε καὶ ἐπεξεργάζεται, νῦν μὲν ὧν τοὺς τύπους παρ-
31 έλαβεν ἀπὸ τῆς αἰσθήσεως, αὖθις δ' ὧν αὐτὴ ἀνέγραψεν,
αὐτονομίᾳ κεχρημένη μᾶλλον τῶν ἄλλων δυνάμεων, ἐπὶ
τὸ διαπλάττειν ἅττ' ἂν οἰηθείη· τοσαύτη γὰρ αὐθαδείᾳ
καὶ ἀπάτῃ κέχρηται φαντασία, ὡς ἅττ' ἂν μὴ ἐγχωρεῖ εἰς
ἔργον ἀγαγεῖν τὴν φύσιν, ἥδε μετὰ πολλῆς ἀδείας ὑπο-
τίθεται, καὶ τάχ' ἂν ἡμᾶς ἐπὶ τὰς αἰσχίστας ὑπήγαγεν
ἀτοπίας, εἰ μὴ οἷά τις ἐπόπτης ὥσπερ ἀπό τινος σκοπιᾶς
ταῖς ταύτης ἀλογίστοις ὁρμαῖς ἐμβριμώμενος ὁ λόγος τὰς
ἀμετρίας ἐκόλαζε, καὶ ἥδε μὲν τῶν παχυτέρων τούτων ἤδη
38 μεταστᾶσα καὶ αἰσθητῶν, ἐπ' ἄλλον ἠργμένη μεταβαίνειν
διάκοσμον, κατὰ τοὺς νεοττοὺς τῶν στρουθίων πτερυγίζει
τε καὶ ἐξορμᾷ, γῆς μὲν ἀφίπτασθαι, ἀέρος δ' ἐπιβαίνειν.
5. Ἀλᾶται δὲ μάτην διαπονουμένη· φθάνει γε μὴν ὁ λό-
γος ἔνια ὧν ἂν αὐτῆς ἐν χρείᾳ γένηται, τούτων ἐγκατα-

θεὶς τῇ μνήμῃ τὰ ἰνδάλματα. ἡ δ' ὥσπερ ταμεῖον ἄσυλον ὧν παρεδέξατο διὰ τοῦ λόγου ἀπό τε φαντασίας καὶ τῆς αἰσθήσεως διακρατοῦσα τοὺς τύπους, οὐκ ἄν ποτε προεῖτο, τί μὴ παθοῦσα. καὶ νῦν μὲν ἐξεταζομένη ἐκ τοῦ προχείρου δίδωσιν ἅττ' ἂν εἰσπράττηται· αὖθις δὲ μετ' οὐ πολὺ ἀναλεξαμένη ἐκτίθησι, τοὺς σοφοὺς ἀπομιμουμένη τῶν ταμειῶν, οἵ ποτε μὲν ἐκ τοῦ προχείρου τὰ ἀπαιτούμενα παρὰ τῶν δεσποτῶν παρέχουσιν, ἐνίοτε δ' ἀναδιφῶντες καὶ ἐξ ἄλλων εἰς ἄλλα μεταβαίνοντες, ὀψὲ γοῦν ἐξευρίσκουσι τὸ ζητούμενον. Καὶ ταῦτα μὲν οὕτω.

*Κεφ. ια'. Περὶ τῶν λοιπῶν ἐνεργειῶν τῆς ψυχικῆς δυνάμεως.*

1. Ἐπεὶ δὲ καὶ περαιτέρω προβαίνειν ἀνάγκη τῷ λόγῳ, δεῖ προαναλαβόντας ὧδε τοῦτον ἐκθέσθαι. 2. Νοῦς οὖν 32
καὶ αἴσθησις, ἄκρα πέρατα δυνάμεων λογικῆς ψυχῆς ὄντα, τὰς μεταξὺ αὐτῶν δυνάμεις ἐφιᾶσιν, ὅπῃ ἂν ἐθέλωσι νε- 39
νευκέναι. συνεπισύρεται δὲ ἕκαστον πρὸς ἑαυτὸ νικῶν τὸ ἕτερον· οὐδὲ γὰρ ἀξίᾳ ὧδε τὸ πλέον, ἀλλὰ δυνάμει τε καὶ ῥοπῇ νενέμηται, ὥσπερ ἐπὶ τρυτάνης πολυπλαστίγγου συνεπισπωμένης ἀεὶ τῆς ἐπιβριθούσης πλάστιγγος τὰς κουφοτέρας, κἂν ἐκ τιμιωτέρων κατεσκευασμέναι ὦσι καὶ φαυλοτέρων μετάλλων αἱ πλάστιγγες. 3. Ὥσπερ οὖν ἀπὸ αἰσθήσεως τὰς ἀρχὰς ἡ φαντασία παραλαβοῦσα πτερύσσεται μὲν καὶ μεταιωρίζεται, οὐκ ἐκτὸς δὲ ποιοτήτων τὰς ἑαυτῆς ἐπισημαίνεται ἐνεργείας, οὕτω δὴ καὶ ὁ νοῦς τῇ διανοίᾳ ἀμεγέθη τε καὶ ἄποια καὶ ἀνείδεα τὰ καθ' ἑαυτὸν παραπέμπων, τῷ ἀνελίσσειν τε καὶ ἐξετάζειν ταῦτα τὴν διάνοιαν, συνεισέρχεταί τι ταύτῃ, ὧν μὴ παρέλαβεν, ἐφ' οἷς διανενόηται, μὴ ταῖς αὐταῖς ἁπλαῖς ἐπιβολαῖς ἐξικνουμένης τῆς διανοίας τῶν νοητῶν ἐφάπτεσθαι. 4. Ὥσπερ γὰρ ἁπλαῖς ἐπιβολαῖς ἡ αἴσθησις ἐφαπτομένη τῶν αἰσθητῶν, τὰς ἰδέας τούτων τῇ φαντασίᾳ παρακατατίθησιν, ἥδ' ἐπιτίθησί τε τοῖς αἰσθηθεῖσι καὶ ἀφαιρεῖται ἅττ' ἂν ἐθέλῃ 40
περιουσίᾳ δυνάμεως, καὶ πραγμάτων ἔξω ἔνια φαντάζεται· οὕτω δὴ καὶ ἡ διάνοια ταῖς οἰκείαις τοῦ νοῦ ἐλλάμψεσι κατὰ τὸν ἐναντίον τῆς φαντασίας πρὸς αἴσθησιν λόγον, οὐκ ἐκτός τινος ποιᾶς ἰδέας τὰ νοηθέντα δέχεται, ἀλλ' ὥσπερ

*τινὰ ἰνδάλματα τῶν τῆς φαντασίας παθῶν δανεισαμένη, ἐν αὐταῖς σκιαγραφεῖ τὰ τοῦ νοῦ θεάματα.* 5. *Ἐν τῷ μεταξὺ δὲ δυοῖν δυάδοιν τὸ τῆς ψυχῆς δοξαστικὸν ἤρτη-*
33 *ται, ἐλευθερίαν ἔχον φύσεως ὅπη ἂν ἐθέλῃ νεύειν, ταῖς ἀντιπνοίαις τῶν παρ᾽ ἑκάτερα δυνάμεων συμμετατιθέμενον.* 6. *Νῦν μὲν γὰρ ταῖς ἀπὸ τῆς διανοίας προηγμέναις κρίσεσι προστίθεται καὶ δοξάζειν ὀρθῶς τότε λέγεται· ἐσαῦθις δ᾽ ἐπὶ φαντασίαν καὶ αἴσθησιν ῥέπουσα ταῖς πλάναις τούτων συνεπισύρεται.* 7. *Ἀλλ᾽ ὁ μὲν περὶ τούτων λόγος οὐ πάνυ τοι προσήκων ὢν ὧδε λέγεσθαι, ἤδη καὶ λεγέτω ἱκανῶς τῇ κοινωνίᾳ τοῦ λόγου ῥηθείς· ἐφεξῆς δ᾽ ἂν εἴη προσῆκον περὶ τῶν κατ᾽ αὐτὰ παθῶν ἐξειπεῖν· τοῦτο γὰρ ἡμῖν προὔργου καὶ τῆς ὑποθέσεως πρόθεσις.*

### *Κεφ. ιβ΄. Περὶ διαφορᾶς παθῶν τῶν κατὰ τὴν ὄψιν καὶ τὰ λοιπὰ αἰσθητήρια.*

41 1. *Τῆς τοίνυν αἰσθητικῆς δυνάμεως τῆς ψυχῆς τῷ ψυχικῷ, ὡς εἴρηται, συναπτομένης πνεύματι, τοῦ δὲ δὴ πνεύματος διὰ τῶν οἰκείων αὐτῷ ὀργάνων τὰς ἐπαφὰς ποιοῦντος τῶν αἰσθητῶν, ἤτοι τὸ πρῶτον εἰκὸς ὄργανον πεπονθέναι, κατά τινα διάθεσιν ὅθεν τὸ πνεῦμα πρώτως φέρεται, ἢ αὐτὸ δὴ τὸ πνεῦμα ἠλλοιῶσθαι καὶ τῆς συμμετρίας ἐκτετράφθαι, ἢ τινος τῶν μετὰ τὴν ἀρχὴν ὀργάνων πεπονθότος καθ᾽ οἵαν δή τινα δυσκρασίαν, ἢ καί τινος ἐπιπροσθοῦντος χυμοῦ, καὶ αὐτοῦ δ᾽ ἔσθ᾽ ὅτε τοῦ αἰσθητηρίου παθόντος, οὐχ ἧττον πήρωσις αἰσθήσεως γίνεται.* 2. *Καὶ γοῦν ἐπὶ μὲν ὄψεως (ἀρκτέον γὰρ ἐντεῦθεν) δυσκρασίαν μέν τινα τοῦ ἐγκεφάλου πεπονθότος κατ᾽ ἐκείνου δὴ τοῦ μέρους, ὅθεν δὴ τὰ ἀποφυόμενα τοῦ ἐγκεφάλου νεῦρα ἐπὶ τοὺς ὀφθαλμοὺς φέρεται, ἢ τινος κατ᾽ αὐτὰ ἐπιρρυέντος χυμοῦ, τὸ βλέπειν ἀπολείπει τὸν κάμνοντα.*
34 3. *Αὐτῶν δὲ τῶν ὀφθαλμῶν πεπονθότων, ὅσα μὲν διὰ*
42 *πληγὴν ἢ φύματα συστάντα, τὴν ὄψιν διαλυμαίνεται, τῶν μὲν ἐντὸς ὑγρῶν τε καὶ χιτώνων πεπονθότων, οὐχ ἥττων ὁ κίνδυνος τοῦ προτέρου.* 4. *Τοῦ δ᾽ ἐπιπεφυκότος, οὐκ ἐξ ἀνάγκης, καὶ μάλιστα εἰ μὴ τῆς κόρης ἐγγὺς συσταίη τὸ πάθος, ὑποδραμούσης δέ τινος οὐσίας ἀλλοτρίας τὸν*

κερατοειδῆ χιτῶνα, ἤ τινος οἷον ὑμένος ἐπαναφυέντος, ὑπόχυμα μὲν ἐκεῖνο λέγεται καὶ σχολαίτερον θεραπεύεται, πτερύγιον δὲ τὸ ἕτερον καὶ ῥᾷον θεραπευόμενον. 5. Καὶ ταῦτα μὲν τὴν ὄψιν λυμαίνεται τῇ τοῦ ὀργάνου βλάβῃ· ἔνια δὲ τῷ τῆς συμπαθείας λόγῳ συνίσταται, καθάπερ κἀπὶ τῶν ἐξ ἀναθυμιάσεως λιγνυωδῶν περιττωμάτων ὑπὸ τοῦ τῆς γαστρὸς στόματος δοκεῖ τισι πρὸ τῶν ὀφθαλμῶν φέρεσθαί τινα, οἷον κώνωπες ἢ τρίχες ἢ μυῖαι ἤ τινα τοιαῦτα, ἐπιπροσθούντων δηλονότι τῶν τοιούτων περιττωμάτων τῷ αὐγοειδεῖ πνεύματι. 6. Καὶ ταῦτα μὲν τῷ μᾶλλόν τε καὶ ἧττον γίνεσθαι καὶ τῷ τῇ τοῦ στομάχου συναποκαθίστασθαι ὑγείᾳ διαγινώσκεται τῷ τῆς συμπαθείας λόγῳ γινόμενα. 7. Οἶσθα δὲ καὶ αὐτὸς ὡς τῷ τοιούτῳ πάθει ἁλοὺς καὶ πρὸ τῶν ὀφθαλμῶν τοιαῦτ' ἄττα ἐνορῶν 43 φαινόμενα, ἐδεδίεις μὲν πρότερον, ὡς μὴ ᾖ ὑπόχυμα, ἅτ' ἐπὶ τοῖς ὁμοίοις κἀκείνου τοῦ πάθους σημαινομένου συμπτώμασι· παρεμύθου δ' ὑφ' ὑμῶν τῷ τε συχνὸν ἤδη χρόνον ἐκμετρηθῆναι διὰ ταχέως ἐκείνου συνισταμένου, καὶ τῷ ποτὲ μὲν ἄμεινον ποτὲ δὲ φαυλότερόν σε ὧδε διάγειν. 8. Χρώματα δὲ πρὸ τῶν ὀφθαλμῶν φαίνεται, ὠχρὰ μὲν καὶ ὑπόξανθα ἐπὶ τῶν ἰκτεριώντων, ὁποῖα καὶ τὸ πάθος δίδωσιν, ἅτε καὶ διὰ τοῦ κερατοειδοῦς χιτῶνος τῆς χολῆς ἀναχυθείσης, ὑπέρυθρα δὲ ἐπὶ τῶν ὑπόσφαγμα πεπονθότων, ἐφ' οἷα δή τινι πληγῇ αἵματός τινος ὑπορρεύσαντος. 9. Αἱ δὲ δὴ μαρμαρυγαὶ δοκοῦσι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, αἵματος ὀργῶντος πρὸς τῶν μυκτήρων φέρεσθαι· τὸ πλέον δ' ἐπὶ ταῖς διὰ μυκτήρων κριτικαῖς αἱμορραγίαις τοῦτο γίνεται, ὥσπερ καὶ τὰ διάφορα χρώματα πρὸ τῶν ὀφθαλμῶν φαινόμενα ἐπὶ ταῖς ἀναδρομαῖς τῆς χολῆς φαίνεται καὶ ἐπισημαίνει τὴν δι' ἐμέτου ταύτης ἐνίοτε ἔκκρισιν. 10. Ἀλλ' ὁ μὲν περὶ τούτων λόγος ἑτέρας ἴσως ἀνάγκης· ἐπεὶ μηδὲ περὶ παθῶν ἡμῖν πρόθεσις παντοίων ἐξαγγέλλειν. 44

### Κεφ. ιγ'. Περὶ διαγνώσεως καὶ θεραπείας τῶν κατὰ τὰ λοιπὰ αἰσθητήρια παθῶν. 35

1. Ἀκοὴ δὲ πεπονθέναι δοκεῖ ὡσαύτως τοῖς ὀφθαλμοῖς, ἤτοι τοῦ μέρους ἐκείνου τοῦ ἐγκεφάλου κατά τινα δυσκρα-

*σίαν πεπονθότος, ἢ τοῦ ἀκουστικοῦ νεύρου, ἢ τινος ἀλλοτρίας οὐσίας ἐμφραττούσης τὴν τοῦ ψυχικοῦ πνεύματος δίοδον.* **2.** *Καὶ ταῦτα μὲν τὸ πλέον πήρωσιν τῆς ἀκοῆς ἐργάζεσθαι πέφυκεν, ἐνοχλεῖσθαι δὲ ἡ ἀκοὴ εἴωθεν ἤτοι χυμοῦ τινος ἢ πύου συστάντος περὶ τὸν ἀκουστικὸν πόρον, ἢ τινος παρεισρυέντος ἔξωθεν, ἢ φύματος ἐπιπροσθοῦντος.* **3.** *Καθαιρόμενα δὲ καὶ ταῦτα καὶ ἐξαγόμενα τὴν ὑγίειαν τῷ αἰσθητηρίῳ ἀποκαθίστησιν. ἐνίοτέ γε μὴν ἀτμῶν φυσωδῶν τε καὶ παχυτέρων ἀπό τε τοῦ στομάχου καὶ τῶν λοιπῶν σπλάγχνων ἀναγομένων ἐκ διαφόρων αἰτίων οὐχ ἧττον ἦχοι περὶ τὴν ἀκοὴν συνίστασθαι πεφύκασι καὶ οἵδε μὲν ἐπιμελείαις μᾶλλον τοῦ στομάχου καὶ τῶν λοιπῶν σπλάγχνων συναποκαθίστανται.* **4.** *Δι' ἀκρίβειαν δ' ἔσθ' ὅτε τοῦ αἰσθητηρίου ὀργάνου, ἦχοί τινες λεπτοὶ δι' ὄχλου τἀνθρώπῳ γίνεται· οὐχ ὡς τῆς συνεστώσης αὐτοὺς αἰτίας*
36 *οὔσης ἀξιολόγου, ἀλλ' ὡς τῆς ἀκριβοῦς αἰσθήσεως καὶ τοὺς φαυλοτάτους ἐπαισθανομένης τῶν ἤχων· καὶ τούτους μὲν ἰατρῶν παῖδες παύουσιν, οὐκ ἄλλως οἷοί τε ὄντας λῆξαι, τοῖς κολαστικοῖς φαρμάκοις τὸ πολὺ τῆς αἰσθήσεως κολάζοντες, καθὼς ἂν φαίημεν προϊόντες.* **5.** *Ὀσφρήσεως δ' αἰσθητηρίου πάθη πρῶτα μὲν ὅσα δι' ἐγκέφαλον καὶ τὰ ἐκεῖθεν νεῦρα γίνεται, ὥσπερ δῆτα καὶ ἐπὶ γλώττης. ἴδια δ' αὐτῶν, ἐκεῖ μὲν δυσωδῶν ἐμπεπλασμένων χυμῶν ὡς ἐντεῦθεν τοιαύτης ὀσμῆς αἰσθάνεσθαι, ὡδὶ δὲ παραπλησίων ποιοτήτων ὧν ἂν αἴσθοιτο γλῶττα, ἐγκαθημένων χυμῶν.* **6.** *Ἤτοι δὲ αὐτοῦ που περὶ τὰ αἰσθητήρια ταῦτα πέφυκε συνίστασθαι, ἢ ἐν ἄλλοις τόποις ἐπισυστάντα τῷ τῆς συμπαθείας λόγῳ, οὐχ ἧττον ἐνοχλεῖν τοῖς αἰσθητηρίοις εἴωθεν.* **7.** *Ὅτι δὲ κοινῷ μὲν λόγῳ πᾶσα δυσκρασία οὐ μόνον πλημμελῶς αἰσθάνεσθαι τὰ αἰσθητήρια δίδωσιν, ἀλλὰ καὶ φθείρεσθαι ἤδη, οὐχ ἥκιστα δέ, ἣν τἀναντία ἡ δυσκρασία τῆς οἰκειό-*
46 *τητος τοῦ αἰσθητηρίου βιάσηται, καὶ ὧδε δῆλον.* **8.** *Μᾶλλον μὲν γὰρ ὑφ' ὑγρότητος ἢ ξηρότητος ἀκοὴ πάσχειν εἴωθε· ξηρότης δὲ μάλιστα ἀνιαρὸν γλώττῃ πάθος, οὐχ ὡσαύτως τῆς ὑγρότητος ἐνοχλούσης. καὶ ἄλλαι ἄλλαις μᾶλλόν τε καὶ ῥᾷον ποιότησι φθείρονται· κοινῇ δὲ πᾶσαι πάσαις ἐπιταθείσαις.* **9.** *Ἀφῆς δὲ πάθη (περὶ ταύτης γὰρ εἰπεῖν λείπε-*

*ται) κατὰ μέρος μὲν νάρκαι τε καὶ δυσαισθησίαι καὶ ἀναι-
σθησίαι γίνονται, ἤτοι διά τινας τῶν νεύρων δυσκρασίας
ἢ διακοπάς, ἢ χυμῶν τινων ἐπιρροάς, ὡς τῶν αἰσθητικῶν
ὧδε πνευμάτων ἀποκλείεσθαι τὰς διόδους.* 10. *Διόλου δὲ
παθεῖν ἁφὴν οὐκ ἔστι, μὴ καὶ τῆς κοινῆς παθούσης αἰ-* 37
*σθήσεως. ταύτης ἀνῃρημένης, τίς ἂν ἁφῆς αἴσθησις γέ-
νοιτο; ἡ κοινὴ δὲ αἴσθησις καταλαμβάνεσθαι πέφυκεν,
ἤτοι διὰ ψύξιν ἢ ὑγρότητα ἐπικρατήσασαν, ἢ διά τινας
ἐκεῖ που ἐπιρρυέντας χυμούς, ὡς ἀποκλεῖσαι ἤδη τὴν τοῦ
πνεύματος ἔξοδον.* 11. *Εἰ δὲ καὶ δι' ἀναδόσεις ἀναθυμιά-
σεων ἀλλοκότων τοιαῦτά τινα γίνεται τῷ τῆς συμπαθείας
μὲν λόγῳ, ῥᾷον δ' ἀποκαθίσταται βοηθούμενα· καὶ οὐδὲν
θαυμαστόν. εἴ γε καὶ τῶν ἠπίων τούτων καὶ ὁσημέραι
ἀναφερομένων ἀτμῶν τεγγόντων ἤδη καὶ χαλώντων τὸ τῆς* 47
*αἰσθήσεως συντεταμένον ἀναίσθητά τε καὶ ἀκίνητα τὰ
ζῷα κεῖται τῷ φυσικῷ τούτῳ πεδηθέντα πάθει τῷ ὕπνῳ.*
12. *Ἀλλ' ὁ μὲν περὶ αἰσθητηρίων ὀργάνων λόγος, ὡς ἐν
βραχεῖ γοῦν φάναι, ἱκανῶς ἂν ἔχοι ὧδε ῥηθείς· προσήκει
δ' ἐφεξῆς ἀναλαβόντας τὸν λόγον περὶ τῶν κατὰ μέρος
αὐτῶν διεξιέναι διαγνώσεων.* 13. *Ἐπεὶ τοίνυν ἤτοι διὰ μὴ
προσήκουσαν καὶ ἀναλόγως ἔχουσαν διάπλασιν καὶ στοι-
χειώδη χυμῶν δυσκρασίαν, καὶ ἔτι δι' ἐπικρατήσασαν δυσ-
κρασίαν ἐκ πλημμελοῦς διαίτης, ἢ χυμοὺς ἀκμάσαντας,
πολλαί τινες περὶ τὴν ἡγεμονικὴν ἐνέργειαν αἱ πλημμέλειαι
ἀναφαίνονται τῶν μὲν διὰ φυσικήν τινα διάπλασιν πεπον-
θότων, τῶν δὲ δι' οὐκ ἀγαθὴν τὴν πρώτην στοιχείωσιν,
σχολῇ γ' ἄν τις μετρίως μακρᾶς ἐπικουρίας ἐπιτυχὼν διορ-* 38
*θωθείη.* 14. *Πρόχειρα δὲ τοῖς ἐσκεμμένως μετιοῦσι τὴν
τέχνην ὅσα διά τε ἐπισυμβᾶσαν δυσκρασίαν καὶ ἐπικρατή-
σαντας χυμοὺς γίνεται.* 15. *Περὶ τούτων τοίνυν καὶ ἡμῖν* 48
*ῥητέον· καὶ διαληπτέον καθ' ὅσους τρόπους καὶ οἵους εἰκὸς
ἐσφάλθαι ἡμῶν τὰς ψυχικὰς ἐνεργείας. ἐντεῦθεν γὰρ ῥά-
διον τό,τε διαγινώσκειν καὶ θεραπεύειν ἔσται. ἐπεὶ δὲ αὗται
τῷ ψυχικῷ τούτῳ πνεύματι συμμεταβαλλόμεναι φαίνον-
ται, περὶ τούτου πρώτως ῥητέον.* 16. *Ὁ οὖν ἐγκέφαλος
κατὰ τὰς αὐτοῦ κοιλίας τὸ τοιοῦτον ἀπογεννῶν πνεῦμα
κἀκεῖθεν ὡς ἀπὸ πηγῆς τινος τοῦτο κατακερματίζων ἐπὶ*

*τε τὰ αἰσθητήρια καὶ τὸ λοιπὸν σῶμα, ἀξιολόγως μὲν παθῶν τάχ' ἂν που φθείρει τὰ αἰσθητήρια. καθ' ὃν δηλαδὴ τόπον ἄρχεται τὰ τῶν αἰσθητηρίων ἀποφύεσθαι νεῦρα, τοῦ πάθους ἐπιγεγονότος.* 17. *Συμβαίνει δὲ τὸ πάθος ἢ διά τινα χυμὸν ἐπιρρυέντα ἐκεῖ ἢ ψιλὴν δυσκρασίαν. ἔσθ' ὅτε δὲ καὶ συμπαθείαις ἄλλων πρωτοπαθούντων μορίων τὰ τοιαῦτα γίνεται.* 18. *Καὶ τῆς μὲν κοινῆς αἰσθήσεως πάθη, ἀποπληξίαι καὶ ἐπιληψίαι, κώματά τε καὶ καταλήψεις κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον ἐνοχλοῦντα τὸν ἄνθρωπον. ἀεὶ δ' ἀλλοτρίας ἐπιρρεούσης ὕλης ταῦτα συνίστασθαι εἴωθε*
49 *κατὰ τὰς διεξόδους τοῦ πνεύματος· ὥστε καὶ μειζόνων ὧδε δεῖ τῶν βοηθημάτων, ἐπὶ χαλεπωτέροις τοῖς ἀρρωστήμασι τέμνοντας, λεπτύνοντας, ἀποφράττοντας, καθαίροντας, ἀντισπῶντας, μετοχετεύοντας, καθὼς ἂν τὸ πάθος καὶ οἱ ἐπικρατοῦντες χυμοὶ ὑπαγορεύοιεν. καὶ ταῦτα μὲν ἐπὶ*
39 *κοινῆς αἰσθήσεως.* 19. *Τῶν δὲ κατὰ μέρος αἰσθητηρίων, ὀφθαλμοὺς μὲν μὴ κατὰ συνήθειαν ὁρῶν, ἀλλ' ἤτοι λιμώττων ἢ ἀναθολούμενος καὶ ἐκταραττόμενος, ἢ ὡς δι' ἀχλύος ὁρῶν, ἢ καὶ προφαίνεσθαί οἱ δοκῶν οἷον μυίας καὶ κώνωπας καὶ τρίχας. ἤτοι δὲ τῆς κεφαλῆς πασχούσης, μέχρις ὀφθαλμῶν τὰ πάθη ταῦτα διαβαίνοντα φαίνονται, ἢ μόνοις αὐτοῖς τὸ πάθος ἐπιφύεται.* 20. *Κἂν μὲν ἡ κεφαλὴ πρωτοπαθῇ, σκεπτέον ἡμῖν τὰ τῆς διαίτης, καὶ ἐπὶ τἄμεινον διοικητέον τὴν πᾶσαν δίαιταν, κἀκείνοις πρώτως ἀποδοτέον τὰ βοηθήματα, οἷς δηλονότι πρώτως ἐνέφυ τὸ πάθος, πῇ μὲν διαίταις, πῇ δὲ φαρμάκοις, ἀποδιδοῦσι τὰ δέοντα.* 21. *Καὶ λῆμαι μὲν ὑγρότητος περιττῆς σύμβολα, ἣν ἀντισπαστέον μὲν τοῖς ἐρρίνοις καὶ μετοχευτέον, ἀναξη-*
50 *ραντέον δὲ ἄλλως ταῖς δεούσαις διαίταις.* 22. *Ἀχλύες δὲ παχυτέρων ἀναθυμιάσεων ἔκγονα, ὥσπερ ὀρφνώδη τε καὶ πολύχροά τινα προφαινόμενα δακνωδῶν μᾶλλον χυμῶν. καὶ τὰ μὲν πρῶτα μετρίως θερμῶν διαιτημάτων δεῖται, καθαρῶν δὲ καὶ ἀφύσων τροφῶν, καὶ τονοῦν ὧδε τὸ τῆς κοιλίας στόμα δεῖ. δακνώδεις δὲ καθαίρονται χυμοὶ προσήκουσι φαρμάκοις καὶ κατακεραστικαῖς τροφαῖς μεταβάλλονται.* 23. *Ἃ δὲ πρὸ τῶν ὀφθαλμῶν οἷον κώνωπες ἢ τρίχες φαίνονται, τὰ μὲν ὑπόχυσιν προσημαίνοντα, πρὶν*

ἢ συσταίη, καθαίρουσι τὸ ὅλον σῶμα φαρμάκοις, καὶ ἔτι
τὴν κεφαλὴν βοηθεῖται. 24. Μέτρια δέ, ὅσα ἔκγονα τῶν
λιγνυωδῶν περιττωμάτων ἐπὶ τοὺς ὀπτικοὺς ἀναδιδομένων
πόρων. καθίσταται δὲ καὶ ταῦτα ἐπ' εὐχύμοις τε καὶ εὐ-
πέπτοις σιτίοις, καὶ καθαίρεται τοῖς δι' ἀλόης καταποτίοις,
καθὰ περὶ τῶν δεόντων ὧδε φαρμάκων, τὸ πᾶν τῆς ὑπο-
θέσεως συμπεράναντες ἐκθησόμεθα. 25. *Αἱματώδεσι* δὲ 40
ἤδη καὶ ὑποφλεγμαίνουσι καὶ δακνωδῶν πάνυ τῶν ἐκρεόν-
των αἰσθανομένοις δακρύων, αἵματός τε κενώσεσι βοη-
θητέον, καὶ τοῖς ἐναντίοις διαιτητέον τῶν ἐπικρατούντων 51
χυμῶν· ἐν γὰρ τοῖς τοιούτοις τὰ ἐναντία τῶν ἐναντίων
ἰάματα. 26. Ἀκοῇ δ' οἰκεῖα πάθη, ἦχοι καὶ κωφότητες·
καὶ κωφότης μὲν ἤδη διὰ τὸ πρῶτον αἰσθητικὸν νεῦρον
καὶ τὸ ἐκεῖ τοῦ ἐγκεφάλου μέρος ἀπό τινος δυσκρασίας ἢ
χυμοῦ τινος ἐνοχλήσαντος, ἢ διά τινα συστάντα ὄγκον κατὰ
τὸν ἀκουστικὸν πόρον, ἤ τινα οὐσίαν ἐμφράττουσαν ἀλ-
λοτρίαν. καὶ τὰ μὲν πρῶτα δυσχερῶς πάνυ βοηθούμενα
φαίνεται· τὰ δεύτερα δὲ ῥᾴδιον, ἀναιρουμένου τοῦ ἐνοχλοῦν-
τος. 27. Ἦχοι δὲ συνίστανται μὲν καὶ διὰ μετρίας τινὰς
ἐμφράξεις καὶ ἀλλοτρίας ὑγρότητας. οὐχ ἧττον δὲ καὶ κά-
τωθεν ἀναφερομένων τοιούτων ἀτμῶν, οἱ παχεῖς τε καὶ
ὁμιχλώδεις καὶ δυσδιεξίτητοι ὄντες δι' ὄχλου τῷ αἰσθητη-
ρίῳ γίνονται. 28. Καὶ τοὺς μὲν γεννῶντας τὰ πνεύματα
χυμοὺς πῇ μὲν καθαίρων πῇ δὲ καὶ μετακεραννὺς διασκε-
δάσαις ἂν καὶ τὰ ἐκεῖ που συνιστάμενα πνεύματα· κἂν
ἐν αὐτῇ συστῶσιν ἤδη τῇ ἀκοῇ, οὐχ ἧττον τοῖς τοπικοῖς
χρήσῃ φαρμάκοις, τέμνων καὶ λεπτύνων καὶ ἐκκαθαίρων
τοὺς ἐνοχλοῦντας χυμούς. 29. Οὐ δεῖ δὲ λανθάνειν ὡς 52
ἐνίοτε δριμύτεροί τινες περὶ τὴν ἀκοὴν ἀτμοὶ ἀναδιδόμενοι
οὐκ ἀπαξιολόγου ὕλης σφοδρότερον ἐνοχλοῦσι τῷ πάσχοντι·
λεπτοὶ γὰρ ὄντες καὶ ἱκανῶς δηκτικοὶ μᾶλλον τὸ αἰσθητι-
κὸν διερεθίζουσι νεῦρον· οὓς μὴ ῥᾳδίως ἄλλαις βοηθου-
μένους διαίταις, ἐνίοτε ναρκωτικοῖς φαρμάκοις τὸ ἀκριβὲς
κολάζοντες τῆς αἰσθήσεως θεραπεύομεν. 30. Εὐωδῶν δὲ
καὶ δυσωδῶν μὴ αἰσθάνεσθαι, ὀσφραντικῆς τὸ πάθος δυνά- 41
μεως· καὶ ἥδε ποτὲ μὲν κατὰ τὰ λοιπὰ τῶν αἰσθητηρίων
διά τινα δυσκρασίαν τοῦ ἐγκεφάλου καὶ ἔμφραξιν τοῦ αἰ-

σθητικοῦ πνεύματος, ἀπόλλυται· μάλιστα δὲ καὶ ὁσημέραι ἐν καταρροϊκοῖς πάθεσι βλέννης τε καὶ κορύζης ἐμπιπλασῶν τοὺς ἠθμοειδεῖς πόρους, ἀφανιζομένην τῶν ἔξωθεν ἀτμῶν τὴν αἴσθησιν βλέπομεν· ὥσπερ αὖθις συσσαπέντων τοιούτων χυμῶν δυσωδίας ταῖς εἰσπνοαῖς αἰσθάνονται οἱ κατειλημμένοι τῷ πάθει. οὐχ ἧττον δὲ κἂν τῇ γαστρὶ διεφθορότων ὄντων χυμῶν, ἰχθυώδους καὶ ἰλυώδους καὶ
53 ἀλλοκότου ὀδμῆς αἴσθησις τοῖς ἑαλωκόσι γίνεται. 31. Καὶ ταῦτα μὲν μυρίσμασι καὶ ἐρρίνοις ἀποκαθίσταται βοηθούμενα, καθὼς ἂν ἐν οἰκείοις τόποις δηλώσαιμεν· τὰ δ' ἄλλοθεν αὐτοῦ που τὴν αἴσθησιν παραπέμποντα, καθαιρόμενα συναναιρεῖ καὶ τὴν ἐξ αὐτῶν αἴσθησιν. 32. Γλῶττα δὲ σπανιώτατ' ἂν αὐτὴ καθ' αὑτὴν οὕτω διατεθείη, ὡς ἀλλοκότων ποιοτήτων αἰσθέσθαι. ἀεὶ δὲ τῶν ποιοτήτων τῶν κατὰ τὸ στόμα τῆς γαστρὸς χυμῶν, συνεπαισθάνεται τοῦ ὑπαλείφοντος αὐτὴν χιτῶνος μέχρις αὐτῆς γαστρὸς διαβαίνοντος. 33. Πικρῶν οὖν καὶ ἁλυκῶν, ὀξωδῶν τε καὶ στρυφνῶν, καὶ ἔτι γλυκέων λαμβάνει αἴσθησιν. ἔσθ' ὅτε δὲ καί τινος ἀλλοκότου καὶ ἀρρήτου ποιότητος, κατὰ τὰς ποιότητας δηλαδὴ τῶν ἐπὶ στόματι τῆς γαστρὸς ἐνσκηψάντων χυμῶν, καὶ τούτους μὲν λεπτυντικοῖς καὶ τμητικοῖς καὶ ῥυπτικοῖς φαρμάκοις ἰατέον· καθὼς ἂν ἕκαστος ὑπαγορεύοι χυμός. ἐντεῦθεν γὰρ ἂν καὶ αἱ ἀναγόμεναι ἀναθυμιάσεις λήξαιεν, αἳ τῇ κεφαλῇ δι' ὄχλου γίνεται ἐνίοτε.
42 34. Ἐνίοις μὲν γάρ, ὃ ὧδε συμπάσχει· ἄλλοις τὸ ἥμισυ·
54 καὶ ἑτέροις βρέγμα ἢ κρόταφοι. καὶ ταῦτα λήγει καὶ συναποκαθίσταται ταῖς κατακεράσεσι καὶ καθάρσεσι τῶν χυμῶν. ἐν πᾶσι δὲ τούτοις προσαγωγῇ χρηστέον εὐχύμων τροφῶν. 35. Νάρκαι δὲ καὶ δυσαισθησίαι διά τε ψύξεις καὶ ἐμφράξεις τῶν πόρων τῶν αἰσθητικῶν νεύρων μᾶλλον γίνονται· ἃς ἀναιρετέον, θερμαίνοντας μὲν τὰ ἐψυγμένα, λεπτύνοντας δὲ τοὺς χυμούς, καὶ ἀναπεταννύντας τοῖς ἀποφρακτικοῖς καὶ ἀραιωτικοῖς τοὺς πόρους. ὧδε γὰρ προσήκει μᾶλλον δίαιτα λεπτύνουσα. 36. Ἐπεὶ δ' αὐτάρκως περὶ διαγνώσεως παθῶν τῆς τε κοινῆς αἰσθήσεως καὶ τῶν κατὰ μέρος αἰσθητηρίων εἴρηται βραχυλογεῖν ἐθέλουσιν, ἐφεξῆς ῥητέον περὶ διαφορᾶς τῶν ἀναφαινομένων ἐν ἡμῖν μερῶν τε καὶ

δυνάμεων τῆς ψυχῆς, καὶ ὅπως οὐχὶ πᾶσι ταῦτα φαίνεται. Ἀλλὰ μικροῦ δεῖν τοῖς κατ᾽ ἀριθμὸν ἀνθρώποις ἐπιμερίζονται· οὕτω γὰρ ἂν ὁ λόγος ἄμεινον διασκευασθείη.

*Κεφ. ιδ΄. Περὶ τοῦ ὅπως διαφόρων τι ὀρεγόμεθα καὶ ὅπως οὐχὶ πάντες ταῖς αὐταῖς ψυχικαῖς ἐνεργείαις ὡσαύτως κεχρήμεθα.*

1. Ὥσπερ οὖν ὁ πυρὶ ἡμᾶς οὗτος ἀὴρ εἷς καὶ ὁ αὐτὸς
ὢν οἰκείᾳ θεωρούμενος ποιότητι, διαφόρως δέχεται τὰς
κατὰ μέρος διαφοράς, ψυχρότερος, θερμότερος, ὑγρότερος,
ξηρότερος, ἀχλυώδης, διειδής, διεφθαρμένος καὶ ὅ,τι ἕτερον 55
φαινόμενος, οὐχ ἧττον δὲ ταῦτα πάσχων καὶ ἀλλοιούμενος
ἀήρ τε λέγεται καὶ τὰ ἀέρος δρᾷ μὴ κατ᾽ ἴσην δύναμιν,
οὕτω καὶ τὸ καθ᾽ ἡμᾶς τουτὶ σκοπεῖν αἷμα δεῖ τὰς τοιαύτας μεταβολὰς δεχόμενον. 2. Οὐ μόνον γὰρ κατὰ τὴν
πρώτην καὶ φυσικὴν διάπλασιν ψυχροτέρου ἢ θερμοτέρου
τοῦ συμμέτρου, ἢ ξηροτέρου ἢ ὑγροτέρου, ἢ παχυτέρου ἢ
λεπτοτέρου γεγονότος, ἐπ᾽ ἐκεῖνα καὶ τὰς ἔξωθεν ἐπεισιού- 43
σας τροφὰς ἡ ἀλλοιωτικὴ δύναμις καὶ ἐξομοιωτικὴ ἐπείγεται μεταβάλλειν. 3. Ἀλλὰ κἀκείνοις χαίρειν τε καὶ ἥδεσθαι τῶν σιτίων μᾶλλον πεφύκαμεν, ἃ δὴ ἑτοιμότερα κατὰ τὸ ἐν ἡμῖν τοιόνδε ἀπογεννᾶν αἷμα, εἰ μή τις ἄλογος ἐπισυστᾶσα κατὰ καιρὸν ὄρεξις ἐπισκοτεῖ τῇ κατὰ φύσιν ἡμῶν καὶ ἀπλανεῖ τῶν ἁρμοζόντων ὀρέξει. 4. Εἰ δὲ τοσαῦται διαφοραὶ πεφύκασιν αἵματος τὴν σύμμετρον ἐκπεφευγυῖαι κρᾶσιν, ἀνίενται δὲ καὶ ἐπιτείνονται ἡλικίαις τε καὶ ὥραις καὶ διαίταις, καὶ τοῖς ἐπικρατήσασι χυμοῖς, καὶ τόποι δὲ
καὶ ἤθη καὶ μύρια ἕτερα τοῦτ᾽ ἀλλοιοῦσι, πῶς οὐκ ἄν τις 56
οἰηθῇ δικαίως, ὡς οὐ μόνον οὐ πᾶσι ταὐτὸ τυγχάνει τὸ αἷμα, ἀλλ᾽ οὐδὲ δυοῖν ἐφεξῆς ἀνθρώποιν, ὅπου γε μηδὲ ταὐτὸν τῷ αὐτῷ καὶ ἑνὶ τῷ ἀριθμῷ ἀνθρώπῳ παραμένει, ὑπὸ συχνῶν αἰτίων μεταβαλλόμενον. 5. Εἰ τοίνυν τοῦθ᾽ οὕτως ἔχει, ἔτι δὲ πολλῷ πλείους μεταβολὰς καὶ ἀλλοιώσεις δέχεται κατά τε τὴν καρδίαν αὐτήν, καὶ τὸ φλεβῶδές τε καὶ ἀρτηριῶδες γένος, κατά τε αὐτὸ τὸ ὕστατον ἀνιὸν σπλάγχνον. εἰκὸς γὰρ καὶ αὐτὰ τὰ σπλάγχνα μὴ ὁμαλῶς κεκρᾶσθαι, ἀλλὰ καθ᾽ ἡντιναοῦν τῶν δυσκρασιῶν ἐλλείπειν ἢ ὑπερβάλλειν. οὐχ ἧττον δὲ καὶ ὁ κατὰ τὴν διάπλασιν

συντελεῖν πέφυκε λόγος. 6. *Πάντα δ' ἱκανὰ μεταβαλεῖν
καὶ ἀλλοιῶσαι κρᾶσιν, πῶς οὐκ ἂν εἰκότως φαίη τις κατὰ
τοὺς τῆς μεταβολῆς καὶ κράσεως καὶ ποιότητος τρόπους
καὶ τὰ ἐξ αὐτοῦ ἀπογεννώμενα μεταβεβλῆσθαι πνεύματα·
οἷς δὴ πνεύμασιν ὡς ὀργάνοις εἴτουν ὀχήμασιν αἱ ψυχι-
44 καὶ δυνάμεις εἴτουν ἐνέργειαι ἐπιβαίνουσαι, μυρία ἤθη τε
57 καὶ εἴδη γνώσεων ἀποτελοῦσιν ἐν ἀνθρώποις· ὥσπερ ἐπὶ
πολλῶν τε καὶ ποικίλων αὐλῶν ἐν διαφόροις ἡρμοσμένων
ῥυθμοῖς, ἓν καὶ τὸ αὐτὸ ἐμπνέον πνεῦμα, κατὰ τοὺς εἰρ-
μοὺς ἐκείνων, καὶ τὰς δεκτικὰς τοῦ πνεύματος ἐπιτηδειό-
τητας, ποικίλα καὶ ἀσύμφωνα πρὸς ἄλληλα τὰ μέλη ἀπο-
δίδωσιν. 7. Ἀλλ' ἐνταῦθα δεῖ τινος ἐπιστήμην ἔχοντος
μουσικῆς τοιαύτης, καὶ καθ' ἃς ἂν ἴδῃ χορδὰς τὸ μέλος
ὑποσχάζον ἢ ἀντιβαῖνον, ταύταις τὸν ἀναλογοῦντα τόπον
χαρίζεσθαι, καὶ μὴ ἐᾶν τὸν ἐφιστάμενον τοιούτῳ θαυμαστῷ
ὀργάνῳ, ἐκρύθμοις τε καὶ ἀσυμφώνοις κεχρῆσθαι μέλεσιν.
8. Ἐπεὶ δὲ τὰ μὲν πρὸς ἡδονὴν ἀποκλίνειν λέγεται τῶν
μελῶν κρουόμενα, τὰ δ' αὖ εἰς θυμὸν καὶ πόλεμον διε-
γείρειν, εἰσὶ δ' ἃ καὶ πρὸς ἑαυτὴν ἡμῶν συστρέφει τὴν
ψυχὴν καὶ κατανύσσει καὶ ἡμεροῖ προσέχουσαν, τοῖς καθ'
ἡμᾶς εἰκότως ἄν τις ταῦτ' ἐναρμόσειε πνεύμασιν. ἃ δὴ
καθ' ἧπάρ τε καὶ τὴν καρδίαν καὶ αὐτὸν ἀπογεννᾶται τὸν
ἐγκέφαλον. 9. Καὶ περὶ μὲν τῶν καθ' ἧπάρ τε καὶ τὴν
58 καρδίαν γεννωμένων, βραχέος ἡμῖν δεῖ τοῦ λόγου, τοῦ τρί-
του ἡμῖν προὔργου πεφυκότος. ἐπιμνησθῆναι δ' ἂν εἴη
προσῆκον καὶ τῶν τοιούτων τῇ τοῦ λόγου κοινωνίᾳ, ἵν'
ἔχοιεν καὶ ἕτεροι περὶ τούτων εἰδέναι, εἴπου τισὶ τῆς τού-
των μέλει εἰδήσεως, ἀξιολόγου μὲν καὶ τῆς κατ' αὐτὰ θεω-
ρίας οὔσης, οὐχ ἥκιστα δὲ καὶ ἐπὶ ταῖς καθ' ὑγίειαν λυσι-
τελούσαις διαγνώσεσι τοῦ σώματος.*

### Κεφ. ιε'. Περὶ ἐνεργειῶν τοῦ φυσικοῦ πνεύματος.

1. *Καὶ τοίνυν τοῦ φυσικοῦ τούτου πνεύματος κατὰ τὸ ἧπαρ μὲν πρώτως, ἐφεξῆς δὲ κατὰ τὸ φλεβῶδες ἀποτελουμένου γένος, τούτῳ μὲν ἠδόμεθα· καὶ ὀρεγόμεθά τε φυσικὰς ἡμῖν ὀρέξεις ὀργάνῳ τῆς φυσικῆς δυνάμεως τῆς ψυχῆς ἡμῶν τυγχάνοντι. 2. Τούτῳ δὲ καὶ τρεφόμεθα, καὶ*

*ὅμοια γεννῶμεν πρώτως, κἂν ἐπικοινωνῇ καὶ τὰ λοιπὰ* 45 *πνεύματα. καὶ αἱ φυσικαὶ δὲ ὧδε γίνονται δυνάμεις. καὶ ὅ,τι ἂν ᾖ κατὰ τὴν τῶν φυτῶν τελεσιουργούμενον ἐντελέχειαν κατὰ τὴν καθ' ἧπαρ ὁρῶμεν ἐπιτελούμενον δύναμιν.* 3. *Ἐπεὶ δ', ὡς εἴρηται, διαφόρως ἡμῶν κέκραταί τε καὶ πεποίωται τὸ καθ' ἧπαρ ἀποτελούμενον αἷμα δι' ἃς δὴ πρότερον ἔφθημεν εἰρηκότες αἰτίας, εἰκὸς ἂν εἴη καὶ ἡμῶν* 59 *τὸ αἷμα συμμεταβάλλεσθαι· καὶ ἄλλον ἄλλαις μᾶλλον ὀρέξεσιν ἁλίσκεσθαι, καὶ τοῖσδε μὲν τοιόνδε ἐφήδεσθαι, ἐκείνοις δ' ἕτερον καὶ ἄλλον ἄλλου μᾶλλον εὐκατάφορον γίνεσθαι πρὸς τὰς ὁποιασοῦν ὀρέξεις· ἐντεῦθεν δὲ καὶ πρὸς τὰ πρῶτα καὶ στοιχειώδη ὑλικὰ αἴτια καὶ τὰ ἐπεισαγόμενα ἐξομοιούμενα, χροιῶν τε καὶ εἰδῶν διαφορὰς ἐμποιεῖ.* 4. *Εἰ δὲ καὶ τὰς καθ' ἧπαρ ἔν τε κράσει καὶ διαπλάσει διαφορὰς σκοποίης, εὐρύτητάς τε καὶ στενοχωρίας τοῦ φλεβώδους γένους, πολλὰ ἂν αἰτιάσαιο τὸ φυσικὸν τοῦτο πνεῦμα ὀρέξεσι καὶ θρέψεσι καὶ ὅσα φυτῶν οἰκεῖα χαριζόμενον.* 5. *Μᾶλλόν γε μὴν δι' αὐτοῦ τῶν ἐπὶ τούτῳ φυσικῶν τῆς ψυχῆς ἡμῶν δυνάμεων ἐνεργουσῶν· κἂν μὲν ἐπὶ συμμετρίαν κράσεως τοῦτ' ἄγοιτο διαίταις ἰσχῦόν τε καὶ ἀντιβαῖνον τοῖς ἄλλοις φαίνεται πνεύμασι, καὶ μάλιστα ἢν μὴ καλῶς κἀκεῖνα ταῖς διαίταις τε καὶ φυσικαῖς οἰκονομῆται κράσεσιν.* 6. *Εἰ δ' ἀρρωστήμασί τισι καὶ ἐκβεβηκυίαις διαίταις καὶ δυσκρασίαις καὶ ὁποίοις δή τισι πλημμελήμασιν ἀπεοικὸς καὶ οὐχ ὡς δεῖ γεννᾶται τουτὶ τὸ* 60 *πνεῦμα ὡς ἀσήμῳ τε καὶ ἀκαλλεῖ ὀχήματι.* 7. *Ἡ κατ' αὐτὸ δὴ τῆς ψυχῆς κεχρημένη δύναμις, καὶ τὰς κατ' αὐτὸ νωθρὰς καὶ ἀτελεῖς ποιεῖ ἐνεργείας.* 8. *Καὶ τούτου μὲν* 46 *δι' ἀρετῆς ἀμελήσαντι, τὸ προσάντες καὶ ἀντιβαῖνον λέλυται, νηστείᾳ τε καὶ νήφοντι λογισμῷ τὸ τεθηλὸς ἐν ἥπατι πνεῦμα ὑπομαράναντι μὴ εἰρημένῳ σοι ζῆν ἐν σώματι. οἷς δὲ καὶ τούτου μεμέληκεν, ὑγρά τε καὶ θερμὴ ἡ προσήκουσα δίαιτα, εἴ γε καὶ τὸ τεθηλέναι τοῖς φυτοῖς τῶν ἄλλων ποιοτήτων ταῦτα μᾶλλον αἴτια.* 9. *Ἀλλ' ὁ μὲν περὶ τούτου λόγος ἱκανῶς ὡς εἴρηται ῥηθεὶς ἐπὶ τὸ μετὰ τοῦτο πνεῦμα μεταβαινέτω.*

*Κεφ. ιϛ΄. Περὶ ἐνεργειῶν τοῦ ζωτικοῦ πνεύματος.*

1. *Καὶ τοίνυν τῆς κοιλῆς φλεβὸς ἀποσχισθείσης καὶ ἐπὶ τὴν δεξιὰν εἰσδύσης τῆς καρδίας κοιλίαν καὶ τὸ ἐν αὐτῇ ἐρευγομένης αἷμα διὰ λεπτῶν τινων συντρήσεων, ἡ ἐφεξῆς αὐτῇ ἀριστερὰ κοιλία τοῦτο δέχεται, λεπτότερον μὲν ἑαυτοῦ τῇ διυλίσει οἷον δὴ τῇ διὰ τῶν τρημάτων γινόμενον, οὐχ ἧττον δὲ καὶ τῇ ἀεικινησίᾳ τε καὶ θέρμῃ τοῦ σπλάγχνου.*
61 2. *Ἅπαξ οὖν ἐκστὰν τῆς ἑαυτοῦ κράσεως, θερμότερόν τε ἱκανῶς γεγονὸς καὶ λεπτότερον, καὶ οὐχ οὕτως ὂν ὑγρόν, ὡς πρότερον, καὶ τοῦ γεννᾶν τοιοῦτο πνεῦμα ὁποῖον τὸ πρὸ αὐτοῦ ἐξίσταται.* 3. *Καὶ ὥσπερ δὴ ἐκεῖ διαφορὰν αἱμάτων ὁ λόγος ἐδίδου, δι' ἃς δὴ πρότερον εἰπάντες ἔφθημεν αἰτίας, οὕτω κἀνταῦθα συνιδεῖν ἔξεστι, διαφόρως μὲν τοῖς πᾶσι κεκραμένου τοῦ σπλάγχνου, διαφόρου δὲ καὶ τῆς κατ' αὐτὸ τελούσης διαπλάσεως, οὐκ ἀεὶ δὲ ταῖς αὐταῖς σχο-*
47 *λάζοντος πέψεσιν, ἄλλων ἄλλα νικώντων καὶ βιαζομένων.* 4. *Εἰ δ' οὐχ ἧττους αἱ διαφοραὶ κἀνταῦθα τῶν ἐπὶ τὰ λοιπὰ σπλάγχνα, πῶς ἂν τὸ ἐντεῦθεν ζωτικὸν γεννώμενον πνεῦμα ἓν καὶ τὸ αὐτὸ τοῖς πᾶσιν ἔσται, μήτε ταῖς αὐταῖς ἀεὶ κινήσεσι πάντων τῆς καρδίας κεχρημένων, μήθ' ὡσαύτως θυμουμένων τε καὶ δειλιώντων, ἀλλὰ καθ' ἃς ἂν τύχῃ τουτὶ τὸ πνεῦμα ποιωθὲν ἐπιτηδειότητας εἰς παθητικάς τε καὶ ἀλόγους διαθέσεις κινούμενόν τε καὶ ἐνεργοῦν ὑπὸ τῆς ἐπιτραπείσης τοῦτο ψυχικῆς δυνάμεως.* 5. *Ὥσπερ οὖν ἔφημεν ἐν ἥπατι φυσικάς ὀρέξεις τε καὶ δυνάμεις ἱδρῦσθαι, οὕτω δὴ κἀνταῦθα δεῖ νοεῖν ἐκείνας*
62 *τὰς δυνάμεις, ὅσαι δηλαδὴ ζωώδεις τε καὶ ἄλογοι καὶ ἐν ἀλόγοις ζώοις ἐμφαίνονται.* 6. *Τοῦ οὖν τοιούτου πνεύματος κατισχύοντος καὶ μὴ τοῦ λογικοῦ κατέχειν τὴν ῥοπὴν αὐτοῦ ἐξικνουμένου, ἄλογοι θυμοί τε καὶ δειλίαι γίνονται καὶ πάθη διάφορα, ὥσπερ αὖθις λῦπαι τε καὶ ἀθυμίαι, ἐνθυμίαι καὶ ἱλαρότητες, καὶ ταῦτα μηδενὸς τινος θύραθεν οὕτω διατιθέντος τὸν ἄνθρωπον.* 7. *Αὐτοῦ δὲ μόνου ποιάν τινα κατάστασιν εἰς τοῦτο ἐσχηκότος τοῦ πνεύματος, καὶ μηδεὶς ἀγνοῶν δημιουργίας λόγους, ὡς ἄπορον τουτὶ παραιτείσθω.* 8. *Ἐκεῖνο τοῦτο προμαθών, ὡς τοῦ δημιουργοῦ ταῖς λογικαῖς ἡμῶν ψυχαῖς πολλάς τε καὶ ἀξιο-*

*λόγους ἐνθέντος δυνάμεις, αὐτῶν ἑκάστη κατὰ τὴν εὐ-
πορίαν τε καὶ εὐτονίαν τοῦ καθ᾽ αὐτὴν ὀργάνου ἐνεργεῖν
πιστεύεται.* 9. *Εἰ δέ τις λέγειν δίκαια οἴεται τοῖς ἀλόγοις
πάθεσιν ἀγόμενος, συνεὶς ἐντεῦθεν, ὡς φυσικαῖς ἀνάγκαις
ταῦθ᾽ ἕπεται, ὡδὶ μαθὼν παυέσθω τῆς ματαίας οἰήσεως·
ἀνέγκλητος γὰρ ἦν πᾶς ὅστις αὐτομολεῖ πρὸς τὰς ἀλόγους
ῥοπάς, εἰ μή τις ἄνωθεν ἐπιστατῶν λόγος, τὰ μὲν ποιεῖν* 48
*προὐτρέπετο, τὰ δ᾽ ἀπηγόρευε· νυνὶ δὲ τοῦδε τὰ καθ᾽* 63
*ἡμᾶς διεξάγειν ὡς δεῖ φύσιν ἔχοντος εἰ τὰ τῆς ἀρχῆς αὐτῷ
ἐπιτρέποιμεν, οὐκ ἄν τι τῶν ἀπεικότων ἀπαντήσειεν. ἄλλοις
δὲ χαριζόμενοι τὰ τῆς ἀρχῆς ὥσπερ αἴσχιστον ἀνδράποδον
τὸν νοῦν περιάγομεν, καταγοητευθέντες ἀλόγοις ὀρέξεσιν.*
10. [*Ὅτι μὲν γὰρ ἄλλων ἄλλοι μᾶλλον εὐκατάφοροι πρὸς
τὰς ἀλόγους ὀργὰς δι᾽ ὁποιασδή τινας κράσεις, καὶ ἐπικρα-
σεις, καὶ ἐπικρατεῖς τῶν ἐν ἡμῖν πνευμάτων, παντὶ δῆλον
αὐταῖς αἰσθήσεσι γινωσκόμενον· ὅτι δὲ πάντων ἰχυ ** καθ᾽
αὐτὸν ὑφ᾽ ὡμῶν * νοῦ μὲν αὐτοῦ τὸ περιὸν τῇ περὶ τἄλλα
ἡμῶν ῥοπῇ, ἴσασιν οἷς πάντα δεύτερα γέγονε τὰ ὑπὸ αἴ-
σθησιν ** κότος αὐτοῦ τοῦ νοῦ τὴν οἰκείαν καὶ φυσικὴν
ἄνοδον.*] 11. *Πεφύκασι δὲ ἄρα αἱ ἐπίμονοι διατριβαὶ τῆς
ψυχῆς ἐφ᾽ ὁτιοῦν τῶν ἐν ἡμῖν ὀρεκτῶν, ἐκεῖ που τὴν φυ-
σικὴν πᾶσαν ἀνάγκην ἐφέλκεσθαι, τοιούτου τινὸς συμβαί-
νοντος, ὥσπερ ἂν εἴ τις ὑπηλάτοις ἢ ἱδρωτικοῖς φαρμά-
κοις καταχρησάμενος, ἐκεῖ που ῥέπειν τῇ ὅλῃ δίδωσιν ὕλῃ,
καὶ ταῦτα λήξας ἔσθ᾽ ὅτε τῆς ἐπὶ τοῦτο τῶν φαρμάκων* 64
*σπουδῆς· ὥστε κἂν μὴ τοῖς ἐναντίοις χρήσηται, οὐκ ἄν τις
ῥᾳδίως ἐπανασώσαιτο τὴν ὑγίειαν.* 12. *Καὶ τοῦτο μὲν ὡς
ἐκ παρόδου ῥηθὲν τὰ νῦν ἀφείσθω. εἴη δ᾽ ἄμεινον καὶ* 49
*περὶ τούτου διανοεῖσθαί τε καὶ διαπράττεσθαι.* 13. *Οὐκ
ἀγνοεῖν γε μὴν δεῖ, ὡς κἀνταῦθα ταῖς ἀναλόγοις τοῦ
σπλάγχνου κεχρῆσθαι προσήκει κράσεσι, τῷ βουλομένῳ σώ-
ζειν τὰς κατ᾽ αὐτὸ δυνάμεις· τοῖς ἐναντίοις δὲ καθαίρειν.*
14. *Θερμὸν μὲν γὰρ τῶν ἄλλων μᾶλλον τουτὶ τὸ σπλάγχνον·
ἠδὲ δὲ καὶ ξηρόν, καὶ τοιούτοις γέγηθε διαιτήμασι· τοῖς
ἐναντίοις δ᾽ ἀπομαραίνεται, καὶ τὸ κατ᾽ αὐτὸ πνεῦμα συμ-
μεταβάλλεται.* 15. *Οἷς δὲ γνωρίσμασιν ἑκάστου φυσικὴ
κρᾶσις γνωρίζεται, καὶ ἀφ᾽ ἑτέρων ἔστι μαθεῖν· τὸ γὰρ δὴ*

*καὶ περὶ τούτων διεξιέναι τῷ λόγῳ, εἰς μῆκος ἄγει τὴν πραγματείαν.* 16. *Ἐπεὶ δ' ἱκανῶς καὶ περὶ τούτων εἴρηται, ῥητέον ἤδη καὶ περὶ τοῦ σκοπιμωτάτου τῆς κατ' ἄνθρωπον δημιουργίας, τοῦ ψυχικοῦ λέγω τούτου καὶ ἡγεμονικοῦ πνεύματος. ἐν τούτῳ γὰρ τὰ μέγιστά τε καὶ θαυμαστὰ τῆς κατ' ἄνθρωπον οἰκονομίας ἐμφαίνεται μυστήρια.*

65 *Κεφ. ιζ. Περὶ ἐνεργειῶν τοῦ ψυχικοῦ πνεύματος καὶ τῆς κατ' αὐτὸ διαφορᾶς τῶν φρονήσεων.*

1. *Τοῦ τοίνυν ἐγκεφάλου ὑπὸ τοῦ κατὰ τὰς φλέβας καὶ ἀρτηρίας τρεφομένου αἵματος, καὶ ταῖς κοιναῖς τε καὶ κατὰ μέρος αὐτοῦ ἰδιότησι διαφορὰς παντοίας ἐμποιοῦντος, τῷ λόγῳ μὲν δήλας, διαφευγούσας δ' ἤδη τὴν αἴσθησιν, εἰκὸς ἂν εἴη οἴεσθαι καὶ τὸ ἐντεῦθεν πνεῦμα μορίας καθ' αὑτὸ διαφορὰς προβάλλεσθαι ἐν τῷ τῆς ὑγιείας τε καὶ ἐνεργείας πλάτει.* 2. *Ἐντεῦθεν γὰρ φρονήσεων διαφοραὶ ἐμφαίνονται ἀγχίνοιαί τε καὶ ὀξύτητες, μνῆμαί τε καὶ ἀναμνήσεις καὶ εὐτύπωται φαντασιῶν ἐνέργειαι, καὶ ὅσα περὶ τὸν ψυχικὸν τοῦτον διάκοσμον ὁσημέραι φαίνονται ἐνεργούμενα τοῖς ἀνθρώποις.* 3. *Ὥσπερ οὖν ἐπὶ τῶν ἐκτὸς καὶ ἐγκοσμίων τούτων πνευμάτων διαφορὰς ὁρῶμεν*
50 *πλείονας καὶ ταῦτα μιᾶς τῆς κατ' αὐτὰ τελούσης ὕλης (τὰ μὲν γὰρ αὐτῶν θερμότερα, τὰ δ' αὖ ψυχρότερα καὶ ὑγρότερα δὲ καὶ ξηρότερα, λεπτότερά τε καὶ παχύτερά φαμεν, καὶ πολλὰ ἂν πλάτη ἐφ' ἑκάστης τούτων ἴδοις ποιότητος, καὶ ἀξιολόγως δὲ δρᾷ χρονίσαντα ἐν τοῖς ἡμῶν σώμασιν), οὕτω δεῖ καὶ περὶ τοῦ ψυχικοῦ τούτου διανοεῖσθαι πνεύ-*
66 *ματος.* 4. *Ἀμέλει τὸ καθ' ἡμᾶς τουτὸ πνεῦμα, πλήθει μὲν διαφέρον, διαρκεστέρας δείκνυσι τὰς κατ' αὐτὸ τῆς ψυχῆς ὁποιασδήτινας ἐνεργείας· τῇ δὲ λεπτότητι, ὀξυτέρας τε καὶ διαβατικὰς ἐφ' ἃ ἂν ὁρμήσαιμεν, ὥσπερ τὸ παχύτερον σχολαιτέρας καὶ βραδυτέρας δείκνυσι τὰς κατ' αὐτὸ κινήσεις.* 5. *Καὶ θερμότης, μετρία μέν τις ἐνοῦσα, μυωπίζειν τοῦτο πέφυκε καὶ διεγείρειν· ἐπιταθεῖσα δὲ ὀξύτερον μὲν ἴσως δίδωσιν αὐτὸ κινηθῆναι, ἀστατεῖν δὲ μᾶλλον καὶ μεταρρέειν ὧδε κἀκεῖσε τῇ βιαζομένῃ θερμότητι.* 6. *Ψύξις δὲ μετρίως μὲν ἐπικρατήσασα τῷ τόπῳ τούτῳ στασί-*

*μους μὲν καὶ βεβηκότας δείκνυσι ἐν τοῖς πρακτέοις, οὐχ
οὕτω δ' ὀξεῖς· ἐπιταθεῖσα δὲ νωθρούς τε καὶ δυσδιεργέ-
τους ἐφ' ἃς ἂν πράξει ἐξορμήσωσιν.* 7. *Ὑγρότης δὲ με-
τρία μὲν εὐτύπωτα τὰ κατ' αὐτὴν τελούμενα δείκνυσιν,
ἐπιταθεῖσα δὲ διαρρέοντά τε καὶ ἀφανιζόμενα, ὥσπερ κἀπὶ
ταῖς σφοδραῖς ξηρότησιν· ἡ γὰρ δὴ μετρία ξηρότης ὧδε
εὐκίνητόν τε καὶ κοῦφον τὸ πνεῦμα δείκνυσιν.* 8. *Ἃ δ' ἐν
τοῖς πλάτεσι καὶ συμπλοκαῖς τοσούτων ποιοτήτων ἀναφαί-
νεται, μακρὸν ἂν εἴη καθ' ἕκαστα διεξιέναι τῷ λόγῳ. καὶ* 67
*τὰ μὲν ἑκάστης ἐπικρατησάσης ἐν ἐγκεφάλῳ ποιότητος γνω-
ρίσματα ἔχεις ἑτέρωθεν μαθεῖν· τὰς δ' ἀπὸ τῶν συμπλο-
κῶν τῶν ῥηθεισῶν ποιοτήτων ἀναφαινομένας διαφορὰς τῶν
φρονήσεων ἔχεις καὶ ἀπὸ τῶν ῥηθέντων ἤδη τεκμαίρεσθαι,* 51
*καὶ μετασκευάζειν τε καὶ μετακεραννύειν προσηκούσαις
διαίταις τὰ λείποντα.* 9. *Δεῖ γε μὴν ἕκαστον τῶν περὶ
τοῦτο ἐσπουδακότων τὴν καθ' αὑτὸν σκοπήσαντα φυσικὴν
συμμετρίαν, ὁποία τις ἐν ἐγκεφάλῳ ἔνεστι, πρὸς ταύτην
καὶ τὴν κατ' αὑτὸν ἀποτείνειν δίαιταν, εἰδότα, ὡς τοῖς μὲν
ὁμοίοις διατηροῦνται αἱ κράσεις, κολάζονται δὲ τοῖς ἐναν-
τίοις.* 10. *Οὐ δεῖ δὲ λεληθέναι ὡς καὶ τὰς φυσικὰς τοῦ
ἐγκεφάλου ἐκροὰς ἀεὶ ἀναστομοῦν προσήκει, οὐ μετρίως
ἐνοχλούντων τῶν ὀφειλόντων καθαίρεσθαι ταῖς τοῦ πνεύ-
ματος προόδοις· οὐχ ἧττον δὲ καὶ τὰς ἐφεξῆς λοιπὰς παν-
τὸς τοῦ σώματος συνήθεις ἐκκρίσεις, ἐπεὶ καὶ αὗται ἐνοχλεῖν
ἀτμίζουσαι πεφύκασι τῷ πνεύματι.* 11. *Οἷς δὲ καὶ ταῦτα
εἴωθε φαρμάκοις βοηθεῖσθαι, προϊόντες ἰδίᾳ γράψομεν.
αὖθις δ' ἐπὶ τὰς κατὰ μέρος ψυχικὰς δυνάμεις καὶ τὰ* 68
*κατ' αὐτὰς πάθη τῷ λόγῳ ἐπανέλθωμεν.*

### *Κεφ. ιη'. Περὶ τῶν κατὰ τὴν αἴσθησιν παθῶν.*

1. *Καὶ τοίνυν τοῦ καθ' ὃν ἐνεργεῖται ἡ κοινὴ αἴσθησις τόπου πεπονθότος, ἤτοι παντελὴς κατάληψις τῶν αἰσθητηρίων γίνεται, ἢ πλημμελής, ἢ διά τινας ἐκεῖ που ἐπιρρυέντας χυμούς, ἢ ἀποδοθέντας ἀτμούς. καὶ ταύτῃ μὲν τῶν λυπούντων ἣν ἐγχωρῇ καθαιρομένων ἡ αἴσθησις ἐπανέρχεται.* 2. *Ὥσπερ δὲ τῷ πλήθει καὶ τῇ ποιότητι τῶν ἐνοχλούντων χυμῶν καὶ ἀτμῶν κατάληψις αἰσθήσεων γί-*

*νεται, οὕτω δὴ δυσαισθησίαι, μετρίων ὄντων τῶν λυπούν-
των. 3. Ἀλλ' ὧδε δεῖ τὸν λυποῦντα χυμὸν τεκμαιρόμε-
52 νον ἀπό τε τῶν συνεδρευόντων συμπτωμάτων καὶ τῆς
προηγησαμένης διαίτης, καὶ τῆς ἡλικίας καὶ ὥρας, καὶ κα-
θόλου κράσεως, τὰ ἀτμίζοντα ἢ ἐπιρρέοντα καταστέλλειν
καὶ κατακεραννύειν τοῖς ἐναντίοις· καὶ καθαίρειν ὁπότε
δεῖ, καθὼς ἑξῆς ἐροῦμεν. 4. Καὶ αἴσθησις μὲν οὐ φιλεῖ
πάσχουσα συνεχῶς ἀνέχεσθαι, σωματώδης οἷον οὖσα τῆς
ψυχῆς δύναμις, καὶ μεγίστην κοινωνίαν πρὸς τὸ σῶμα
69 ἔχουσα, ἀμέλει μήτε ῥᾳδίως τοὺς καταλαμβανομένους ταύ-
την ἐπανέρχεσθαι, μήτ' ἐπανερχομένους πολλάκις τοῦθ' ὑπο-
μένειν. 5. Καὶ εἴρηται περὶ ταύτης καὶ πρότερον. αἱ
δ' ἐφεξῆς ταύτῃ μὴ πάνυ τι κοινωνοῦσαι τοῦ πάχους τοῦ
σώματος μᾶλλον ταύτης τῶν λυπούντων ἀνέχονται, ὥστε
μηδὲ ῥᾳδίως ὧδε τὸ ζῷον φθείρεσθαι, καὶ μάλιστα ἢν
δυσκρασία ἢ ψιλὴ τὸ ἐνοχλοῦν.*

### *Κεφ. ιθ'. Περὶ διαγνώσεως καὶ θεραπείας τῶν κατὰ τὸ φανταστικὸν καὶ μνημονευτικὸν καὶ λογιστικὸν παθῶν.*

*1. Καὶ δὴ τοῦ φανταστικοῦ πάθος, τὸ μὲν ἤδη κατα-
κυριεῦσαν καὶ περισχόν, τὸ μὴ ἐπιγινώσκειν τοὺς πάσχον-
τας, ἃ πολλάκις τεθέανται, αὐτῷ δηλονότι προδιαβιβάσης
τῆς κοινῆς αἰσθήσεως· μήπω δὲ κατακυριεῦσαν τὸ πάθος,
ὀψὲ γοῦν τούτους ἀναπείθει τὰ συνήθη σφίσι θεάματα
ἐπιγινώσκειν. 2. Προκαταβολαὶ δὲ τοῦ πάθους καὶ ἄλλως
οὐχ ὑγιῶς τῆς κατὰ τοῦτο ἐνεργούσης δυνάμεως, τό,τε τὰ
ᾐσθηθέντα μὴ ῥᾳδίως βουλομένους ἀνατυποῦν καὶ τὸ τὰ
53 καθ' ὕπνων θεάματα θορυβώδη τε καὶ ἀσυνάρτητα φαί-
νεσθαι, ἀλλόκοτά τε καὶ τῶν συνήθων ἀπεοικότα. 3. Καὶ
70 ταῦτα μὲν μολυνομένου γίνεται τοῦ πνεύματος, ἤτοι δυσ-
κρασίᾳ τινί, ἢ διεφθορότων τινῶν ὧδε ἀτμιζόντων χυμῶν.
4. Καὶ τοὺς μὲν ἐπικρατοῦντας χυμοὺς ἔχοις ἂν ἑτέρωθεν
μαθεῖν· αἷς δ' ἂν διαίταις προϊόντος μαθήσῃ τοῦ λόγου.
5. Ἀντιπαράκειται δὲ τῇ φαντασίᾳ μνήμη, ταμεῖον οὖσα
ὧν ἂν αὐτὴ τῆς φαντασίας παραλάβῃ τύπων. 6. Πάσχει
δὲ καὶ ἥδε, ἤτοι δυσκρασίας καταλαβούσης τινός, ἢ χυμοῦ
ἐπισκήψαντος. καὶ πάνυ μὲν καταληφθείσης τῆς μνήμης,*

ἐς ἀμνηστίαν χωροῦσιν ἄνθρωποι, ὧν πάλαι ἐν γνώσει γεγόνασι. μέτρια δ' ἐπὶ μετρίοις πάθεσι γίνονται τὰ συμπτώματα. 7. Εἰ δέ τισιν ἔξωθέν τε καὶ ἔσωθεν στροβούμενός τις περιστάσεσιν, οὐχὶ ῥᾳδίως εἰς μνήμην ὧν ἂν δέηται ἔρχεται, τῆς πλεονεκτούσης ταῦτ' οἷον φροντίδος εἶναι· ὑπεξισταμένης ἀεὶ τῆς ἀσθενεστέρας τῇ ἰσχυροτέρᾳ τῆς ψυχῆς δυνάμεως ἐνεργείᾳ· καθάπερ κἀπὶ τῶν αἰσθητῶν τούτων ἰδεῖν ἐστὶ συμβαῖνον ἐκνικῶντος τὴν ἐφ' ἕτερα αἴσθησιν τοῦ φθάσαντος τῶν κοιλούντων πρὸς ἑαυτὸν τὴν αἴσθησιν ἐπισπάσασθαι. 8. Καὶ μνήμης μὲν παθούσης, ἀπαθὴς ἂν ἔτι τηροῖτο φαντασία· ὥσπερ δὴ καὶ φαντασίας 71 παθουμένης, ἔτι ἂν τηροίη μνήμη τὴν ἑαυτῆς ἐνέργειαν. 9. Τοῦ μεταξὺ δὲ τούτων τόπου καταδεδεγμένου τὸ πάθος, ἐφ' ᾧ δὴ τὸ λογιστικὸν ἡμῶν ἱδρῦσθαι φασίν, οὐκ ἂν καὶ ταῦτα ἔξω τῆς συμπαθείας γένοιντο. ὥσπερ γάρ τινος ἐπόπτου καὶ διεξαγωγέως τοῦ λογιστικοῦ ἐπὶ τὰς μετ' αὐτὸ τελοῦντας δυνάμεις, αὐτοῦ μὲν ἀπαθοῦς ὄντος, αὐτῷ τε καὶ τοῖς ἔξωθεν τὰ τῶν λοιπῶν πάθη ῥᾴδιον γνωρίζεται, αὐτοῦ δὲ πεπονθότος, ἥ τε μνήμη καὶ ἡ φαντασία ἀπόλωλεν. 10. Ἔνθα γὰρ ὁ πρύτανίς ἐστιν ὁ πεπονθώς, πῶς οἴει τοὺς ὑπ' αὐτὸν διοικετὰς διατεθεῖσθαι; ἑνὸς δὲ μόνου τούτων πεπονθότος, εἰκὸς τὸν πρύτανιν ὑγιαίνοντα ταῖς 54 ἄλλου κεχρῆσθαι δυνάμεσι. 11. Καὶ ταῦτα μέν, ὡς εἴρηται, χυμοῖς ἢ τοῖς ἐξ αὐτῶν ἀτμοῖς πάσχειν εἴωθεν· ἃ δεῖ μετακεραννύντας καὶ καθαίροντας τὸ ἀσφαλὲς τοῖς κάμνουσιν οὕτω χαρίζεσθαι.

Κεφ. κ'. Περὶ αἰτίας τῶν κατὰ τὸ δοξαστικόν τε καὶ διανοητικὸν παθῶν.

1. Περὶ δὲ τοῦ δοξαστικοῦ τῆς ψυχῆς καὶ ἔτι τοῦ διανοητικοῦ ἀπορεῖν εἰκός, πῶς ποτε καὶ ταῦτα πάσχει, μήτ' οἰκείας ἕδρας αὐτοῖς ἀποδιδομένης τῷ λόγῳ, μήθ' οὕτω κοινωνοῦσι τῆς ὕλης· τὸ μὲν γὰρ φανταστικὸν τὸν ἔμ- 72 προσθεν εἴληχε τύπον, μνήμη δέ γε τὸν ἀντικείμενον· ὥσπερ αὖ τὸν μεταξὺ τούτων τὸ λογιστικὸν τῆς ψυχῆς. δόξης δὲ καὶ διανοίας ἀγνοοῦμεν τὸν τόπον. 2. Ἢ δῆλον ὡς ταῖς μὲν ἡ ψυχὴ τῶν δυνάμεων καθ' αὑτὴν οὖσα κέχρη-

*ται καὶ ἐνεργεῖ, ταῖς δ' αὖ ἐπικοινωνοῦσα τοῦ σώματος;
καὶ ὁπόταν μὲν ᾖ, τὰς ἀπ' αἰσθήσεώς τε καὶ φαντασίας
ἀναληξαμένη ἐνεργείας ἢ μηδεμιᾶς τινος οὔσης βλάβης τῷ
ᾧ συνάπτεται πνεύματι, οὐδέν τι δέος ἐπισημαίνει τἀν-
θρώπῳ.* 3. *Ἐπειδὰν δ' ἤτοι χρωσθῆναι ἢ ψυχθῆναι ἢ
ξηρανθῆναι ἢ ἄλλως πως ἀλλοιωθῆναι τούτῳ συμβῇ, αὐτὴ
μὲν οὕτω καθ' αὑτὴν πάσχει, φθάνει δὲ ὑποσημαίνουσα
τοῖς αἰσθητοῖς τὰ δόξαντα παραδειγματίζουσα· ἃ γὰρ ἂν
τύχῃ παραδεξαμένη, τὴν ἀρχὴν ἀπ' αἰσθήσεως εἰληχότα,
ταῦτ' οἴεσθαι δίδωσι τὸν κάμνοντα πάσχειν.* 4. *Ξηρότη-
τος μὲν γὰρ καταλαβούσης, ὡς ὀστράκινός τις ὤν, δέδοικε
προσβαλεῖν τινι σκληροτέρῳ, ὡς μὴ προσαραχθείη. ἔσθ' ὅτε
73 δὲ φεύγει τὸ ὕδωρ ἀγνοουμένου ἤδη τοῦ ὑγροῦ τἀνθρώπῳ
55 τῇ σφοδρᾷ τοῦ πνεύματος ξηρότητι, καθάπερ ἐπὶ τῶν ὑδρο-
φοβικῶν ἰδεῖν ἔστιν.* 5. *Ὑγρότητος δὲ πλημμυρούσης, δέ-
δοικέ τις διὰ τάφρων καὶ γεφυρῶν χωρεῖν, ἄλλως μηδέν τι
πάσχων κακόν· ψύξεως δέ, τὸ πάντας φεύγειν καὶ δειλαί-
νειν πρὸς τὰς ἀπαντήσεις. τὸ δ' ἐξορμᾶν καὶ ἄλλεσθαι
καὶ ἀστατεῖν, θερμότητος δακνώδους.* 6. *Καθ' ὅσον δ' ἂν
καὶ αἵδε αἱ ποιότητες ἀπὸ χειρόνων καὶ ἐπὶ μᾶλλον διεφθο-
ρότων χυμῶν συνίστανται, τό,τε πνεῦμα χειρόνως πάσχει,
καὶ ἡ κατ' αὐτὸ δοξαστικὴ τῆς ψυχῆς δύναμις ἀτοπώτερα
δίδωσιν οἴεσθαι.* 7. *Καὶ σχολῇ γ' ἂν εἴ τις οὐκ ὀρθῶς κρί-
νειεν ἀλοὺς ὡς οὐ καλῶς ἡ δόξα οἴεται. ἀπὸ παθῶν γὰρ
τινων κατὰ τὸ σῶμα συστάντων, ψευδεῖς τινας παραλα-
βοῦσα προτάξεις ἡ δόξα, ἀπάτην συμπεραίνει τἀνθρώπῳ·
καὶ σχολῇ γ' ἄν τις διακρίνειε τὰς ἀπάτας περιουσίᾳ συν-
έσεως.* 8. *Καθά φασι καὶ τὸν εἰπόντα φιλόσοφον, τί κοι-
νὸν κυνὶ καὶ βαλανείῳ; ἐκ τῶν εἰκότων τουτὶ συλλογισάμε-
νον· καὶ τοῦ ὑδροφοβικοῦ ἀπαλλαγέντα νοσήματος, θερ-
74 μοῖς χρησάμενον ὕδασι κατὰ κεφαλῆς καὶ τοῦ λοιποῦ σώ-
ματος.* 9. *Σύ τε αὐτὸς οἶσθα, ὡς ἔναγχος αὐτὸς σαυτοῦ
μᾶλλον ἐπὶ ταῖς τυχούσαις ταραττόμενος οἶσθα προφάσε-
σιν, οὐκέτι ἡδὺς καὶ εὐπρόσιτος ὤν, καθὰ δὴ τὸν ἅπαντα
56 διετέλεις χρόνον, καὶ τὴν αἰτίαν ἐζήτεις. φλέβα δὲ τεμὼν
δι' ὃ κατήπειγε τότε πάθος, ἐπεὶ διεφθορὸς αἷμα τεθέα-
σαι, ἢ τὴν αἰτίαν ἐμάνθανες, καὶ κοινὸν ἡμῖν ἐποιοῦ τὸν*

*λόγον· καὶ τοῦδ' ἕνεκα οὐκ ὀλίγα, ὡς οἶσθα, διειλέγμεθα.*
*καὶ τὸ μάλιστά σε πεῖσαν, τοῦτ' οἶμαι ἀξιῶσαί με τουτὶ*
*τὸ βιβλίον ἐκδοῦναί σοι, ἅτε περιόντος τοῦ ἀξιώματος, ὡς*
*ταῖς τοῦ σώματος κράσεσι τὰ τῆς ψυχῆς ἤθη συμμετατίθε-*
*ται· οὐκ αὐτῆς δηλονότι κατὰ τὴν ἑαυτῆς ἀλλοιουμένης*
*οὐσίαν, ἀλλὰ ταῖς ἐξ αὐτῆς μᾶλλον εἰς τὸ σῶμα δυνάμεσι*
*γνωριζομένης τῆς ποιᾶς ἡμῶν κατὰ τοὺς χυμοὺς καταστά-*
*σεως.* 10. *Εἰ δὲ δυοῖν ἀνθελκόντοιν, νοῦ δηλαδὴ καὶ κρά-*
*σεως, ἐφ' ὃ ἂν ῥέποιμεν καὶ τὸ λοιπὸν συνεφέλκεται, οὐκ*
*ἀναιρεῖ τὸν λόγον τοῦτο τῆς κράσεως· τῷ γάρ τοι χρόνῳ*
*εἰκὸς τὴν κρᾶσιν συμμεταβάλλεσθαι τῇ ἀμείμονι βιαζομένην*
*ἕξει, ὥσπερ αὖθις καὶ τἀναντία ταῖς ἀντικειμέναις ῥοπαῖς γί-* 75
*νεται.* 11. *Καὶ τὸν μὲν περὶ ἠθῶν μεταβαλλομένων ταῖς*
*τοῦ σώματος κράσεσι λόγον, οὐ πάνυ τοι ὧδε προσήκοντα λέ-*
*γεσθαι, ἐν ἄλλῃ σκέψει ἀποταμιεύεσθαι ἄμεινον. εἴη δ' ἄν*
*ποτε ἰδίᾳ περί τε ψυχῆς καὶ τῶν κατ' αὐτὴν ἠθῶν φάναι, ἔτι*
*δὲ ἐνεργειῶν καὶ κοινωνιῶν πρός τε τὸν αἰσθητὸν καὶ νοη-*
*τὸν διάκοσμον· τὸ δὲ νῦν ἔχον, ἐς ἄλλο τείνοντος τοῦ σκο-*
*ποῦ, ἐκείνῳ καὶ τὸν λόγον ἀποδοτέον.* 12. *Ἀλλ' ἐπειδὴ πέρας*
*τῆς κατ' αὐτὸν προθέσεως εἰλήφει ὁ λόγος, ἱκανόν τε μέτρον*
*αὐτῷ περιεθήκαμεν καὶ ὅσον εἰκὸς ἦν εἰς θεωρίαν καὶ λογι-*
*κὴν ἐπίσκεψιν τῷ λόγῳ ἐνδιατρίψαμεν, ὧδέ πῃ καὶ καταπαύ-*
*σωμεν.* 13. *Τῷ μετὰ τοῦτον δὲ λόγῳ προσαποδώσομεν, ὅσον*
*ἔς τε δίαιταν καὶ φαρμακείαν προσήκει, ὡς ἂν τῇ κατ' αὐτὸν*
*ἀγόμενος ὑφηγήσει τήν θ' ὑγίειαν ἀκραιφνῆ διατηροίης καὶ* 57
*τὸ ψυχικόν σοι πνεῦμα διαυγέστερόν τε καὶ λεπτότερον ᾖ.*
*καὶ τὰς κατ' αὐτὸ ἐμφάσεις ἀπὸ τοῦ νοῦ προηγμένας ἀκραι-*
*φνεστέρας δεχόμενος καὶ μέχρις ἡμῶν τἀμείνω διαβιβάζοις*
*θεάματα, ἵν' ὥσπερ τῶν ἄλλων σοῦ καλῶν οὕτω καὶ τῆς κατά* 76
*σε κοινονήσωμεν θεωρίας. καὶ ταῦτα μὲν ἄγοιτο κατὰ τὸ τῷ*
*θεῷ δοκοῦν ἐπὶ τἄμεινον.* 14. *Ἡμῖν δ' εἴη ταῖς σαῖς ἀγο-*
*μέναις εὐχαῖς ὀψέ ποτε καὶ περὶ τοιαύτην ἀσχοληθῆναι*
*ἐπίσκεψιν. τὸ γὰρ νῦν ἔχον πλεονεκτεῖν δοκοῦσιν αἱ ἐπ' ἄλ-*
*λας ῥοπαὶ τῶν ψυχικῶν δυνάμεων. θείου δ' ἐπιπνεύσαντος*
*πνεύματος, πείθομαι ῥᾶστα μετασκευασθήσεσθαι τὸ πρόσ-*
*υλον τοῦτο καὶ χαμερπὲς ἡμῶν φρόνημα. καὶ τὸν νοῦν ἡμῶν*
*μεταιωρισθήσεσθαι καὶ ἐφέψεσθαί σοι χειραγωγούμενον.*

## ΛΟΓΟΣ Β.

### Προοίμιον.

77 1. Ὁποῖόν τι ἐν ταῖς κατὰ τὸν βίον ἡμῶν χρήσεσι
61 προδιανοούμενοι δρῶμεν, πρῶτον μὲν διανοίᾳ τὰ δέοντα
συλλογιζόμενοι καὶ τοὺς λόγους τούτων καὶ τὰς αἰτίας ἐξ-
ευρίσκοντες, εἶθ' οὕτως τὰς εἰκόνας τούτων τῇ φαντασίᾳ
διαγράφοντες, ὀψέ ποτε τοῖς ἔργοις ἐπιχειροῦμεν (μὴ γὰρ
ἄλλως οἷόν τ' ἐστί, δεόντως προαχθῆναι τὰ ἐγχειρούμενα),
τοιοῦτόν τι κἀνταῦθα δεῖ διαπράξασθαι. 2. Τοῦ γὰρ δὴ
λόγου περὶ τὴν ἐνισταμένην ὑπόθεσιν μεθόδους ἐξευρηκό-
τος, διὰ τίνος ἡ ψυχὴ συνάπτεται τῷ σώματι, καὶ ὅπως
62 δι' αὐτοῦ τὰς καθ' αὐτὴν ἡμῖν ἐνεργείας ἐνίησι, καὶ ὧν
σφαλέντων οὐκ ἀκριβεῖς ἡμῖν ἀποδίδονται αἱ ἐνέργειαι, λοι-
πὸν προσήκει σκέψασθαι, αἷς τισι δέον κεχρῆσθαι διαίταις,
καὶ δι' ὧν φαρμάκων τὰ πεπονθότα ἰῷτο ἄν τις. οὕτω γὰρ
78 προβάσης τῆς ὑποθέσεως τέλος ἂν αἴσιον ἡ κατ' αὐτὴν
ὑπόθεσις σχοίη. 3. Ἐπεὶ τοίνυν, ὡς καὶ πρότερον εἴρηται,
κατὰ τὰς πέψεις τε καὶ τὰς τῶν χυμῶν ἐπικρατείας ὁ λόγος
οἶδε καὶ τὸ ἐν ἡμῖν πνεῦμα συμμεταβαλλόμενον, σκεπτέον,
ὅπως ἂν αἵ τε πέψεις γίνοιντο κατὰ λόγον καὶ αἱ τῶν χυ-
μῶν κολάζοιντο ἀμετρίαι. οὕτω γὰρ πρὸς τῇ τοῦ πνεύμα-
τος καθαρότητι συμπαρομαρτοίη ἂν καὶ ἡ τοῦ ὅλου ὑγεία
σώματος.

### Κεφ. α'. Περὶ τῶν κατὰ τὴν πέψιν γινομένων παθῶν.

1. Καὶ ἀπεψίαι μὲν γίνονται ἤτοι τῷ ποσῷ βαρύνου-
σαι τὴν κοιλίαν, ἢ τῇ ποιότητι ἐπικρατοῦσαι, ἢ αὐτῇ τῇ
τῶν τροφῶν ἰδιότητι, ἢ χυμῶν ἀλλοκότων ἐγκαθημένων
63 τῷ στόματι τῆς γαστρός, ἢ συνήθων γυμνασίων, ἢ ἐκκρί-
σεων ἐπεσχημένων, ἢ τινος παραπλησίου ἐμποδὼν προσ-
ισταμένου τῇ ἀλλοιωτικῇ δυνάμει. 2. Καὶ τὰ μὲν τῷ ποσῷ
λυποῦντα πρόδηλον καὶ τὴν αἰτίαν ἔχει, ἐκνικωμένου τοῦ
πέττοντος θερμοῦ τῇ ποσότητι τῆς ὑπ' αὐτοῦ πεττομένης
τροφῆς. 3. Θεραπεία δέ, τὸ παλινδρομῆσαι εἰς τοὔλαττον

*τοῦ ποσοῦ τῆς τροφῆς καὶ θερμοῖς μετρίως προσάρμασι
καὶ τονωτικοῖς ἐπαναλαβεῖν καμοῦσαν τὴν δύναμιν.* 4. *Τὰ* 79
*δὲ τῇ ποιότητι ἀδικοῦντά ἐστιν ὅσα σφοδρότερον ἢ ψύχει
ἢ θερμαίνει ἢ ἄλλως λυπεῖ τὴν γαστέρα. ἡ γὰρ κατὰ φύ-
σιν πέψις μετρίᾳ ἐνεργεῖται θερμότητι καὶ ὑγρότητι. ἂν
δέ γε αὗται αἱ ποιότητες κολάζωνται ἢ ἐπιτείνωνται, εἰκὸς
ἐνταῦθα τὴν πέψιν διαμαρτάνειν.*

*Κεφ. β'. Περὶ διαγνώσεως τῶν κατὰ τὴν γαστέρα πλεοναζόντων χυμῶν.*

1. *Καὶ ἑκάστη μὲν φυσικὴ κρᾶσις γαστρὸς οἰκείοις
γέγηθε διαιτήμασι, τοῖς δ' ἐναντίοις κολάζεται· παθοῦσα
δέ τινα δυσκρασίαν ἡ γαστὴρ τοῖς ἐναντίοις ἐπανασώζει
τὴν δύναμιν.* 2. *Κἂν μὲν ἐπὶ πολὺ καὶ πλέον δηλαδὴ τοῦ
συνήθους χρόνου τῇ γαστρὶ τὰ σιτία ἐνδιατρίψῃ καὶ βαρύνῃ
ταύτην, ἐρυγαί τε ὦσί τινες ὀξώδεις, ἢ καὶ αὐτὴν ἁπλῆν* 64
*τὴν τῶν σιτίων ποιότητα ὑπεμφαίνωσι, πάρεξ ὁποιασοῦν
ἑτέρας ποιότητος ψύξιν ἐπικρατεῖν ὧδέ φαμεν.* 3. *Ἰλίγ-
γου δὲ ταράττοντος, καὶ συχνῶν ἀναβραττομένων πτυσμά-
των μεθ' ὑγρότητος ταύτην ὁρίζομεν εἶναι. ξηρότητος δὲ
ἐν τῇ γλώττῃ οὔσης, καὶ ἐπιθυμίας ποτοῦ μετά τινος
αὐχμοῦ καθ' ὅλον τὸ σῶμα, ξηρότης τὸ ἐπικρατοῦν ἐν-
ταῦθα. καὶ ὧδε μὲν τοῖς ἐναντίοις ἰάσῃ τὴν δυσκρασίαν.* 80
4. *Θερμότητος δὲ ἐπικρατούσης, ἔσθ' ὅτε μὲν δίψαι συν-
εδρεύουσι, καὶ μάλιστα, ἢν μετὰ ξηρότητος ᾖ τὸ πάθος.
αἴσθησις δὲ θέρμης περὶ τὸ σπλάγχνον, καὶ ἐρυγαὶ τὸ
πλέον ἔνθερμοί τε καὶ κνισσώδεις ἀναφέρονται, καὶ ξηρό-
της περὶ τὸ στόμα, καὶ ἐπιθυμία ψυχρῶν. καὶ ἁπλᾶ μὲν
ἐφ' ἁπλαῖς ποιότησι τὰ συμπτώματα, συμπεπλεγμένα δὲ
ἐπὶ συμπεπλεγμέναις ἀποδίδονται.* 5. *Περὶ δὲ τῶν τρο-
φῶν ὧδε σκεπτέον· ἢν τὰ προσαγόμενα πάνυ ψυχρὰ ἢ
θερμὰ ᾖ, ἢ δύσπεπτα, ἢ κακοστόμαχα, οὐχ ἧττον τῶν
προτέρων τῆς συνήθους πέψεως ἐξιστῶσι τὴν γαστέρα.*
6. *Καὶ δύσπεπτα μέν, ὅσα νευρώδη καὶ ἰνώδη καὶ κητώδη
ἐν ἰχθύσιν, ἔτι δὲ σκληρὰ καὶ κατεσκληρότα, καὶ τὰ πλείω
δὲ τῶν ταρίχων, καὶ ὅσα κεφαλόρριζα ἐν λαχάνοις, καὶ ὑφ'
ἓν εἰπεῖν, πάντα τὰ γεώδη καὶ ἀντίτυπα. κἂν που τύχῃ* 65
*ταῦτα καλῶς πεττόμενα, οὐ τὴν φύσιν ἐξηλλάχθαι τούτων*

ὧδέ φαμεν, ἀλλὰ τῇ ἐπικρατούσῃ ἐν αὐτοῖς ποιότητι σύγ-
κρασίν τινα πρὸς τὴν τῆς γαστρὸς γενέσθαι. 7. Ἀεὶ δὲ
81 συμμετρίᾳ κράσεων ἄμεινον ἀκολουθεῖν αἱ πέψεις πεφύ-
κασιν· ἃ δ' ὡς κακοστόμαχα ἠπεπτῆσθαι λέγομεν, τῷ ἐκ-
λύειν ταῦτα τὸ τῆς κοιλίας στόμα φαμέν. εἰσὶ δ' ὅσα
λιπώδη τε καὶ ἐλαιώδη, χαλαστικὰ τὴν φύσιν πάντα τυγχά-
νοντα. 8. Ἀντίκειται δὲ τούτοις τὰ στύφοντα, ἅτε το-
νοῦντα καὶ ῥωννύντα τὸ τῆς γαστρὸς στόμα. πέψις γὰρ
ῥαδίως ἂν ἁμαρτηθείη, μὴ πρὸς ἑαυτὴν περιπτυχθείσης
τῆς γαστρὸς καὶ συνθλιψάσης τὴν ἐναπειλημμένην τροφήν.
ταῦτα δέ, ὡς εἴρηται, χαλῶντα τὸν τοιοῦτον τόνον τῆς γα-
στρὸς καὶ ἀπεπτεῖν ταύτην παρασκευάζει. 9. Ἄλλον δὲ
τρόπον οἱ ἐγκαθήμενοι χυμοὶ τῇ γαστρὶ προσίστανται ταῖς
πέψεσι, τῷ μὴ ἀμέσως δηλαδὴ ταῖς προσληφθείσαις τρο-
φαῖς ὁμιλεῖν τὴν γαστέρα. καθόσον γὰρ ἂν διαφύγοιεν τὴν
ταύτης ὁμιλίαν τὰ προσαγόμενα, κατὰ τοσοῦτον εἰκὸς καὶ
τὴν πέψιν αὐτῶν διημαρτῆσθαι. 10. Εἰ δὲ καὶ πάνυ
66 μοχθηροὶ εἶεν οἱ ἐγκαθήμενοι χυμοί, μείζους καὶ αἱ ἀπε-
ψίαι καὶ τὰ συνεδρεύοντα συμπτώματα φαίνονται. γνοίης
δ' ἂν τούτους τῷ τε βάρει τῆς γαστρὸς καὶ τῶν λοιπῶν
82 σπλάγχνων, ἔσθ' ὅτε δὲ καὶ ταῖς ἐμφαινομέναις τῇ γλώττῃ
ποιότησι τεκμαιρόμενος. 11. Ὀξύτητες γὰρ καὶ στρυφνό-
τητες, ἁλυκότητές τε καὶ πικρότητες καὶ ἀνώμαλοι ἀηδίαι
καὶ παραπλήσιοι ἐρυγαί, ἰχθυώδεις τε καὶ ἰλυώδεις καὶ βρω-
μώδεις καὶ ἀλλόκοτοι ποιοτήτων αἰσθήσεις περὶ τὸν ἄν-
θρωπον, δήξεις τε τοῦ τῆς γαστρὸς στόματος, καὶ νυγμοὶ
καὶ βάρη καί τινα παραπλήσια συμπτώματα, ἃ δὴ τοὺς
ἐπικρατοῦντας ὧδε χυμοὺς σημαίνει. 12. Ὅσα δὲ βάρη
κεφαλῆς ἐντεῦθεν ἀναφαίνεται, καὶ ἴλιγγοι καὶ ἀγρυπνίαι
καὶ ὕπνοι μᾶλλον τοῦ δέοντος, ἦχοί τε περὶ τὴν κεφαλὴν
καὶ μᾶλλον τὰ ὦτα, σκοτόδινοί τε καὶ θορυβώδεις καὶ κω-
ματώδεις ὕπνοι, καὶ ἀλλόκοτα ἐνύπνια, μακρὸν ἂν εἴη ἐπ-
εξιέναι τῷ λόγῳ, πλὴν ὅσον δι' αὐτῶν σημᾶναι τοὺς ἐπι-
κρατοῦντας χυμούς. 13. Καὶ ἴλιγγοι μὲν καὶ ὀξώδεις ποι-
ότητες, τό,τε ἄδιψον καὶ οἱ κωματώδεις τῶν ὕπνων, βάρη
τε κεφαλῆς καὶ βομβώδεις ἦχοι, ἔσθ' ὅτε δὲ καὶ ἄλογοι
ὀρέξεις, τὸν φλεγματώδη χυμὸν ἐπικρατεῖν σημαίνουσιν.

14. Ὁ δὲ ἁλυκὸς χυμός, φλεγματώδης καὶ αὐτὸς τυγχάνων καὶ τῇ ἐξ αὐτοῦ ποιότητι τὴν γλῶτταν διατιθεὶς πλεονεκτεῖ 83 τῷ δίψαν ἐμποιεῖν τοῖς ἔχουσιν, οἳ δὴ καὶ πίνοντες ἀκαίρως οὐχ ἧττον τῶν προτέρων βλάπτονται. 15. Στρυφνότητος δὲ περὶ τὴν γλῶτταν αἴσθησις, καὶ ξηρότητες περὶ τὸ ἅπαν σῶμα, καὶ θορυβώδεις ὕπνοι, καὶ φοβερὰ ἐνύπνια, ἀθυμίαι τε καὶ φόβοι, καὶ λῦπαι ἐξ οὐδεμιᾶς ἀξιολόγου αἰτίας, τοῦ μελαγχολικοῦ χυμοῦ μᾶλλον ταῦτα τεκμήρια. 16. Δήξεις δὲ καὶ νυγμοί, καὶ καρδιαλγίαι, καὶ πικρότητες, καὶ σκοτόδινοι, ἔτι δὲ ἀγρυπνίαι καὶ ὀξεῖς περὶ τὴν κεφαλὴν καὶ τὰ ὦτα ἦχοι, τοῦ πικροχόλου ταῦτα χυμοῦ. 17. Οὐκ ἀγνοεῖν δὲ δεῖ, ὡς τούτων συμπλεκομένων συνείρεται καὶ τὰ ἐξ αὐτῶν συμπτώματα. ἔξεστί γε μὴν ἀπὸ τῶν ἁπλουστέρων, καὶ περὶ τῶν συντεθειμένων τεκμαίρεσθαι. εἰ δὲ καὶ εἰς ἀλλοκότους οἷδε κράσεις καὶ ποιότητας καὶ διαφθορὰς μυρίας ἐκτραπεῖεν, ὁποίας τε καὶ ὅσας οἴει συμπτωμάτων συνεστάναι ἰδέας, ὥστε καὶ τὸ πνεῦμα τουτὶ τὸ ψυχικὸν θορυβούμενον ἐκταράττεσθαι. 18. Ἐῶ γὰρ περὶ τῶν λοιπῶν νῦν λέγειν πνευμάτων, καὶ ταῦτα καὶ αὐτῶν συναλλοιουμένων, καὶ τὰς ἀπλανεῖς τῆς ψυχῆς κρίσεις καὶ 68 84 διαθέσεις πλημμελῶς ἐξαγγέλλειν, ὥσπερ εἴ τινα τὴν ἀκοὴν κακῶς διατεθέντα καὶ παρυτυπωτικῶς ἀκούοντα, ὧν ἂν ὁ κύριος αὐτῷ ἐπιτάττῃ, διαφεύγει τε τὰ πλείω καὶ ἄλλα δρᾷ ἀντ' ἄλλων, ἅτε πάσχων τὸ αἰσθητήριον. 19. Ἀλλὰ τοὺς μὲν τοιούτους χυμοὺς οὕτως ἐγκαθημένους διαγνοὺς περὶ τὴν γαστέρα ἰάσῃ, καθὼς ἂν φαίημεν ἑξῆς προϊόντος τοῦ λόγου. 20. Ἢν γε μὴν καὶ περαιτέρω χωρήσωσι καὶ μέχρις αὐτῶν τῶν σπλάγχνων ἀφίκωνται καὶ ὧδε στηριχθῶσι, χεῖρον μέν τ' ἂν εἴη τὸ πάθος, μάλιστα δὲ ἢν οἱ παχύτεροί τε καὶ γεωδέστεροι ὧδε ἐναπειλημμένοι ὦσι χυμοί. 21. Ἐντεῦθεν γὰρ τὸ ὑποχονδριακὸν οὕτω καλούμενον πάθος ἄρχεται ἀναφύεσθαι, χείρους καὶ σφοδροτέρας τὰς ἀθυμίας ἐμποιοῦν, βάρους ἐγκειμένου περὶ τὰ σπλάγχνα. καὶ ὕπνοι δὲ θορυβώδεις ὧδε καὶ ἐνύπνια ἄγρια ὡς ἐπὶ μελαγχολίας μελετωμένης. Καὶ ταῦτα μὲν ἰάσαιο ἂν ταῖς ἐκτεθεισομένοις σοι μεθόδοις.

69 *Κεφ. γ'. Περὶ τῶν κατὰ τὸ αἷμα παθῶν.*

1. Αἷμα δὲ τῷ πλήθει μὲν ἀδικοῦν νωθρούς τε καὶ
85 ὑπνώδεις, ἀποσίτους τε καὶ ἀδίψους ποιεῖ, ἔσθ' ὅτε δὲ καὶ
ἀλόγως ἱδροῦντας· καὶ ὀλιγοτρόφοις δὲ οἶδε σιτίοις χαί-
ρουσι μᾶλλον, οὓς κενοῦν τοῦ αἵματος ἄμεινον, ἵνα πάλιν
ἀρχὴν θρέψεως λαμβάνῃ τὸ σῶμα. πᾶν γὰρ τὸ πολύ φασι
τῇ φύσει πολέμιον. 2. Ἢν δὲ τύχῃ διαφθαρέν, ἢ συσσα-
πὲν ἀπό τινος νόθου θερμότητος, ἢ κακοχύμων ἐδεσμά-
των, μετρίως μὲν τοῦτο παθόν, μετρίας τινὰς καὶ τὰς
ἀνωμαλίας ποιεῖται. ταῦτά τοι καὶ κενοῦν ὧδε προσήκει
τὸ μοχθηρόν, καὶ εὐχύμοις ἀναλαμβάνειν τὴν δύναμιν
τροφαῖς. 3. Εἰ δ' ἐπ' ἄλλο τραπείη εἶδος, καὶ τῆς οἰκείας
ἐκσταίη ποιότητος, ἐκεῖνα τῶν παθῶν ὑποβάλλει, εἰς ἃ δὴ
πλεονάσαντες οἱ μεταβεβλημένοι ἀφ' αἵματος χυμοὶ τοὺς
ἁλόντας διατιθέασι. 4. Τοῦ γὰρ δὴ αἵματος ἤδη μετα-
βεβλημένου εἰς ἀλλοῖον χυμόν, καὶ τὸ ἐξ αὐτοῦ πνεῦμα
μολύνεται, καὶ μελαγχολίας ὧδε πάθη συνίσταται, μέτρια
μὲν ἐπὶ μετρίαις μεταβολαῖς, χείρω δ' ἐπὶ μείζοσι. 5. Φό-
86 βοι δὲ ἄρα ταῦτα καὶ ἀθυμίαι, λῦπαι καὶ παρανοήσεις,
βάρη τε καὶ νωθρότητες, καὶ ἐκλύσεις, ἄλογοί τε προθυ-
μίαι καὶ ἐξαναστάσεις καὶ δειλίαι, καὶ ἀστασίαι λόγων τε
καὶ πράξεων, καὶ αὐτῶν ἔσθ' ὅτε τῶν μερῶν τοῦ σώματος
70 ὥσπερ σπωμένων, καὶ πᾶν δὲ ὅ,τι ἀνιαρὸν καὶ ἀηδὲς περὶ
τὸ γνωστικὸν καὶ ἡγεμονικὸν ἡμῶν ὧδ' ἄρχεται ἀναφαί-
νεσθαι. 6. Καὶ τὰ μὲν ἐκ συμπαθείας συστάντα, μετριώ-
τερά τε καὶ προηγησάμενα ἔχει τὰ ἐπὶ τὰ σπλάγχνα βάρη,
καὶ ὅσαι περὶ τὴν γλῶτταν ἀηδίαι καὶ ποικίλαι ποιότητες,
καὶ οὐχ ὡσαύτως δὲ ὧδε τὰ πάθη ἐνοχλεῖ, ἐπιτεινόμενά
τε καὶ κολαζόμενα ῥᾳδίως ταῖς τυχούσαις διαίταις. 7. Ὅσοι
δὲ πρωτοπαθοῦντος τοῦ ἐγκεφάλου πάσχουσιν, ἤτοι τοῦ
παντὸς αἵματος αὐτοῖς εἰς τὸ μελαγχολικὸν μεταβολὴ γί-
νεται, ἢ τοῦ κατὰ τὸν ἐγκέφαλον δικτυοειδοῦς πλέγματος
τοιαύτην καταδεδεγμένου ποιότητα, τὰ τοιαῦτα τῶν παθῶν
συνίσταται. Ὅτε γὰρ ἐγκέφαλος ἐντεῦθεν τρέφεται, καὶ τὸ
ἐξ αὐτοῦ πνεῦμα τοιοῦτον εἰκὸς γίνεσθαι. εἰς ἕξιν οὖν ἤδη
τὸ πάθος μεταστὰν χαλεπώτατον ἰάσασθαι. 8. Καὶ εἰ μὲν
87 ὁ μελαγχολικὸς χυμὸς τραπέντος αἵματος συσταίη μελαγχο-

λίας εἴδη ποιεῖ πολλῷ γε μετριώτερα τῶν ἀπ' ἀκριβοῦς με-
λαίνης χολῆς συστάντων. εἰ δὲ ξανθῆς τραπείσης χολῆς ὁ
μελαγχολικὸς χυμὸς τὴν γένεσιν σχοίη, αἱ θηριώδεις ὧδε
καὶ ἄγριοι παραφροσύναι γίνονται. 9. Τὸ γάρ τοι δακνῶ-
δες τῆς ξανθῆς χολῆς ἔτι περιὸν τῷ γεννηθέντι μελαγχο- 71
λικῷ χυμῷ ἐρεθίζον τε καὶ διεγεῖρον τὴν αἴσθησιν, ἀκαθ-
έκτους τε καὶ χαλεπὰς ἐπάγει τὰς διαθέσεις. μὴ πάνυ δὲ
τραπέντος τοῦ αἵματος εἰς μέλαιναν χολήν, μανίαι μᾶλ-
λον συνίστασθαι εἰώθασι. καὶ μετὰ γέλωτος ὧδε τὸ πλέον
αἱ παραφροσύναι γίνονται. 10. Καὶ ταῦτα μὲν τῶν πα-
θῶν αἵματος ἀφαιρέσεσι καὶ δραστηρίοις καθαίρουσι φαρ-
μάκοις, καὶ δεούσαις διαίταις καταστέλλεται τῷ μακρῷ χρόνῳ
ἐπικουρίας ἀπολαύοντα τέχνης. 11. Περὶ ὧν κατὰ μέρος
ἐπεξιέναι μακρόν τ' ἂν εἴη καὶ τὴν ὑπόσχεσιν διαφεύγει.
οὐ γὰρ δὴ περὶ παντὸς πάθους καὶ θεραπείας πάσης εἰ-
πεῖν προὐθέμεθα, ὥστ' ἀρκούντως ἂν ἔχῃ τὰ ῥηθέντα.
12. Ἔξεστι δὲ τῷ τοῖς ῥηθεῖσι προσέχοντι καὶ ἀπὸ τῶν
ἤδη ῥηθέντων καὶ περὶ τῶν μήπω φθασάντων ῥηθῆναι, 88
τεκμαίρεσθαι.

### Κεφ. δ'. Περὶ διαφορᾶς ποιοτήτων καὶ τῶν κατ' αὐτὰς δυνάμεων.

1. Ἐφεξῆς δ' ἂν εἴη προσῆκον προσθεῖναι τῷ λόγῳ
περί τε διαφορᾶς ποιοτήτων καὶ δυνάμεως τροφῶν, ἔτι δὲ
γυμνασίων καὶ λοιπῶν διαιτημάτων, καὶ ὅσα φαρμάκων
ἔχει λόγον, ἤτοι τῷ ἀλλοιοῦν καὶ μεταβάλλειν τὰς ἐν ἡμῖν
ποιότητας, ἢ τῷ ἀποφράττειν τε καὶ καθαίρειν, ἢ τῷ συν- 72
ιστᾶν τε καὶ παχύνειν τοὺς ἐν ἡμῖν χυμούς· οὕτω γὰρ
ἀποδοθέντος τοῦ λόγου, τέλος ἂν ἡ κατ' αὐτὸν ὑπόθεσις
σχοίη. 2. Ἀλλὰ γὰρ προδιαληπτέον περὶ τῶν ἀναφαινο-
μένων ποιοτήτων ταῖς τε τροφαῖς καὶ τοῖς φαρμάκοις,
ὁποίας ἑκάστη αὐτῶν δυνάμεως πέφυκεν· εἶθ' οὕτως περὶ
τῶν κατὰ μέρος τροφῶν καὶ φαρμάκων καὶ λοιπῶν διαιτη-
μάτων καθὼς ἂν ὁ λόγος προϊὼν διασκευάσειε. 3. Τῶν
μὲν οὖν ποιοτήτων αἱ μὲν ἁπλαῖ φαίνονται ἐν τοῖς κατὰ
μέρος εἴδεσι τῶν τροφῶν καὶ φαρμάκων· αἱ δ' αὖ συμπε-
πλεγμέναι καὶ αἱ μὲν ἐπιτεταμέναι, αἱ δ' ὑφειμέναι. καὶ
αἱ μὲν εἰς τὸ αὐτὸ τῆς δραστικῆς ποιότητος κεκραμέναι

89 ἀποτείνονται, αἱ δ' εἰς τὰ ἀντικείμενα· καὶ πολλὰς ἂν ἴδοις διαφορὰς αὐτῶν τὰς κατὰ μέρος ἐξετάζων ποιότητας. 4. Ἡ μὲν οὖν τῶν ποιοτήτων γλυκεῖα, ἡ δὲ λιπαρά, ἡ δ' ὀξώδης, στύφουσα δὲ ἑτέρα, καὶ ἁλμυρὰ ἄλλη, καὶ μετ' αὐτὴν πικρά, εἶτα δριμεῖα. καὶ αὗται μὲν ὡς γενικαί τινες ποιότητες κατὰ τὴν ἡμετέραν αἴσθησίν εἰσι, κἂν τινες δ' ὦσιν
73 ἕτεραι μὴ δοκοῦσαι τοῖαιδε, ἀλλ' οὖν τῷ κοινῷ λόγῳ κἀκεῖναι ταύταις συνεισάγονται. 5. Αἱ μὲν γὰρ ὑδατώδεις γλυκύτητες, τῷ κοινῷ λόγῳ τῶν γλυκέων συγκαταλέγονται· αἱ δ' ἐλαιώδεις ποιότητες τοῖς λιπαροῖς συννοοῦνται. ὥσπερ ὑπὸ τὴν στύφουσαν ποιότητα τά τε αὐστηρὰ καὶ στρυφνὰ εἴδη ἔνεστι τῇ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον διαφορᾷ φαινόμενα. 6. Ἔξω μέντοι τῶν ἠριθμημένων ποιοτήτων ῥηθείεν ἂν ἥ θ' ὑδατώδης καὶ ἡ σιτώδης ἐμφανῆ τινα ἀλλοίωσιν μὴ διδοῦσα τῇ γλώττῃ. οἰκεῖαι δὲ καὶ αὗται τὸ πλέον ἡμῖν φαινόμεναι καὶ ἐν πολλῷ τῷ πλάτει θεωρούμεναι. 7. Τὴν δὲ οἰνώδη κρᾶμά τις ἂν φαίη ποιοτήτων
90 διαφόρως συνερχομένων, μυρίας δὲ δεχομένην διαφοράς, καὶ ἐπὶ ταύτην ἢ ἐκείνην τῶν ποιοτήτων ἐκκλίνουσαν. 8. Καὶ σιτώδη μέν φαμεν, ἥτις ἔν τε δημητρείοις καρποῖς καὶ χεδροποῖς καὶ τοῖς ὁμοίοις ἀναφαίνεται· ὑδατώδη δὲ ὁποία ἐν λαχάνοις καὶ βοτάναις καὶ τισι καρποῖς ἢ ῥίζαις ἀναφαίνεται, κατὰ μηδὲν τὴν αἴσθησιν ἀλλοιοῦσα. 9. Καὶ ταύτην μὲν τὴν ποιότητα πρὸς τὴν ἡμετέραν σύμμετρόν τε καὶ εὔκρατον ἀντεξεταζομένην ψυχρὰν ἤδη φαμέν, ἐπὶ συχνῷ τῷ πλάτει θεωρουμένην. 10. Ἡ μετ' αὐτὴν δέ, ἣν φαμεν ὑδατώδη γλυκύτητα, κατὰ τοσοῦτον ἐκπεφευγέ-
74 ναι δοκεῖ τὴν ψύξιν τῆς ἁπλῆς ὑδατώδους ποιότητος, καθόσον ἂν οἰηθῇς προσλαβέσθαι ταύτην γλυκύτητος. τῇ δὲ συμμέτρῳ καὶ αὐτὴ κράσει θεωρουμένη, ψυχρά πως μετρίως εἶναι λέγεται ἀμφότεραί γε μὴν ὑγρότεραι τοῦ συμμέτρου. 11. Ἡ δ' ἀκριβῶς γλυκεῖα σύμμετρος μὲν τῇ κράσει, καθόσον δ' ἂν τύχῃ ἐπιταθεῖσα, προσκτᾶται μέν τινα μᾶλλον τοῦ συμμέτρου θερμότητα, ὑφαιρεῖται δέ τι τῆς συμμέτρου ὑγρότητος. 12. Τὰ δέ γε λιπαρά τε καὶ ἐλαιώδη, καὶ αὐτὰ σύμμετρά τε καὶ ἡδέα τῇ φύσει ὄντα,
91 τό,τε χαλᾶν καὶ ἀνιέναι τὰ συντεταμένα δύναμιν ἔχει.

πλεονεκτεῖν δέ πως τῶν γλυκέων δοκεῖ, ἀκριβεστέρας ἐπ'
αὐτοῖς τῆς πέψεως γεγονυίας· ἀμφότερα δὲ παλαιούμενα
προσκτᾶται μὲν πλείω θέρμην, ὑφαιρεῖται δέ τι πλέον τῆς
ὑγρότητος. 13. Καὶ τὰ μὲν ἀκριβῶς γλυκέα, προϊόντα πι-
κροῦται εἰς τὴν ἀντικειμένην μεταπεσόντα ποιότητα, ἐπεὶ
μὴ ἔχει ἐπίτασιν δέξασθαι. 14. Τὰ λιπαρὰ δὲ εἰς τὴν
κνισσώδη τε καὶ οὐκ οἶδ' ὅ,τι ἂν εἰπὼν δικαίως φαίην τῆς
κατ' αὐτὰ αἰσθήσεως, οἰκείου μὴ ἐπικειμένου ταύτῃ ὀνό-
ματος. τὰ παραπλήσια δὲ πάσχει καὶ τῷ ἔξωθεν πυρὶ ἐπὶ
πολὺ ἑψόμενα, οὐχ ἧττον δὲ καὶ τῷ ἐμφύτῳ θερμῷ ἐν- 75
διατρίψαντα, καὶ μάλιστα ἢν πρὸς τὸ δριμύτερον αὐτὸ
ἀποκλίνῃ. 15. Ὀξώδης δὲ ποιότης λεπτομερὴς οὖσα ἐν
ψυχραῖς ποιότησιν, ἔχει μὲν τὸ τέμνειν τε καὶ μετρίως
λεπτύνειν. ξηραίνειν δὲ οὐκ ἔλαττον πέφυκε. 16. Τὰ αὐ-
στηρὰ δὲ μετρίως μὲν στύφει καὶ συνάγει καὶ παχύνει τὴν
ὕλην, καὶ τονοῦν ἤδη τὰ κεχαλασμένα πέφυκε, παχυμερῆ τε
ὄντα ἤδη καὶ ψύχοντα καὶ ξηραίνοντα. 17. Ἐπιταθείσης
δὲ τῆς κατ' αὐτὰ ποιότητος τὰ στρυφνὰ ἀναφαίνεται μᾶλ- 92
λον ὄντα παχυμερῆ καὶ σφοδρότερον ξηραίνοντα. 18. Τὰ
δέ γε ἁλυκὰ θερμότερα τῶν τε γλυκέων καὶ τῶν λιπα-
ρῶν τυγχάνοντα μὴ πολλῷ ξηρότερα, καί πως λεπτομερῆ
καὶ ἰσχναντικὰ τὰς ἐμπλεούσας ἀναπίνοντα ὑγρότητας.
19. Ἐπιτεταμένα δ' οἷον ἁλυκὰ τὰ πικρά, θερμὰ μὲν καὶ
αὐτὰ καὶ ξηρὰ τυγχάνοντα, κατὰ τὸ ῥύπτειν δὲ τῶν ἁλυ-
κῶν πλεονεκτοῦντα· ὥσπερ αὖ τὰ δριμέα πάντων μὲν μά-
λιστα θερμὰ καὶ ξηρά, οὐχ ἧττον λεπτομερῆ δὲ καὶ εἰς τὸ
βάθος ῥαδίως διαβαίνοντα καὶ τέμνοντα καὶ λεπτύνοντα
καὶ ἀποφράττοντα καὶ ἐκπυροῦντα. 20. Ἀλλ' ὁ μὲν κοινὸς
λόγος περὶ ποιοτήτων ἁπλῶν ὧδέ πῃ συμπληρούσθω. ἔξεστι
δὲ τῷ βουλομένῳ ἀπὸ τῶν ἁπλῶν καὶ περὶ τῶν συντεθει-
μένων ἔχειν διαγινώσκειν. εἰσὶ γὰρ [εἰσὶ] μυρία ἐναντίας
τε καὶ διαφόρους ἐν αὐτοῖς ποιότητας ἔχοντα, ἅπερ εἴ τις 76
μετ' ἐπιστασίας σκοποίη, εἰς καιρὸν ἂν χρήσαιτο, καὶ τοῖς
ὑπ' ἐναντίων πάσχουσι βοηθῶν. 21. Καὶ τοῦτ' ἰδοῦσα ἡ
πάντα ἀρίστη τέχνη μιμεῖται συμπλοκὰς καὶ κράσεις μη-
χανωμένη ποιοτήτων, κατὰ τὰς φαινομένας εἴ τε πόαις 93
καὶ καρποῖς καὶ τοῖς λοιποῖς ἁπλοῖς σώμασιν, ὡς ἂν ἰῶτο

*τὰ ποικίλα τε καὶ συμπεπλεγμένα τῶν παθῶν.* 22. *Τά γε*
*μὴν σιτώδη καὶ ὅσα ἐν τροφῆς ἁπλῆς λόγῳ φέρεται οὐ*
*κατὰ τὰς ποιότητας θεωρεῖται, εἰ μή που τύχοι καὶ τὸ*
*τοιοῦτόν τι ταύταις συναναφαινόμενον· τῇ δὲ κατεργασίᾳ*
*καὶ ἑψήσει καὶ τῷ πάχει καὶ λεπτότητι ἕκαστον δοκιμάζε-*
*ται.* 23. *Τὰ μὲν γὰρ ἐλλείπει ταῖς ἑψήσεσι καὶ τῇ ἀρτύ-*
*σει ὡς ἀηδῆ ἐντεῦθεν ἢ σκληρὰ τῷ τρεφομένῳ φαίνεσθαι,*
*καὶ χρόνου πλείονος εἰς πέψιν δέεσθαι.* 24. *Ὅσα δὴ ζῳ-*
*ώδη, τὰ μὲν μείζω τε καὶ σκληρότερα καὶ γεωδέστερα, τὰ*
77 *δ' αὖ οὐχ οὕτως· καὶ αὐτὰ δ' αὐτῶν ταῖς τε εὐσαρκίαις*
*καὶ ἡλικίαις διενήνοχεν, ἔτι δὲ διαίταις καὶ γυμνασίοις. τὰ*
*πάντα δὲ ταῖς οἰκειότησι τῶν κράσεων δοκιμάζεται, ὡς μὴ*
*τοῖς πᾶσι τὰ αὐτὰ δοκοῦντα πρόσφορα, ἄλλα δ' ἄλλοις*
94 *ἀναλογίᾳ κράσεων καὶ γυμνασίων ἐφαρμόζοντα φαίνεται·*
*ὥστε εἰ μή τις τὰς κατὰ μέρος αὐτῶν διαφορὰς εἰδείη καὶ*
*τὰς ἐφ' ἃς ἁρμόζουσι κράσεις, μάτην ἂν ἐπιχειροίη διαιτᾶν.*
25. *Ἵν' οὖν μηδὲ κατὰ τοῦτο τὸ μέρος εἴη ἐλλείπων ὁ λό-*
*γος, προσαποδοθήσεται καὶ τούτων τὰ δέοντα. τάχα γὰρ ἂν*
*καὶ ἑτέροις ἐντυχοῦσι λυσιτελῆσαι ἡ πραγματεία.* 26. *Ἀμέ-*
*λει μηδ' ὅσον ἐπὶ τοῦθ' ἥκει τὸ μέρος, μέμφεσθαί σε δί-*
*καιον ἡμῖν, εἴ τι καὶ περὶ κρεῶν ἐροῦμεν τῇ κοινωνίᾳ τοῦ*
*λόγου, πάλαι σε τοιαύτης ἀποσχόμενον τροφῆς τῷ τοῦ σχή-*
*ματος ἀξιώματι. τάχα γὰρ ἂν καὶ ἑτέροις ὑποθεῖο τὰ συνοί-*
*σαντα τῇ περὶ ταῦτα μεθόδῳ, πρόνοιαν μὲν ἀεὶ ποιούμενος*
78 *διαίτης βίου εὐσχήμονος, καὶ ἀρετῆς ψυχῆς, οἷς ἂν εἰς ὁμι-*
*λίαν γένοιο, οὐκ ἀπαναινόμενος δὲ καὶ ὅσα ἂν δοκοίη ἐς*
*ὑγίειαν λυσιτελεῖν ἀνθρώποις ὑποτίθεσθαι· ταῦτά τοι εἰκὸς*
*μηδ' ἐν τῷ μέρει τούτῳ ἄκαιρόν σοι τὸν ἡμέτερον λόγον*
*φαίνεσθαι.* 27. *Ἐπεὶ δὲ καὶ πολλαί τε καὶ ποικίλαι ἡμῶν*
*πεφύκασιν αἱ τροφαί, διαφόρως δὲ σκευαζόμεναι ἔτι πλείους*
95 *αὐτῶν δοκοῦσι, πόθεν ἂν εἴη προσῆκον μᾶλλον ἐνάρξασθαι,*
*ἢ ὅθεν ἄμεινον; ἄμεινον δὲ ἀπὸ τῶν κοινοτέρων, καὶ οἷς*
*μικροῦ δεῖν πάντες ἄνθρωποι κέχρηνται.*

*Κεφ. ι'. Περὶ σιτωδῶν τροφῶν καὶ ὀσπρίων καὶ τῆς κατ' αὐτὰ διαφορᾶς.*

1. *Σῖτος τοίνυν (αὕτη γὰρ ἡ κοινὴ τοῖς πλείοσι τῶν*
*ἀνθρώπων τροφή) εἷς ὢν καὶ ὁ αὐτὸς τῷ εἴδει, οὐκ ἀεὶ*

ὁ αὐτὸς φαίνεται τῇ δυνάμει. ὁ μὲν γὰρ αὐτῶν πυρρὸς ἢ ναστὸς ἢ ἀμφότερα φαίνεται, ὁ δ' αὖ λευκὸς καὶ κοῦφος, καὶ ἢ ῥυσσὸς ἢ πλήρης. 2. Οὐκ ὀλίγας δ' ἔχεις ἐντεῦθεν καταμαθεῖν διαφοράς· οἱ μὲν γὰρ πυρρότεροι καὶ θερμότεροι δοκοῦσι (καὶ τοῦτ' εἰδέναι θέμις, ὡς ἐν τοῖς ὁμοειδέσι θερμότερα δοκεῖ τὰ πυρρότερα), οἱ δὲ ναστότεροι, δυσκατεργαστότεροι καὶ πολυτροφώτεροι, ὥσπερ οἱ ῥυσσοί τε καὶ ἰσχνοὶ δι' ἁμαρτίαν μᾶλλον τῆς κατ' αὐτοὺς δυνάμεως γίνονται. 3. Καὶ τοῖς μὲν γυμναστικοῖς μᾶλλον οἱ ναστότεροι αἱρετέοι, ἀεὶ διαφορουμέ- 79
νοις σφοδρότερον καὶ στερεωτέρας διὰ τοῦτο τροφῆς χρῄζουσιν. ὅσοις δὲ ἡ δίαιτα ἐν ἀγυμνάστῳ καὶ ἀταλαιπώρῳ βίῳ, οἵ τε κουφότεροι καὶ οἱ μηδὲν διημαρτημένον ἐν τῇ κατ' αὐτοὺς πεπάνσει ἔχοντες. ἀσθενεῖς γὰρ οἷον οἵδε καὶ ἀτελεῖς. 4. Ἄμεινον δὲ μήτ' ὀσμῆς τινος ἀλλοτρίας μετέ- 96
χειν τούτους, οἷα εἰκὸς συμβαίνειν ἐκ τῶν κατ' αὐτοὺς μεταλαμβάνειν ἀποθηκῶν, μήτ' ἐγκαταμεμῖχθαι τούτοις ἀλλότρια σπέρματα. 5. Ἐπεὶ δέ σοι ὁ κοῦφος σῖτος μᾶλλον αἱρετέος δοκεῖ, καὶ τοῦτο ἐπὶ πᾶσιν ὡσαύτως κείσθω. τοῖς μὲν γὰρ γυμναστικωτέροις τὰ παχύτερα δοτέον καὶ πολυτροφώτερα· τὰ κουφότερα δὲ καὶ ὀλιγοτροφώτερα τοῖς ἀταλαιπώρως βιοῦσι. 6. Δεῖ δέ σε λοιπὸν καὶ περὶ τῶν κατὰ μέρος ἐπ' αὐτοῦ λεγομένων ἀκοῦσαι. καὶ χλωροῦ μὲν ἔτι ὄντος, εἴ τις αὐτοῦ σπάσαι, μετρίου μὲν μετρίως ἂν καὶ βλαβείη. ἔτι γὰρ ὑγρότερος ὢν οὐκ ἐφίσταται τοῖς σπλάγχνοις, ἀλλ' ὕπεισι, μηδὲν κακὸν διαθείς· πλεονάσας δὲ ἀδικεῖ, μείζονος κατεργασίας δεόμενος. μετρίως δ' ἑφθοῦ εἴ τις συνεχῶς μεταλαμβάνει, μεγίστοις ἂν ἁλοίη πάθεσιν, ἀταλαιπώρου βίου τυχών. τὸ πλέον γὰρ ὠμός τε καὶ ἀκατέργαστος ὤν, ἐναπομένει τοῖς σπλάγχνοις. ἐκεῖθεν δ' ὥσπερ ἀηδὴς πηγὴ ἐπὶ τὰ λοιπὰ τοῦ σώματος ἡ τῶν χυμῶν ὠμότης 80
μερισθεῖσα οὐ μετρίως ἀνιᾷ τὸν πάσχοντα. 7. Ἐπτισμένος δὲ ὢν καὶ ἀκριβῶς ἡψημένος, ὁποῖον μετ' ἐλαίου ἢ στέατος σκευάζοντες ἐσθίομεν, πολλῷ γ' ἀμείνων. 8. Ἀκρι- 97
βῶς δὲ σίτου ἀληλεσμένου, τὸ μὲν αὐτοῦ λεπτότατόν ἐστιν, ὃ δὴ καὶ παιπάλην καλοῦσι, τὸ δ' αὖ παχύτατον, ὃ καὶ πιτυρῶδές φασιν· ἐν τῷ μεταξὺ δ' ἀμφοῖν τό τ' ἄλευρον

οὕτω καλούμενον, καὶ ἡ σεμίδαλις, ἀδρομερεστέρα μὲν ἀλ-
φίτων οὖσα, καθαρωτέρα δέ. 9. Καὶ τὸ μὲν ἐξ ὅλων κα-
θαρώτερον τοὺς σιλιγνίτας οὕτω καλουμένους ἄρτους ποιεῖ.
τοὺς δ' ἐξ αὐτῆς ὠνομασμένους σεμιδαλίτας σεμίδαλις, ὥσ-
περ πιτυρίας τοὺς ἀφῃρημένους τὸ καθαρώτερον, συγκομι-
στοὺς δὲ τοὺς μόνον τὸ πιτυρῶδες ἀφῃρημένους. 10. Οἵδε
δὲ πάντες ἤτοι μεθ' ἁλῶν καὶ ζύμης σκευάζονται, ἢ χωρὶς
τούτων· καὶ ἢ ἐν ἰπνοῖς καὶ κριβάνοις, ἢ ἐν σποδῷ. ὧν
τοὺς μὲν ἰπνίτας ἢ κριβανίτας φασί, τοὺς δ' ἐγκρυφίας
ἅτε τῇ σποδῷ ἐγκεκρυμμένους κατὰ τὴν ἕψησιν. 11. Ἀμεί-
νους δὲ τῶν μὲν σκευαζομένων οἱ μεθ' ἁλὸς καὶ ζύμης,
τῶν δ' ἑψομένων ἰπνῖταί τε καὶ κριβανῖται. ἀμιγεῖς γὰρ
ὄντες σποδοῦ καὶ τοιαύτης τινὸς ῥυπαρίας πολλῷ γ' ἀμεί-
98 νους κρίνονται. 12. Ζύμη δὲ καὶ ἅλες τὰ μάλιστα λυσι-
81 τελεῖν πεφύκασιν, ὅτι μὲν ἐν αὐτοῖς περιττωματικὸν ἐκ-
δαπανῶντες, πέψιν δέ τινα ἐντιθέντες καὶ κατεργασίαν
καλλίω τοῖς προσπεφυραμένοις ἀλεύροις. τὰ γὰρ χωρὶς ἁλῶν
ἢ ζύμης γινόμενα πλείονος ἰσχύος δεόμενα ἐπὶ τῷ πεφθῆ-
ναι καὶ γυμναστικοῦ τινος σώματος οὐχ αἱρετέα σοι ἐξηλ-
λαγμένῳ τὴν πᾶσαν δίαιταν. 13. Ἀμείνους οὖν πάντων
ἄρτων οἱ σιλιγνῖται, τροφιμώτατοι ὄντες· δεύτεροι δὲ οἱ
συγκομιστοί· ἐν τῷ μεταξὺ δ' αὐτῶν οἱ σεμιδαλῖται. φαυ-
λότατοι δὲ οἱ πιτυρίαι πάνυ μὲν βραχεῖαν τροφὴν τῷ σώ-
ματι διδόντες, ῥᾳδίως δ' ὑπερχόμενοι, εἰς μελαγχολικὸν δὲ
χυμὸν ἑτοίμως τρεπόμενοι. 14. Οἱ δὲ δὴ σιλιγνῖται τὸ
καθαρώτατον ὄντες τοῦ σίτου καὶ καθαρωτάτην τροφὴν
τῷ σώματι παρέχουσι. σεμιδαλῖται δὲ ἀδρομερεῖς τυγχάνον-
τες, κἂν ὦσι καθαροῦ καὶ οἵδε αἵματος γεννητικοί, ἀλλ' οὖν
κατεργασίας πλείονος εἰς πέψιν δέονται. ἐν τῷ μεταξὺ
δ' αὐτῶν εἰς ἐπιτηδειότητα χρήσεως καὶ ἀλυπότερος ὁ συγκο-
μιστὸς λεγόμενος ἄρτος. οὔτε γὰρ κατὰ τὸν σεμιδαλίτην
99 δύσπεπτος, οὔτε κατὰ τὸν σιλιγνίτην πολύτροφός τε καὶ
ἐμπλαστικός. 15. Οὐκ ἀγνοεῖν δὲ δεῖ ὡς ἐξοπτηθέντες ἄρ-
τοι ἢ ἔνωμοι τυγχάνοντες κατὰ τὸ μέτρον τῆς ἀποτυχίας
καὶ τῆς ἀρετῆς αὐτῶν λείπονται. τοῦτο δὲ καὶ ἐπὶ παντὸς
ἄλλου ἐδέσματος δεομένου ἕψεσθαι συνυπακούεσθαι χρή.
82 16. Ἃ δ' ἐξ ἀλεύρου ὕδατι πεφυραμένου ἅμ' ἐλαίῳ ἐν

τηγάνῳ ἕψοντες σκευάζουσιν ἄνθρωποι, πολύτροφα μὲν
καὶ στερεὰν τροφὴν διδόασι, πάνυ δὲ ἰσχυροῦ στομάχου
δέονται. καὶ γυμναστικοῖς μᾶλλον ταῦθ' ἁρμόζει σώμασιν,
ἐν ἄλλοις τὸν ὠμὸν ῥᾳδίως γεννῶντα χυμόν. 17. Καὶ τὸν
μὲν περὶ σίτου καὶ τῶν ἐξ αὐτοῦ κατασκευαζομένων λόγον
ὧδ' ἂν ἔχοις μαθών. μετὰ δὲ σῖτον κριθή· ἀγαθὴ γάρ
φησί τις μάζα μετ' ἄρτον. 18. Ἧττον οὖν τρέφει, μᾶλ-
λον δὲ ῥύπτει κριθή. καὶ ψυχρὰ ἤδη πέφυκε καὶ τῶν ἄλλων
σιτωδῶν καρπῶν ἀμείνων. ὁ δ' ἐξ αὐτῆς χυλὸς σκευαζόμε-
νος καὶ πάνυ εὔχρηστος ὑγιαίνουσί τι, ἢν δριμύτεροι ὦσι,
καὶ πυρέττουσι, ψύχων τε καὶ ὑγραίνων. 19. Σὺ δὲ χρή-
σαιο ἐν ὥρᾳ θέρους πτίσσας τε καὶ ἀκριβῶς ἑψήσας, καθὰ
καὶ τὴν ἀθάραν σκευάζομεν. εἰ δὲ καὶ τὸν ἐκ τῶν ἀμυγδά- 100
λων προσεπιβάλοις χυλόν, ἄμεινον ἂν οὕτω ποιήσαις ἔδεσμα,
κοῦφόν τε ὂν καὶ εὔχυμον καὶ εὔπεπτον, λεπτυντικόν τε
καὶ ῥυπτικὸν καὶ ὅλως χρήσιμον. ἀμείνους δὲ κριθαὶ αἱ λευ-
κότεραι καὶ εὐτραφέστεραι καὶ μή τινος ὄζουσαι. 20. Ζειὰ
δὲ κοῦφον μὲν καὶ αὐτὴ ἔδεσμα, πτισσομένη τε καὶ ἑψο- 83
μένη κατὰ τὴν ἀθάραν, οὔτε δὲ ἀκραιφνὲς πάνυ γεννᾶν
αἷμα πέφυκεν οὔθ' ἱκανῶς τρέφειν. ἀμέλει οὐδ' ἰσχύν τινα
τῷ σώματι ἐντίθησι. χρήσαιο δ' ἄν ποτε καὶ αὐτῇ κού-
φου χρῄζων ἐδέσματος. 21. Κέγχρος δὲ κατὰ ζειὰν οὖσα
ὀλιγότροφος, πλεονεκτεῖ τῷ μᾶλλον στάσιμόν τι ἔχειν καὶ
γεννᾶν πνεύματα, ἧς τὴν χρῆσιν φεύγειν σε δίκαιον, εἰ
μή που τῶν ἀμεινόνων σπάνις κατέχει. 22. Κύαμοι δὲ
αἷμα παχὺ γεννῶντες καὶ πνεύματα τοιαῦτα ἀπέστωσαν
τῆς κατά σε διαίτης, κἂν ἄλλως ῥυπτικοὶ δοκῶσι καὶ τρό-
φιμοι. εἰ δέ που δεήσει χρήσασθαί σε τούτοις τὸ ἐξ αὐτῶν
ἔτνος ἄμεινον, μᾶλλόν τε ῥυπτὸν καὶ τὸ πλέον τοῦ πνεύ-
ματος ἐν τῇ ἑψήσει διαφοροῦν· εἰ δὲ προσεπιμίξειας αὐτῷ
καί τινα τῶν ἀφύσων καλουμένων σπερμάτων, ἔτι δὲ μέ- 101
λιτος, μάλιστ' ἂν τὴν ἐξ αὐτῶν κολάσειας βλάβην. 23. Χεί-
ρους δ' αὐτῶν οἱ φάσηλοι, θερμοί τε ἤδη ὄντες καὶ γεώ-
δεις καὶ ἐκταρακτικοί, ὥς φασι, τοῦ κατὰ τὸν ἐγκέφαλον 84
πνεύματος, καὶ δυσόνειροι. 24. Ἐρέβινθοι δὲ ἰσχυροτέραν
μὲν τροφὴν τῷ σώματι παρέχουσι καὶ καθαρὰν μετρίως,
φυσώδεις δὲ ἄλλως καὶ πλείονος ἰσχύος στομάχου δεόμενοι.

*ὁ δ' ἐξ αὐτῶν ζωμὸς ἀμείνων, ῥυπτικὸς ὢν καὶ διουρητικὸς τῷ μετέχειν τινὸς ἁλμώδους ποιότητος, ὥστε τούτῳ μᾶλλον τῆς οὐσίας αὐτῶν χρηστέον.* 25. *Ὄρυζα δὲ θερμὸν μετρίως καὶ ξηρὸν ἔδεσμα τρόφιμόν τε καὶ ἐμπλαστικόν. διὰ χρόνου δὲ λαμβανόμενον οὐδὲν ἂν ἀνιαρὸν τῷ σώματι ἐπαγάγοι.* 26. *Φακὴ δὲ χείριστον ἐν ὀσπρίοις ἔδεσμα, παχύ τε καὶ γεῶδες καὶ μελαγχολικὸν γεννῶσα αἷμα· ἐπέχει τε τὴν γαστέρα δὶς ἢ τρὶς καὶ πλέον ζεσθεῖσα καὶ ἐκχυθεῖσα τὸν ζωμόν· μὴ γὰρ οὕτω σκευασθεῖσαν λαπάττειν μᾶλλον τὴν γαστέρα φασι.* 27. *Καὶ τούτου μὲν ἀφεκτέον ὡς χειρίστου ἐδέσματος, καὶ ἀγρόταις μᾶλλον προσήκοντος·*
102 *ἐπ' ἄλλα δὲ τὸν λόγον τρεπτέον ἱκανῶς ἐνδιατρίψαντα τῷ περὶ σιτωδῶν καὶ χεδροπῶν λόγῳ.* 28. *Ἔξεστι δὲ ἀπὸ τῶν ῥηθέντων καὶ περὶ τῶν μὴ διαληφθέντων διαγινώσκειν. ἐν πᾶσι δὲ ἀμείνω τὰ χλωρὰ ἔτι πραεῖαν ἔχοντα ὑγρότητα. τῷ χρόνῳ γὰρ καὶ ταύτην ἀποβάλλοντα, παχυμερέστερά τε γίνεται καὶ γεωδέστερα. ὥσπερ δ' ἀμείνω τῶν ξηρῶν τὰ ἔνικμα, οὕτω καὶ τῶν ὠμῶν τὰ ἑφθά, καὶ τὰ πεπασμένα τῶν μὴ τοιούτων.* 29. *Ἐπεὶ δὲ τῶν ἀπὸ γῆς τούτων καὶ αὐτοσχεδίων ἐδεσμάτων καὶ ἁπλῶν σοι μέλει λιτὸν ἀνῃρημένῳ βίον ἐφεξῆς μετὰ τὸν τῶν ὀσπρίων λόγον περὶ λαχάνων καὶ ἀκροδρύων καὶ ὀπωρῶν εἴπωμεν· εἶθ' οὕτως περὶ ζώων καὶ τῆς ἐξ αὐτῶν χρήσεως.*

*Κεφ. ς'. Περὶ λαχάνων καὶ ὀπωρῶν καὶ τῆς κατ' αὐτὰ διαφορᾶς·*

1. *Καθόλου τοίνυν ἐπίστασθαι χρὴ ὡς ἅπαν λάχανον λεπτὸν καὶ ὑδατῶδες αἷμα γεννᾶν πέφυκε, τοῖς ἀπὸ τῶν παχυτέρων δηλονότι ἐδεσμάτων αἵμασι παραβαλλόμενον. ἄλλο δ' ἄλλου διενήνοχε κατά τε ποιότητα καὶ εὐχυμίαν καί τινα πλεονεκτοῦσαν ἰδιότητα.* 2. *Καὶ κράμβη μὲν ὡς ἐν λαχάνοις ἐξεταζομένη μετρίως θερμὸν ἔδεσμα, μᾶλλον*
103 *δὲ ξηρόν. αὕτη ζεσθεῖσα καὶ μὴ ἐκχυθεῖσα λαπάττει τὴν γαστέρα. τετράκις δὲ ἢ καὶ πλέον ἐκχυθεῖσα τὸν ἐν αὐτῇ χυλὸν κἄπειθ' οὕτως βρωθεῖσα μᾶλλον ἐπέχει τὴν γαστέρα. καὶ οὐδὲν θαυμαστόν, τοῦ μὲν χυλοῦ ῥυπτικὴν ἔχοντος δύναμιν, τῆς δ' οὐσίας αὐτῆς στασίμου τυγχανούσης ἐδέσματος. μελαγχολικὸν δὲ τὸ πλέον ἤδε γεννᾷ χυμόν, ὥστε*

*μηδὲ ταύτῃ σε κεχρῆσθαι θέμις, εἰ μὴ λιμὸς βιάσαιτο.*
3. *Τεῦτλον δὲ πολλῷ γ᾽ ἄμεινον κράμβης. οὔτε γὰρ με-
λαγχολικὸν ἀπογεννᾷ χυμὸν κατὰ τὴν κράμβην, καὶ τὴν
γαστέρα λαπάττει τῷ ἐνόντι ταύτῃ νιτρώδει χυμῷ· μετρίως
δὲ καὶ τοῦτο θερμὸν λάχανον.* 4. *Αἱ δ᾽ ὑπέρυθροί τε καὶ
ἐρυθραὶ ῥίζαι τοῦ τεύτλου τροφιμώτεραί τε καὶ παχύτερον* 86
*αἷμα πολλῷ τῶν φύλλων γεννῶσι, πλεονεκτοῦσι δὲ τῷ φῦ-
σαν ἐμποιεῖν· ἄλλως δὲ ῥαδίως ὑπεξέρχονται, καὶ διὰ τοῦτο
καὶ αὐταῖς χρηστέον ἐνίοτε.* 5. *Ἀνδράχνη δὲ καὶ ἀτράφαξυς
ψυχρὸν καὶ ὑγρὸν λάχανον θερμαῖς κράσεσι καὶ ὥραις χρή-
σιμον, λεπτὸν δὲ καὶ ὑδατῶδες αἷμα ἀπογεννᾷ. ψυχροῖς
δὲ σώμασιν ἄθετον.* 6. *Σέρις δὲ καὶ αὐτὴ ψυχρὸν ἔδεσμα
καὶ τοῖς θερμαῖς λυσιτελοῦν κράσεσιν. αἷμα δὲ καὶ αὐτὴ* 104
*λεπτόν, καθαρώτερον δὲ ἀτραφάξυος γεννᾷ. εὐστόμαχον δὲ
ἄλλως λάχανον καὶ τονωτικὸν τοῦ ἥπατος, δι᾽ ἣν μετρίως
ἔχει στυφότητα.* 7. *Θριδακίνη δὲ πολλῷ γε ψυχροτέρα καὶ
ὑγροτέρα, λεπτὸν δὲ καὶ αὐτὴ καλῶς πεφθεῖσα καὶ καθα-
ρὸν γεννᾷ αἷμα, ὕπνον τε ῥαδίως ἐμποιεῖ, ψύχει τε καὶ
ὑγραίνει τὸν ἐγκέφαλον. οὐ δεῖ δὲ ταύτῃ κατακεχρῆσθαι
πλέον ὑγραινούσῃ τε καὶ ψυχούσῃ τὸν ἐγκέφαλον καὶ διὰ
τοῦτο τὸ συντεταμένον τῶν κατ᾽ αὐτὸν ἐνεργειῶν χαλώσῃ.*
8. *Ῥαφανὶς δὲ ἡ μὲν ἀγρία δριμυτέρα καὶ διὰ τοῦτο φαρ-
μακώδης, τέμνουσα καὶ λεπτύνουσα τοὺς ἐν τῷ στομάχῳ
καὶ τοῖς σπλάγχνοις χυμούς, ἄλλως δὲ δύσπεπτον ἔδεσμα.* 87
*κατὰ πάντα δὲ μετριωτέρα ἡ κηπευομένη, ὥστε οὐδὲ ταύτῃ
δέον κεχρῆσθαι κατὰ τὰ λοιπὰ δριμέα, ἐξοπτώσῃ καὶ δρι-
μυττούσῃ τὸ αἷμα, εἰ μή που ὡς ἐν φαρμάκου λόγῳ χρή-
σαιτ᾽ ἄν τις αὐτῇ.* 9. *Σέλινα δὲ καὶ μάραθρα καὶ εἴ τι
τοιοῦτο, θερμὰ μὲν καὶ ξηρά, διουρητικὰ δὲ καὶ ἀπο-
φρακτικά, ἄλλως δὲ δύσπεπτα, ὥστ᾽ εἰ δέοι καὶ τούτοις ὡς* 105
*ἐν φαρμάκου λόγῳ χρηστέον.* 10. *Πράσα δὲ ἀμείνω μὲν
κρομμύων καὶ σκορόδων ἑφθὰ ἐσθιόμενα. ἀποβάλλει γὰρ
ταῖς ἑψήσεσι τὸ πλέον τῆς κακοχυμίας καὶ δριμύτητος.
δύσπεπτα δέ πως καὶ αὐτὰ δοκεῖ διὰ τὰ ἐνόντα ἰνώδη, κἂν
ἄλλως εὐανάγωγα τὰ ἐν τοῖς στήθεσιν ὑγρὰ συστάντα ποιῇ
τῇ ἐνούσῃ γλισχρότητι. διουρητικὰ δὲ μετρίως τυγχάνει.*
11. *Σίκυοι δὲ ὠμοὶ τί ἄλλο εἰσίν, ἢ ὃ λέγονται; τὸν ὠμὸν*

*γὰρ γεννῶσι χυμὸν ψυχροὶ καὶ ὑγροὶ ἱκανῶς τυγχάνοντες
καὶ δύσπεπτοι. οἱ πέπονες δὲ ὡς πέπανσιν λαβόντες πολλῷ
γ' ἀμείνους· πεφύκασι δὲ καὶ οἵδε μὴ καλῶς πεττόμενοι,
ἢ μὴ ῥᾳδίως ὑπεξερχόμενοι προστίθεσθαι καὶ συμφθείρε-
88 σθαι οἷς ἂν κατὰ γαστέρα χυμοῖς ἐντύχωσι. ῥᾳδίως δ' ἐξερ-
χόμενοι, τῷ ῥύπτειν συνεξάγουσιν ἐνίοτε καί τινα τῶν λυ-
πούντων· λεπτὸν δὲ καὶ οἵδε καὶ ὑδατῶδες αἷμα γεννῶσι
καλῶς πεφθέντες.* 12. *Κολοκύντη δ' ἐν τῷ μεταξὺ ὠμοῦ
καὶ πέπονος σικύου. ἑψομένη δὲ ἀμείνων γίνεται, ψυχρὸν
106 καὶ ὑγρὸν οὖσα ἔδεσμα, καὶ ὡς ἐν φαρμάκου χρήσει τὸ
πλέον λαμβανομένη· ἄλλως δὲ ἄθετος, πάνυ τε ὀλιγότρο-
φος οὖσα καὶ ὑδατώδη χυμὸν ἀπογεννῶσα καὶ μάλιστα
ψυχροτέρᾳ ἐμπεσοῦσα γαστρί.* 13. *Ἀμανῖται δὲ καὶ ὕδνα
ψυχρά τε καὶ ὑγρά, καὶ παχέων καὶ ὠμῶν χυμῶν γεννη-
τικά, θερμαῖς τε καὶ ξηραῖς ἁρμόζοντα κράσεσιν.* 14. *Ἀσπά-
ραγγοι δὲ πάντων λαχάνων ἀμείνους. κοῦφοι μὲν γὰρ ἐν
ταῖς πέψεσι, μετρίως δ' ὄντες θερμοὶ καὶ λεπτομερεῖς,
καθαροῦ γεννητικοὶ τελοῦσιν αἵματος. διουρητικοὶ δέ, εἴπερ
τι ἕτερον ἔδεσμα, ὥστε βουλοίμην ἂν μὴ μόνον ἔαρος
ὥρᾳ τούτοις κεχρῆσθαί σε, ὁπότε δηλαδὴ ἀκμάζουσιν, ἀλλὰ
καὶ ἀποτιθέμενον ἔχειν σε τούτους διὰ πάσης ὥρας τρέ-
φοντάς τε καὶ καθαίροντας τὸ αἷμα, οὐχ ἥκιστα δὲ καὶ
τὰ σπλάγχνα ἀποφράττοντας καὶ τοὺς ἐν αὐτοῖς λεπτύνον-
τας χυμούς. καὶ περὶ μὲν τούτων ἅλις· ῥητέον δ' ἐφεξῆς
89 καὶ περὶ τῶν ὀπωρῶν.* 15. *Κέρασοι τοίνυν ψυχροὶ καὶ ὑγροὶ
τυγχάνοντες, οἱ μὲν γλυκεῖς καὶ χαῦνοι τὴν σύστασιν, οἱ
δ' αὖ σκληρότεροι καὶ στυφότεροι· ὧν τοὺς πρώτους αἱρε-
107 τέον, ἄμεινον πεττομένους καὶ ῥᾷον ὑπεξαγομένους. οἱ
δ' ἕτεροι μᾶλλον ἂν τοῖς τὴν γαστέρα χολουμένοις λυσι-
τελήσαιεν, δύσφθαρτοί πως ὄντες, καὶ τῷ στύφειν το-
νοῦντες τὴν γαστέρα. καταχρώμενοι δέ, εἰ μὴ συμφθα-
ρεῖεν τοῖς ἐνοῦσι χυμοῖς, τὸν ὑδατώδη χυμὸν γεν-
νῶσι.* 16. *Τῶν μήλων δὲ τὰ μὲν βασιλικὰ καλούμενα
τῶν ἄλλων ἀμείνω, ψυχρὰ καὶ αὐτὰ τυγχάνοντα. εὐκάρδια
δὲ λέγεται τῷ τοὺς ἀναφερομένους ἀτμοὺς ἐπὶ τὴν καρ-
δίαν λιγνυώδεις τε καὶ καπνώδεις ὄντας καταστέλλειν, οὐχ
ἧττον δὲ καὶ τοὺς εἰς κεφαλὴν ἀναφερομένους· ἀμέλει δὲ*

καὶ τὰς ἀπὸ τῶν οἴνων βλάβας ἐπὶ τὴν κεφαλὴν καθιστᾶ-
σιν· ἅπτονται δὲ νεύρων, καὶ τὸ μνημονευτικὸν ἀμβλύ-
νειν πεπίστευνται, καὶ μάλιστ' αὐτῶν ὅσα ὀξώδη πέφυκε
ψυχρότερά τε ὄντα ἱκανῶς, καὶ τῷ λεπτομερεῖ τῆς οὐσίας
διὰ βάθους ἤδη χωροῦντα. 17. Ἀμείνω δὲ τῶν μήλων τὰ
εἰς ἀπόθεσιν χειμῶνος ὥρᾳ τηρούμενα γλυκέα ὄντα· πλείω
γὰρ τὴν πέψιν προσλαμβάνοντα τῷ χρόνῳ λυσιτελέστερα
ταῖς προσηκούσαις χρήσεσι γίνεται καὶ οὐχὶ ῥᾳδίως συμ-
φθείρεται. 18. Περσικὰ δὲ μῆλα καὶ Ἀρμενιακά, καὶ αὐτὰ 108
ψυχρὰ καὶ ὑγρὰ τὴν κρᾶσιν τυγχάνοντα, λεπτὸν καὶ ὑδα- 90
τῶδες αἷμα ἀπογεννῶσι καλῶς πεφθέντα. πεφύκασι δὲ καὶ
ταῦτα μὴ ῥᾳδίως ὑπιόντα φθείρεσθαί τε καὶ συμμεταβάλ-
λεσθαι, οἷς ἂν χυμοῖς ἐντύχωσιν, ὥστε μηδὲ τὴν ἀρχὴν
ἅπτεσθαι τούτων συμβουλεύσαιμ' ἄν, οἷς ἂν μὴ ῥᾳδίως
ὑπεξίωσιν, εἰ μή που τῇ τῆς κράσεως ἰδιότητι τοιαύταις
χαίρειν τροφαῖς τὸ σῶμά τις φαίη. ἀμείνω δ' αὐτῶν τὰ
κοκκόμηλα, ἢν πάνυ ῥᾳδίως ὑπεξέρχηται. συμφθείρεται γὰρ
καὶ ταῦτα ἐνίοις μὴ ταχέως ἐκκρινόμενα. 19. Ῥοιαὶ δὲ
κοῦφον ἔδεσμα ἐν ὀπώραις καὶ λεπτοῦ γεννητικαὶ τελοῦσιν
αἵματος, εὐστόμαχοί τε καὶ παύουσαι τοὺς δηκτικοὺς ἀτμούς
τε καὶ χυμούς, ὥστε καὶ ταύταις χρήσῃ κατὰ καιρὸν ἐπι-
κρατούσης δηλαδὴ θέρμης ἐν τῷ σώματι, ἢ τῆς ὥρας
πλεονεκτούσης. ἄλλως δὲ περιττὸν κεχρῆσθαι τοῖς ὡς ἐν
φαρμάκου λόγῳ λαμβανομένοις ἐδέσμασι, καὶ μάλιστα ἢν
τἀναντία ἡ κρᾶσις ὑποτιθῆται, ὧν ἄλογος ὄρεξίς τε καὶ
χρῆσις ἐθέλουσι. 20. Κυδώνια δὲ τῶν στυφόντων ἐν ὀπώ- 109
ραις ἐδεσμάτων εἰσίν, ἀμέλει καὶ γαστρὸς ἐφεκτικά. πέ-
φυκε δ' ἐνίοις πρὸ μὲν τῆς τροφῆς λαμβανόμενα μᾶλλον 91
ἐπέχειν τὴν γαστέρα, μετὰ δὲ τὴν τροφὴν προτρέπειν. καὶ
θαῦμά γ' οὐδέν, εἴγε τὸ στόμα τῆς γαστρὸς πιέζοντα τῇ
στυφότητι κάτω τὴν τροφὴν βιάζεται, ὥσπερ καὶ διὰ χει-
ρῶν ἐν ἀσκοῖς καὶ κύστεσιν αὐτὸ δὴ τοῦτο πράττοντες ῥα-
δίως ὑπεξάγομεν τὰ ἐναπειλημμένα, καὶ μάλιστα ἢν πλήρη
μὲν τὰ ἀγγεῖα ᾖ, σφοδρότερον δὲ τὰ ἄνω μέρη πιέσωμεν.
21. Οὖα δὲ πάνυ στύφοντα ἐν ὀπώραις. καὶ κράνια καὶ
μέσπιλα ἐν φαρμάκου μὲν λόγῳ λαμβανόμενα πάνυ χρή-
σιμα, καὶ ἄλλως δὲ τῷ στύφειν εὐστόμαχα. ὡς τροφαὶ δὲ

οὐκ ἀγαθὸν αἷμα γεννᾶν πέφυκε· καὶ τὴν γαστέρα δὲ ἐπέχοντα, μᾶλλον τὴν κεφαλὴν καὶ τὸ λοιπὸν σῶμα βλάπτει. 22. Σῦκα δὲ καὶ σταφυλαὶ ἀμείνω ἐν τροφῆς λόγῳ τῶν λοιπῶν ὀπωρῶν. αἷμά τε γὰρ ἄμεινον τῶν ἄλλων γεννᾶν
110 καὶ τρέφειν τὸ σῶμα πέφυκε, κἂν ἄλλως φυσώδη ᾖ, καὶ οὐ στερεὰν γεννᾷ σάρκα. ἄθετα δὲ ἐν σπλάγχνοις σκιρρουμένοις ἢ ἐμπεφραγμένοις. πλεονεκτεῖ δὲ τὰ σῦκα καθαίροντα τὰ ἐν νεφροῖς ψήγματα. ἀμφότερα δὲ γαστρὸς ὑπαγωγά, ἐφεκτικὰ δὲ τὰ γίγαρτα. παλαιούμενα δ' ἀποτίθεται τὸ πολὺ τῆς περιττωματικῆς ὑγρότητος. 23. Τῶν ἀκροδρύων δέ, δρυὸς μὲν βάλανοι ψυχροὶ καὶ ξηροὶ καὶ μετρίως στύφοντες, φυσώδεις δὲ πάνυ· τρέφειν δὲ καὶ οἵδε πεπίστευνται. ἑψηθέντες δὲ ἀποβάλλουσι τὸ πλέον τῆς ἐν αὐτοῖς
92 πνευματώδους ποιότητος. βραδύποροι δὲ ἄλλως καὶ δύσπεπτοι. 24. Κῶνοι δὲ θερμοὶ μὲν μετρίως, καὶ τοῖς ἐν τῷ στήθει πάθεσιν ἁρμόζοντες, κακοστόμαχοι δὲ καὶ κεφαλαλγεῖς τοῖς καταχρωμένοις. 25. Κάρυα δὲ τὰ μὲν βασιλικά, ταῦτα καὶ κοινὰ καλούμενα, θερμὰ μὲν καὶ ξηρά, ἅπτονται δὲ κεφαλῆς τῶν συνεχῶς χρωμένων τούτοις. καὶ κακοστόμαχα δὲ ἄλλως καὶ δύσπεπτα, ἀμείνω δὲ μετὰ σύκων ἐσθιόμενα τάχιον συνεξαγόμενα. 26. Τὰ δὲ Ποντικὰ καλούμενα κάρυα, τῷ στύφειν μὲν εὐστόμαχα ἂν ῥηθείη,
111 δύσπεπτα δ' οὐχ ἥκιστα στεγανωτέρας οὐσίας πεφυκότα, καὶ γαστρὸς μᾶλλον ἐφεκτικά. Ἀμύγδαλα δὲ τούτων ἀμείνω, καὶ μάλιστα ὅ τε ἐξ αὐτῶν χυλὸς καὶ τὸ ἔλαιον. τὸ μὲν γὰρ λεαίνειν φάρυγγα καὶ τραχεῖαν ἀρτηρίαν καὶ εὐανάγωγα ποιεῖν τὰ ἐν τῷ στήθει ὑγρὰ πεπίστευται. ὁ δὲ χυλὸς αὐτῶν ἑψόμενος ἄριστον ῥόφημα, τρέφων τε καὶ λεπτύνων καὶ νεφροῖς βοηθῶν, καὶ σπλάγχνα καθαίρων καὶ θώρακα, οὐ πάνυ δὲ εὐστόμαχος. 27. Ὁλόκληρα δὲ λαμβανόμενα τὰ ἀμύγδαλα δύσπεπτα πέφυκε. τόν γε μὴν χυλὸν αὐτῶν εἰ παραμιγνύων ἐπτισμένῃ καὶ ἠψημένῃ κρίθῃ ἐσθίεις, ἢ τινι τοιούτῳ ἐδέσματι, μάλιστα δὲ τῷ ἀμύλῳ (τοῦτο γὰρ πάντων ἄμεινον, κουφότατόν τε ὂν καὶ εὔ-
93 πεπτον καὶ εὔχυμον καὶ καθαροῦ καὶ λεπτοῦ γεννητικὸν αἵματος), ἄριστον ἂν ποιήσαις ἔδεσμα. 28. Καὶ τὸν μὲν περὶ τούτων λόγον ἱκανὸν ὄντα βραχυλογεῖν ἐθέλοντες ὧδέ

πῃ καταπαύσωμεν· ἐφεξῆς δὲ περὶ τῶν λοιπῶν τροφῶν διαλάβωμεν. εἰ δέ πῃ τῇ κοινωνίᾳ τοῦ λόγου καὶ ὧν μὴ μεταληπτέον σοι μνημονεύσομεν, συγγνοίης ἂν ἄλλοις τοῦτ' ἐθέλουσι συγχωρήσας.

### Κεφ. ζ. Περὶ ζῴων χερσαίων καὶ ἐνύδρων καὶ πτηνῶν καὶ τῆς κατ' αὐτὰ διαφορᾶς.

1. Τῶν ζώων οὖν πολυειδῶν τελούντων τὰ μὲν αὐτῶν 112
χερσαῖα λέγεται, τὰ δὲ πτηνά, τὰ δὲ ἔνυδρα. ἕκαστα δ' αὐ-
τῶν εἰς μεγάλα τε καὶ μείω τῇ κατ' εἶδος διαφορᾷ μερίζε-
ται. καὶ τούτων ἕκαστον εἰς τὰς καθ' ἡλικίαν διαφορὰς
νεκρά τε καὶ ἀκμάζοντα καὶ γεγηρακότα φαινόμενα, ἔτι δὲ
αὐτῶν τὰ μὲν χειροήθη τε καὶ ἥμερα, τὰ δ' ἄγριά εἰσι
καὶ τὰ μὲν μᾶλλον γυμνάζεται, τὰ δ' ἧττον. 2. Ἀεὶ τοί-
νυν, ἄνωθεν γὰρ ῥητέον, τὰ μὲν χερσαῖα καὶ πεζὰ λεγό-
μενα θερμότερά τε καὶ πολυτροφώτερα καὶ παχυτέρου αἵ-
ματος γεννητικά, γυμναστικοῖς μᾶλλον σώμασιν ἐφαρμό-
ζονται· τὰ δὲ πτηνὰ δὲ ἐναέρια κουφότερα μὲν πολλῷ καὶ
οὐχ οὕτω πολύτροφα, ξηρότερα δέ πως καὶ ἰνωδέστερα καὶ 94
λεπτοτέρου αἵματος γεννητικά· ὅσα δ' ἐν ὕδασι διαιτᾶται
ὑγρότερά τε καὶ σαρκωδέστερα. 3. Ἔνυδρα δὲ ζῶα τῷ μὲν
κοινῷ λόγῳ ὑγρότερα πολλῷ τῶν ῥηθέντων καὶ ψυχρὰ ἤδη,
οὐκ ὀλίγας δὲ τὰς ἐν αὐτοῖς διαφορὰς κέκτηται. τὰ μὲν
γὰρ αὐτῶν ἰχθῦς εἰσι, τὰ δ' αὖ μαλάκια, ἕτερα δ' ὀστρα-
κόδερμα ὥσπερ ἕτερα μαλακόστρακα. 4. Καὶ τῶν ἰχθύων
οἱ μὲν κητώδεις καὶ πελάγιοι, οἱ δὲ αἰγιάλιοι καὶ πετραῖοι· 113
καὶ οἱ μὲν μείζους αὐτῶν πλείω τὴν τροφὴν τῷ σώματι
καὶ παχυτέραν παρέχουσιν, οἱ δ' ἐλάττους ὀλίγην καὶ κα-
θαρωτέραν, καὶ μᾶλλον ἢν τῶν πετραίων ὄντες τυγχάνω-
σιν. 5. Οὐκ ὀλίγα δ' ἂν λογίσαιο καὶ ἀπὸ τῆς κατ' αὐτοὺς
διαίτης. ἀεὶ γὰρ τῷ κοινῷ λόγῳ ἀμεινόνων ὄντων τῶν θα-
λαττίων τῶν ἐν γλυκέσιν ὕδασι διαιτωμένων, οὐκ ὀλίγας καὶ
τὰς κατ' αὐτοὺς ἂν μάθοις διαφοράς. 6. Οἱ μὲν γὰρ ἐν
πελάγεσιν ἀεὶ τὴν ἀνατροφὴν ποιούμενοι καὶ τοῖς κύμασι
πληττόμενοι πλέον τε γυμνάζονται καὶ καθαρωτέρας ἀπο-
λαύουσι τῆς τροφῆς, ἀμέλει καὶ στερεὰν ἐν ἰχθῦσι καὶ κα-
θαρὰν ἔχουσι τὴν σάρκα, ὅθεν καὶ τῶν ἄλλων τροφιμώτεροι 95

καὶ παχέος ἤδη αἵματος γεννητικοί. 7. Οἱ δὲ παρὰ τὰς
τῶν ποταμῶν εἰσβολὰς καὶ παρὰ τοὺς ἰλυώδεις καὶ ἑλώδεις
τόπους καὶ ἔνθα ἐκδιδόασιν ὀχετοὶ διαιτώμενοι, λιπώδεις μὲν
καὶ ἡδεῖς γευομένοις, πάνυ δὲ μοχθηροὶ μηδὲν ὑγιὲς ἔχοντες.
8. Οἱ δὲ πετραῖοι καθαροῖς ἐνδιαιτώμενοι ὕδασιν ἀμείνω καὶ
114 τὴν σάρκα ἔχουσι κοῦφοί τε ὄντες εἰς τὸ πεφθῆναι καὶ λεπτὸν
καθαρὸν γεννῶντες αἷμα. 9. Μαλάκια δὲ πάντα εἰς εὐχυ-
μίαν πολλῶν ἰχθύων ἀμείνω. λεπτοῦ γὰρ αἵματος καὶ κα-
θαροῦ γεννητικά, νευρωδέστερα δὲ καὶ διὰ τοῦτο καὶ δυσ-
πεπτότερα ἰχθύων ὄντα καὶ ψυχρότερα διὰ τὸ ἄναιμον
μαρτυρεῖται. 10. Ἐν τῷ μεταξὺ δὲ δι' ἰχθύων τε καὶ μα-
λακίων τὰ μαλακόστρακα πέφυκεν, ἧττόν τε ὄντα δύσπεπτα
τῶν μαλακίων καὶ καθαρώτερόν τε καὶ λεπτότερον αἷμα
γεννᾷ. 11. Τὰ δ' ὀστρακόδερμα ἧττον χρήσιμα, μηδ' ὁτιοῦν
γυμναζόμενα. ταῦτ' ἄρα καὶ προτιμῶσί τινες τοὺς κτένας
αὐτῶν ὡς μόνους ἀλλομένους τε καὶ μεταβαίνοντας τῶν
λοιπῶν ὀστρακοδέρμων. λεπτὸν δὲ καὶ ταῦτα καὶ ὑδατῶδες
αἷμα ἀπογεννᾷ, ἄλλως δὲ καὶ δύσπεπτα καὶ οὐ ῥαδίως ὑπερ-
χόμενα. 12. Αἱροῦνται δὲ καὶ τῶν ἰχθύων ὅσοις λεπίσιν
ἢ ὀστοῖς τὸ δέρμα περιπέφρακται. καὶ πείθομαι λέγουσι
96 μᾶλλον τούτους τῶν μὴ τοιούτων ξηροτέρους οἰόμενος. τὸ
γὰρ ἐν ὑγροῖς ξηρὸν πάντως ἂν ὡς σύμμετρον νομισθείη,
115 ὥσπερ καὶ τὸ ἐν ξηροῖς ὑγρόν, καθάπερ ἐν τῷ τῶν ὀρνίθων
γένει ἀλεκτορίδες τε καὶ φασιανοί, μᾶλλον δὲ τούτων νῆσ-
σαί τε καὶ χῆνες καὶ ὅσα ἐν ὕδασι ποιεῖται τὴν δίαιταν.
13. Ἐπεὶ δὲ γεώδη τε καὶ πολύαιμα τὰ χερσαῖα εἴρηται καὶ
παχύχυμα καὶ τοιαύτην τροφὴν τῷ σώματι δίδωσιν, αἱρε-
τέον κἀν τούτοις τὰ νεαρώτερα καὶ μείω τῇ κατ' εἶδος δια-
φορᾷ καὶ τὰ μὴ πάνυ γυμναστικά· τὰ μὲν γὰρ ἀργότερα,
ὑγρότερα καὶ περιττωματικά, τὰ δ' ἐπὶ πλέον γυμναζόμενα,
ξηρότερα καὶ κουφότερα. ἀεὶ δὲ φεύγειν ἐν πᾶσι τὰς ἀμε-
τρίας δεῖ. 14. Καὶ αὐτῶν δὲ τῶν κώλων τὰ ἔξω τῶν ἔσω,
καὶ τὰ μείω τῶν μειζόνων κατὰ τὴν φυσικὴν δηλαδὴ διά-
πλασιν ξηροτέραν τε καὶ ἀπέριττον τροφὴν παρέχει. 15. Δο-
κιμάζεται δ' αὐτῶν ἕκαστον καὶ ἀπὸ τοῦ τῆς σαρκὸς εἴδους.
ὅσω γὰρ τοῦ λευκοῦ ἀποκλίνει τῶν ζώων ἡ σάρξ, καὶ τὴν
εἰς εὐχυμίαν χρῆσιν ἐκπέφευγε. 16. Κοινῷ δὲ λόγῳ, τὰ

μὲν νεαρώτερα τῶν ὁμοειδῶν ὑγρότερα, τὰ δ' ἀκμάζοντα
θερμότερα καὶ ξηρότερα, τὰ δ' ἤδη γεγηρακότα καὶ ἀμ-
φοτέρων χείρω, μελαγχολικά τε ὄντα καὶ περιττωματικά,
καὶ μάλισθ' ὅσῳ περ ἂν ᾖ τῶν μειζόνων καὶ γυμναστικω- 116
τέρων. 17. Ἔτι δὲ καὶ τοῦτ' εἰδέναι χρή, ὡς τὰ ἄγρια τῶν
ἡμέρων θερμότερά τε καὶ ξηρότερα. καταλλήλως δὲ τὰ πάντα
προσφερόμενα, κατὰ τὴν ἁρμόζουσαν δηλονότι κρᾶσιν, οὐ-
δέν τι λυπεῖν πεπίστευται. 18. Ἔχεις δὲ καὶ τὸν περὶ 97
τροφῶν λόγον ἱκανῶς σοι ἐκτεθειμένον. ἐμπεριείληπται γὰρ
τῇ διαιρέσει ταύτῃ πᾶσα κατὰ μέρος διαφορά. καὶ οὐκέτι
σοι χρεία περὶ τῶν κατὰ μέρος εἰδῶν πυνθάνεσθαι, φιλο-
σόφῳ τε ὄντι καὶ ῥᾳδίως ταῦτ' ἐξευρίσκειν δυναμένῳ· νυνὶ
δ' ἂν λειπόμενον εἴη περί τε οἴνου καὶ τῶν λοιπῶν ὑγρῶν
φᾶναι, ὅσα ἡμῶν εἰς χρῆσιν πρόκειται, ὡς μηδέν τι τῷ
λόγῳ λείποι.

*Κεφ. η'. Περὶ οἴνου, ὕδατος, γάλακτος, ᾠῶν, μέλιτος, ἐλαίου, σιραίου, ὄξους, ὀμφακίου χυλοῦ, ῥοιῶν καὶ ἁλῶν καὶ τῆς κατ' αὐτὰ διαφορᾶς.*

1. Τῶν οἴνων οὖν (ῥητέον γὰρ ἐντεῦθεν πρώτως, ὅτι
καὶ πλείων ἡ χρῆσις τοῦδε) οἱ μὲν παχεῖς οἱ δὲ λεπτοί, καὶ οἱ
μὲν αὐστηροί, οἱ δὲ γλυκεῖς, καὶ τούτων οἱ μὲν λευκοί, οἱ δὲ
κιρροί, οἱ δὲ ἐρυθροί. τὰς γὰρ ἐν τῷ μεταξὺ διαφορὰς αὐτῶν
κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον οὔσας ἑκὼν παραλείπω. οὐ γὰρ
ἀνάγκη κατακερματίζειν ὧδε τὸν λόγον. 2. Τούτων δὲ οἱ
μὲν πολυφόροι λέγονται, οἱ δὲ ὀλιγοφόροι· καὶ οἱ μὲν πα- 117
χεῖς τροφιμώτεροι καὶ παχύτερον αἷμα γεννῶντες αἴτιοι
ἐμφράξεων τοῖς σπλάγχνοις γίνονται· τοὐναντίον δὲ οἱ
λεπτοὶ διουρητικοί τε ὄντες καὶ λεπτοῦ γεννητικοὶ αἵματος.
καὶ αὐστηροὶ μὲν ὄντες εὐστομαχώτεροί τε καὶ ἧττον τρέ- 98
φοντες· τἀναντία δὲ οἱ γλυκεῖς. 3. Ἀλλὰ δὴ καὶ οἱ λευ-
κοὶ ἧττον θερμοὶ τῶν ἄλλων. μᾶλλον μὲν γὰρ οἱ κιρροὶ
θερμοί, δεύτερον δὲ οἱ ἐρυθροί, πάντων δ' ἔσχατα οἱ ὑδα-
τώδεις, οἱ καὶ ὀλιγοφόροι· ἧττον δὲ κεφαλῆς ἅπτονται οὗτοι.
4. Καὶ τοῖς μὲν εὐσαρκεῖν ἐθέλουσιν οἵ τε κεχρωσμένοι
τῶν οἴνων καὶ οἱ ἰσχυρότεροι ἀμείνους. σοὶ δὲ πρόνοιαν
ἁπλῆς ὑγείας ποιουμένῳ καὶ τοῦ ψυχικοῦ τούτου πνεύμα-
τος, ἱκανὸς ἂν ὁ ὀλιγοφόρος λευκός τε ὢν καὶ λεπτὸς δό-

ξειεν, εἰ μή πού τις ἀνάγκη ψύξεως τοῖς θερμοτέροις σε
πείσει χρήσασθαι. 5. Ὕδατι δὲ χρηστέον μήτε ποιότητά
τινα ἔχοντι, μήτε στασίμῳ ὄντι, ὁποῖα τὰ τῶν λιμνῶν,
καὶ μάλιστα ἢν ἑλώδης τε καὶ ἀκατάπνευστος ὁ τόπος ᾖ,
ἀλλ᾽ ἢ τοῖς ἀπὸ τῶν κρηνῶν ἢ τοῖς συνεχῶς κινουμένοις
118 φρεατίοις· μετ᾽ αὐτὰ δὲ τὰ ποτάμια, ἢν μὴ καὶ αὐτοῖς
εἰσβάλλωσιν ὀχετοὶ πόλεις τινὰς ἢ χώρας ἐκπλύνοντες.
6. Φεύγειν δὲ πρὸ πάντων δεῖ τὰ πάνυ ψυχρά, καὶ τὰ ἀπὸ
τῶν χιόνων τηκομένων κατιόντα, καὶ τὰ ἐμφερόμενά τινα
99 ψήγματα ἔχοντα, καὶ τὰ ἰλὺν ἀποκαθιστῶντα, καὶ ἔτι τὰ
πλησίον αὐτοφυῶν θερμῶν ἐκρέοντα. 7. Ἄριστον δὲ ὕδωρ
τὸ ταχέως ψυχόμενον καὶ θερμαινόμενον, μήτε κατ᾽ ὀσμὴν
μήτε κατὰ γεῦσιν ὑπεμφαῖνόν τινα ποιότητα. 8. Γάλακτος
δ᾽ ἐκ διαφόρων οὐσιῶν συγκειμένου τῆς ὀρρώδους δηλαδὴ
καὶ βουτυρώδους καὶ ἔτι τῆς τυρώδους, τὸ μὲν ὀρρῶδες
αὐτοῦ ψυχρὸν ἤδη ὂν καὶ λαπακτικὸν γαστρός, καὶ ἄτρο-
φον καὶ ῥυπτικόν, ἐν φαρμάκου λόγῳ μόνον τούτῳ χρη-
στέον. 9. Θερμὸν δὲ ὂν καὶ οὐκ ἐμφανῶς βουτυρῶδες κα-
κοστόμαχον μέν, καλῶς δὲ πεφθέν, αἵματος γεννητικόν,
ῥαδίως δὲ χολοῦται θερμοτέραις ἐν ἕξεσι. τὸ δὲ τυρῶδες,
γεῶδές τε καὶ ἐμφρακτικὸν καὶ δύσπεπτον, καὶ μάλιστα ἢν
ἐμπεφραγμένοις σπλάγχνοις καὶ ἄλλως στενοπόροις ἐμπέσῃ.
119 10. Κοινῶς δὲ τὸ γάλα τρόφιμον καὶ εὔχυμον· κεφαλαλγὲς
δὲ τοῖς ῥαδίως πληρουμένοις τὴν κεφαλήν, καὶ οἷς τυροῦ-
ται, ἐμφρακτικὸν τῶν σπλάγχνων. αἱρετέον οὖν γάλα μὲν
τὸ αἴγειον, λεπτότερον ὂν προβατείου καὶ βοείου· τῶν τυ-
100 ρῶν δὲ τοὺς νεαροὺς καὶ ὀλίγον ἁλὸς ἔχοντας. τἄλλα δὲ
φευκτέον ὡς δύσπεπτα καὶ κακοστόμαχα καὶ ἐμφρακτικὰ
καὶ παχέος αἵματος γεννητικά. 11. Ὠιοῖς δὲ μάλιστα χρη-
στέον τοῖς τῶν κατοικιδίων ὀρνίθων, εἶτα φασιανικοῖς καὶ
περδίκων, μετ᾽ αὐτὰ δὲ νηττείοις δὲ καὶ χηνείοις. πάντων
δὲ ἀμείνους αἱ λέκυθοι τῶν λευκῶν. ἐκεῖναι μὲν γὰρ ἑτοίμη
καὶ καθαρὰ τροφὴ τῷ σώματι· ταῦτα δὲ δύσπεπτά τε καὶ
πολλῆς κατεργασίας δεόμενα. 12. Ἐξ ὧν δὲ περὶ τῶν ζώων
εἴρηται καὶ περὶ τῶν ἐξ αὐτῶν ᾠῶν δεῖ καταστοχάζεσθαι.
ἰχθύων δὲ ᾠὰ ἧττον πολλῷ καὶ θερμὰ καὶ τρόφιμα. καθόσον
γὰρ αἱ σάρκες τῶν ὀρνίθων πρὸς τὰς τῶν ἰχθύων διενηνό-

χασι, κατὰ τοσοῦτο καὶ τὰ τῶν ἰχθύων ᾠὰ τῶν ὀρνιθείων
λείπεται. τὰ δὲ ταριχευόμενα δύσπεπτά τε καὶ φθαρτικὰ
ἤδη τοῦ αἵματος· τοῦτο δὲ καὶ ἐπὶ παντὸς ταρίχους συν-
εξακουέσθω. σήπει γὰρ πᾶν τάριχος καὶ φθείρει τὸ αἷμα, 120
ὃ δεῖ πρὸ πάντων παραφυλάττεσθαι. 13. Μέλι δὲ χρήσι-
μον γέρουσί τε καὶ τοῖς τὴν κρᾶσιν ψυχροῖς, καὶ ὥρᾳ χει-
μῶνος προσφερόμενον· ἄθετον δὲ χολώδεσι, καὶ ὥρᾳ θέ-
ρους λαμβανόμενον. θερμὸν γὰρ ὂν καὶ ξηρὸν καὶ οἰκεῖον
κατὰ τὴν ἐν αὐτῷ γευστὴν ποιότητα, τοῖς μὲν ψυχροτέροις
τοῦ συμμέτρου λειπομένοις, καθόσον τοῦτο τὴν σύμμε-
τρον ὑπερβάλλει κρᾶσιν κἀκ τῶν ἀντικειμένων ἀμετριῶν
μίας συμμέτρου γεγονυίας κράσεως, αἵματος γεννητικὸν
εἰκότως γίνεται. δυοῖν δὲ ἐπὶ τὸ αὐτὸ συνελθούσαιν θερ- 101
μαῖν κράσεων μέλιτός τε καὶ ἀνθρώπου, ἀναγκαίως ἂν εἰς
χολὴν μεταμειφθείη τὸ γλυκὺ τοῦ μέλιτος τοῦ ἔξωθεν πυ-
ρὸς τὴν δυναστείαν ἐν ταῖς ὑπεροπτήσεσι κἀνταῦθα ὑπο-
μένον. 14. Ἔνιοι δ' ἀπαφρίζοντες αὐτὸ καὶ τὸ πολὺ τῆς
δριμύτητος ἐκκαθαίροντες ἧττον θερμὸν ποιοῦσι. τοῦτ'
οὖν καὶ αὐτὸς ποιῶν καὶ προσεπιμιγνὺς ἐνίαις τῶν κατά
σε τροφῶν, εἰ μή τις θέρμη ἀνθέλκει ἀπειλοῦσα, ἀρίστῳ
φαρμάκῳ χρήσῃ τρέφοντί τε καὶ ἠπίως τὴν γαστέρα καθαί- 121
ροντι. 15. Ἔλαιον δὲ θερμὸν ὂν μετρίως καὶ ὑγρὸν τῷ
λιπῶδες εἶναι κακοστόμαχον πέφυκε. κοινὸν δὲ τοῦτο τῆς
ἐλαιώδους καὶ λιπώδους ποιότητος· ὥστε μέτριον μὲν βαλ-
λόμενον ἐν προσοψήμασιν, οὐκ ἐμφανῶς τὴν ἑαυτοῦ δεί-
κνυσι βλάβην, πλεονάσαν δὲ ἐπιπολαστικῆς ὂν φύσεως,
τὴν καθεκτικὴν ἀμβλύνει τοῦ στομάχου δύναμιν. 16. Τὸ
δὲ ἀπὸ λίνου γινόμενον ἧττόν τε ὂν θερμὸν καὶ γλισχρό-
τερον καὶ παχυμερέστερον ῥᾷόν τε ὕπεισι καὶ ἧττον ἀδι-
κεῖν τὸν στόμαχον νομίζεται. ἄμεινον δ' ἀμφοτέρων τὸ
ἀμυγδάλινον, λεπτομερεστέρας τε ὂν φύσεως καὶ ἧττον
κακοστόμαχον, τμητικόν τε καὶ ἀναγωγὸν τῶν ἐν τῷ θώ-
ρακι ὑγρῶν καὶ λεαντικὸν τοῦ φάρυγγος. 17. Σείραιον δὲ 102
καὶ αὐτὸ μὲν φέρεται ἐν προσοψήμασιν· ἧττον δὲ ὂν μέ-
λιτος θερμόν, μᾶλλον τρέφει. ὑπάγει δὲ καὶ τὴν γαστέρα
μετρίως, ἐμπεφραγμένοις δὲ σπλάγχνοις οὐκ εὔθετον.
18. Ὄξος δὲ χρήσιμον ἐν τροφαῖς προσεπιμιγνύμενον, εἰ

μή τις ψύξις ἐνοχλοίη. τοῦτο γὰρ ψυχρὸν ὂν καὶ ξηρόν, λεπτομερέστατόν τε καὶ τμητικώτατον, τοὺς ἐμπεπλασμένους τῇ γαστρὶ καὶ τοῖς σπλάγχνοις χυμοὺς τέμνει καὶ λεπτύνει καὶ ἀποξύει. κἂν πού τις τροφὴ παχυμερὴς προσληφθείη, λεπτύνεταί τε καὶ κατεργάζεται περιουσίᾳ τῆς τοῦ ὄξους δυνάμεως. 19. Ὀμφάκιον δὲ καὶ ὁ τῶν ὀξίνων ῥοιῶν χυλὸς ἐν μὲν φαρμάκου λόγῳ διδόμενα, εὔθετα, ἄλλως δ' οὐκ ἀναγκαῖα. τὸ μὲν γὰρ ὀμφάκιον κἂν εὐστόμαχον ᾖ, ἀλλ' οὖν παχυμερὲς ὂν καὶ ψυχρὸν καὶ γαστρὸς ἐφεκτικόν, οὐ πᾶσι φαίνεται χρήσιμον. 20. Ὁ δ' ἐκ τῶν ὀξίνων ῥοιῶν χυλός, ἱκανῶς ὢν λεπτομερὴς καὶ ξανθῇ χολῇ ἐναντίος καὶ μάλιστα ζέοντι αἵματι καὶ θέρμῃ ἥπατος, οὐ πάνυ τι τῷ στομάχῳ φίλος. τοῖς καταχρωμένοις δὲ γαστρὸς ἐφεκτικὸς γίνεται, ἐγκαταμεμιγμένην τινὰ τῇ ὀξώδει ποιότητι ἔχων στυφότητα. 21. Ἅλες δὲ θερμὸν ὂν καὶ ξηρὸν
103 προσόψημα καὶ μετρίως διεγεῖρον ὄρεξιν, ὅπῃ μὲν πλεονάζουσί τινες χυμοί, τῷ ἀναπίνειν τε καὶ ἀναξηραίνειν τούτους, εὔθετοι· ἄλλως δὲ ξηραντικῶν καὶ διψητικῶν καὶ φθαρτικῶν τοῦ αἵματος ὄντων, φεύγειν αὐτῶν τὴν συνεχῆ χρῆσιν ἄμεινον. ταῦτα γὰρ ὡς ἐν ἀρτύματι τροφῆς καὶ
123 ὡς ἡδύσματα βαλλόμενα, μικρὰς μὲν τὰς ἐξ αὐτῶν βλάβας ποιεῖται, πλεονάσαντα δὲ ἔτι μᾶλλον λυμαίνεται.

Κεφ. θ'. Περὶ τοῦ ποσοῦ τῆς τροφῆς.

1. Ποσὸν δὲ ἐν πάσῃ τροφῇ τὸ δοκεῖν ἔτι τινὸς λείπεσθαι. οὕτω γὰρ ἂν ἐκ περιουσίας τὸ φυσικὸν θερμὸν τῶν ἐν τῇ γαστρὶ σιτίων περιγένοιτο. 2. Ἐπιτηρεῖν δὲ δεῖ καὶ τὰς τῶν τροφῶν δυνάμεις, καὶ ἰσχυροτέρων μὲν οὐσῶν καὶ πολυτρόφων ἐπὶ πλέον τῆς ὀρέξεως ἀφίστασθαι, ὀλιγοτρόφων δὲ καὶ κουφοτέρων μᾶλλον ἐμπίπλασθαι. τὰ μὲν γὰρ πλείονος τοῦ χρόνου καὶ δυνάμεως δεῖται, τὰ δ' αὖ ῥᾳδίως ὑπέξεισιν. ἀνασώζειν δὲ καὶ τὸ πόμα δεῖ σε τῇ θ' ὑγρότητι καὶ τῇ ξηρότητι τῆς τροφῆς τεκμαιρόμενον.

104 Κεφ. ι'. Περὶ τοῦ εἰ δὶς βρωτέον τῆς ἡμέρας, ἢ μή.

1. Ἐπεὶ δὲ πυνθάνῃ, ὡς πότερον ἅπαξ ἢ δίς σε τῆς τροφῆς ἑκάστοτε δέον μεταλαμβάνειν, τἄμεινον εἰς ὑγίειαν

καὶ διάρκειάν τε καὶ διαύγειαν τοῦ ψυχικοῦ προορώμενον
πνεύματος, ἐγὼ μὲν ἄμεινον οἶμαι τὴν πᾶσάν σε τροφὴν
τρισὶ διελόμενον μοίραις, ταῖς μὲν δυσὶ μέσης ἡμέρας
κεχρῆσθαι, τῇ μιᾷ δὲ ἤδη καταλαμβανούσης τῆς νυκτός.
2. Οὕτω γὰρ ὅ τ' ἐγκέφαλος συνεχέστερον τέγγεται, καὶ
ῥᾷον ὑπνώττομεν, καὶ διαρκέστερον τὸ πνεῦμα τελεῖ συν- 124
εχῶς ἀρδόμενον· καὶ τὸ ἐκπυροῦσθαι δὲ ὑπὸ νηστείας καὶ
ἄλλοτε ψύχεσθαι (συμβαίνει γὰρ ἀμφότερα ἐν διαφόροις
καιροῖς καὶ κράσεσιν) οὐχὶ ῥᾳδίως ἂν γίνοιτο. 3. Εἰ δ' ἐκ-
νικώη συνήθεια, καὶ μὴ δὶς περὶ τῶν αὐτῶν φροντίζειν
ἐθέλεις, ἔξεστί σοι τῇ συνηθείᾳ κεχρῆσθαι, εἰς ἕξιν ἤδη
μεταστησάσῃ τὰς φυσικὰς δυνάμεις, ὡς ἀλύπως ταύτας διὰ
τοσαύτης ἐνεργεῖν περιόδου. καὶ ἔτι δὲ εἰ μὴ διαρκέστερον,
ἀλλ' οὖν διαυγέστερον ἐσεῖται τὸ πνεῦμα, καθὼς ἑξῆς ἀνα- 105
λαβὼν τὸν λόγον ἐκθήσομαι.

*Κεφ. ια'. Περὶ ὕπνων, γυμνασίων καὶ λουτρῶν.*

1. Ὕπνοι δὲ μετὰ τροφὴν, ὑγραίνειν τὸ ὅλον σῶμα
καὶ τὰ βαθύτατα τοῦ σώματος τέγγειν πεπίστευνται καὶ
ἀναζωπυρεῖν τὰς ἐν ἡμῖν δυνάμεις καὶ ἀνακαινίζειν τὰ
αἰσθητήρια καὶ ἔτι τὸ φυσικὸν καὶ ζωτικὸν καὶ ψυχικὸν
πνεῦμα καὶ ὥσπερ νέον τὸ ἅπαν σῶμα παρασκευάζειν.
πρὸ δὲ τροφῆς, ξηραίνειν τε καὶ ἐσβόσκεσθαι πᾶσαν τὴν
ἐν ἡμῖν ἰκμάδα, ἔντος χωρήσαντος τοῦ θερμοῦ. 2. Οὐδὲν
γὰρ ἕτερον ὕπνος ἢ κατοχὴ αἰσθήσεως ἄλυπος, καὶ εἴσω
τοῦ θερμοῦ ῥοπή, ὥστε ἱκανῆς μὲν αὐτῷ παρακειμένης
τροφῆς. ταύτην κατεργάζεται τὸ θερμὸν καὶ τῷ παντὶ 125
διαδίδωσι σώματι. κἂν ὠμοί τινες ὦσι χυμοὶ καὶ ἄπεπτοι,
τὰ παραπλήσια γίνεται. καὶ ἀμείνους ὧδε οἱ πρὸ τροφῆς
ὕπνοι. μὴ παρακειμένης δὲ τροφῆς, τῶν οἰκείων καὶ φυ-
σικῶν ὑγρῶν ἅπτεται τὸ φυσικὸν θερμὸν καὶ ταῦτα ἐκ-
δαπανᾷ. 3. Ἀμέλει δεῖ τὸν καθευδήσοντα ἀεί τι μικρὸν
ἢ μεῖζον ἐντιθέναι ὑπέκκαυμα τῷ θερμῷ, εἰ μὴ πρὸ ὀλί-
γων τοῦθ' ὡρῶν πεποίηκεν. ὃ δὴ τῇ κατά σε διαίτῃ ἄμει-
νον, ἤδη κατεργασθείσης τῆς τροφῆς καὶ τοῦ ἐν αὐτῷ
ἀτμώδους καὶ φυσώδους διαφορηθέντος, ὡς ἀκραιφνέσιν
ἤδη τέγγεσθαι τὸν ἐγκέφαλον ἀναδόσεσιν, εἰ μή πού γε 106

ξηροτέρου ᾐσθημένος αὐτοῦ, εὖ ποιῶν ἅμα τροφῇ εἰς ὕπνον τρέπεσθαι βούλει. οὕτω γὰρ ἂν αὐτὸν ὑγρότερον παρασκευάσαις. 4. Καὶ ὕπνοι μὲν καὶ ἀϋπνίαι σύμμετροι μὲν φίλοι καὶ λυσιτελεῖς τῷ παντὶ σώματι κατὰ τὴν ἑκάστου ἕξιν τε καὶ δίαιταν διοικούμενοι, ἐλλείποντες δὲ ἢ πλεονάζοντες ἀδικεῖν πιστεύονται. 5. Ἀγαθὸν δὲ μετὰ τῆς λοιπῆς διαί-
126 της καὶ τὸ γυμνάσιον. τό,τε γὰρ φυσικὸν ἀνάπτεται ὧδε θερμόν, κἄν πού τι περιττὸν ᾖ, ἤτοι διαπνεῖσθαι τοῦτο παρασκευάζει, ἢ κάτω ὑποχωρεῖν βιάζεται. 6. Καὶ τοῖς μὲν ἰσχυροτέρᾳ κεχρημένοις τροφῇ ἀμείνω τῶν γυμνασίων τὰ σφοδρότερα καὶ οἱ ὀξεῖς περίπατοι καὶ κυνηγεσίαι καὶ πάλαι καὶ δρόμοι καὶ δίσκοι καὶ τὸ διὰ μικρᾶς σφαίρας γυμνάσιον καὶ πᾶν ὅ,τι ἂν ἄλλο οἰηθῇς ἱκανὸν εἶναι σφοδρότερον ἀναπνοὴν ἀλλοιῶσαι, καὶ ἐπαυξῆσαι θέρμην, καὶ ἰκμαλέον ἤδη ἐμποιῆσαι τὸ δέρμα λεπτοῖς ἱδρῶσι. 7. Σοὶ δὲ οὕτω λεπτῇ κεχρημένῳ διαίτῃ, ἱκανὸν ἂν δόξαι γυμνάσιον καὶ βραχὺς περίπατος, καὶ μάλιστα ὁ πρὸ τροφῆς καὶ ἕωθεν· καὶ σχολαιότερος μὲν καὶ μείων ἐπὶ τὸ θερμότερον ἀποκλινούσης τῆς ὥρας, συντονώτερος δὲ καὶ μακρότερος
107 χειμῶνος ὥρᾳ. ἀεὶ δὲ μέχρι τοσούτου σοι τῶν γυμνασίων ἀποπειρᾶσθαι προσήκει, μέχρις ἂν μηκέτι κόπον ἐμποιῇ τὸ γυμνάσιον, ᾐσθημένος δ' ἤδη κόπου τινός, λήγειν τῶν γυμνασίων. 8. Τὰ δὲ μετὰ τροφὴν γυμνάσια ἤτοι προκατασπᾷ τὴν τροφὴν καὶ ἐλλιπῆ ταύτης ποιεῖται τὴν ἀνά-
127 δοσιν, ἢ φθάνουσιν αἱ φλέβες τῇ ἐπιδόσει τοῦ θερμοῦ καὶ τῇ εἰς τὴν ἐπιφάνειαν τῆς ὕλης ῥοπῇ προαρπάζουσαι τῆς πέψεως σιτία καὶ ὠμοχυμίας θησαυρίζουσαι ἐν τῷ βάθει τοῦ σώματος. πάντα δὲ ταῦτα προκαταβολαὶ μεγίστων γίνεται νοσημάτων. 9. Βαλανεῖα δέ, εἴπερ τι ἕτερον, χρήσιμα, τέγγοντα μὲν τὰ στερεὰ τοῦ σώματος μέρη, τοὺς πόρους δ' ἀναπεταννύντα, καὶ πᾶν ὅ,τι ἐν αὐτοῖς ἐμπεπλασμένον λεπτύνοντά τε καὶ ἐξάγοντα. 10. Σοὶ δὲ καὶ μᾶλλον αἱρεῖσθαι ταῦτα προσήκει πρὸ πάσης ἄλλης διαίτης, ἀπερίττῳ τε καὶ ὑποξήρῳ κεχρημένῳ σώματι, τῇ συντρόφῳ δηλαδὴ νηστείᾳ τε καὶ λιτότητι, τοιοῦτον αὐτὸ ἀπεργασαμένῳ· τοὺς γὰρ πολυσαρκίᾳ κεχρημένους ἢ πολλοὺς τεθησαυρισμένους ἔχοντας χυμοὺς μᾶλλον ἂν βλάψειε μὴ

γεγονότα δεόντως. προκεκενωμένοις μὲν γὰρ ἤδη ἂν ἐν-
θείη τὴν κατ᾽ αὐτὰ ὠφέλειαν, τέγγοντα καὶ ἀναπεταννύντα
τοὺς πόρους, καὶ ἱκανὴν ποιοῦντα διαφόρησιν· πεπληρω- 108
μένοις δὲ φθάνει πρὶν ἢ διαφόρησιν ἀξιόλογόν τινα ἐμ-
ποιῆσαι, ἀναλύοντα καὶ ἐκπυροῦντα τοὺς ἐντὸς χυμοὺς
καὶ τοὺς τέως ἡσυχάζοντας ἀνακυκῶντα καὶ θερμαίνοντα. 128
**11.** *Αὐτομάτοις* δὲ θερμοῖς οὐκ ἄν ποτε συμβουλεύσαιμι
χρήσασθαί σε μάλιστα ξηραίνουσι. νιτρώδη γὰρ ὄντα καὶ
στυπτηριώδη καὶ χαλκανθώδη μᾶλλον ἀνικμᾶται ἢ ἐντίθη-
σιν ὑγρότητα. ἀμέλει τοὺς καχεκτοῦντάς τε καὶ οἰδαλέους
καὶ εἰς ὕδερον ἐμπεσεῖν ὑποπτευομένους ἐκεῖσε οἴχεσθαι
προτρεπτέον. ὑγιαίνουσι δὲ καὶ μάλισθ᾽ ὑποξήροις τε καὶ
ἐνθέρμοις ἀνθρώποις πάνυ ἄθετα. **12.** *Ἀλλ᾽* ὁ μὲν περὶ
τούτων λόγος ὧδέ πῃ καὶ ληγέτω ἱκανῶς τοῖς ἐξ ὀλίγων
πλείω μαθεῖν δυναμένοις ἐκτεθειμένος. **13.** *Ἐπεὶ* δέ τινες
ταῖς θύραθεν ἀνάγκαις ἢ ἀκρατέσιν ὀρέξεσιν, ἢ ταῖς τῶν
ὡρῶν μεταβολαῖς, ἢ τισι πλημμελήμασι καὶ διαφόροις αἰ-
τίαις ἀδιαφόρως διατεθέντες λανθάνουσι τὴν καθαρὰν αὑ-
τῶν ὑγίειαν ἀπολλύντες δυσκρασίαις τισὶ καὶ κατάρροις καὶ
ἀπεψίαις καὶ ἐμφράξεσι, καὶ ταῖς ἀλόγοις κενώσεσι καὶ πλη-
ρώσεσι, βοηθητέον καὶ τούτοις τῷ λόγῳ, ὡς μὴ τύχοιεν 109
ἀγνοίᾳ τοῦ δέοντος ἀπολέσαντες τὸ πᾶν τῆς ὑγιείας καὶ 129
μείζοσιν ἑαυτοὺς ἐμβάλλωσι πράγμασι.

### Κεφ. ιβ΄. Περὶ δυσκρασιῶν.

**1.** *Τοῖς* οὖν ἀπὸ ψιλῆς ἐνοχλουμένοις δυσκρασίας φυ-
λακτέον μὲν πρώτως τὰ προκατάρξαντα αἴτια, ἔπειθ᾽ οὕτω
τοῖς ἐναντίοις βοηθητέον. **2.** *Καὶ* θέρμης μὲν πλεονεκτού-
σης, ἀφαιρετέον τοῦ τ᾽ οἴνου καὶ τῶν παχυτέρων τροφῶν,
καὶ ἐγκρατείᾳ τε καὶ ἡσυχίᾳ τὸ πλέον δοτέον. ψύξεως δὲ
τοῖς ἐναντίοις βοηθητέον. καὶ ὑγραινούσαις δὲ διαίταις
ἀναληπτέον τοὺς ἐξηραμμένους, ὥσπερ αὖ τοὺς ὑγροτέρους
διὰ τῶν ἐναντίων ἀκτέον. **3.** *Καὶ* τῶν μὲν ἐν τροφῆς εἴδει
λαμβανομένων τὴν δύναμιν ἔχεις ἀνωτέρω ῥηθεῖσαν· εἴ
τινος δὲ καὶ φαρμάκου δέοι, ὕστερον ἐπιθήσομεν τῷ λόγῳ.
χυμῶν δέ τινων ἀκμασάντων τῷ χρόνῳ διά τινα πλημμε-
λήματα, ταῖς ἐναντίαις μὲν καὶ ὧδε χρηστέον διαίταις τῶν

*κατεχόντων παθῶν. οὐχ ἥκιστα δὲ καὶ τοῖς ὅσον οὔπω
ῥηθησομένοις. 4. Καὶ χολὴ μὲν ἐπικρατοῦσα ξανθὴ ἢν
μὲν ἄνω ῥέπῃ καὶ ῥᾴδιόν σοι ἐμεῖν, πειρῶ. εἰ δ' ἐμπέ-
110 πλασται παλαιὰ οὖσα καὶ σεσηπυῖα, καὶ προσίσχεται εἰς
τὸ τῆς γαστρὸς βάθος, μή τινος πυρετοῦ ἐνοχλοῦντος, τοῖς
130 δι' ἀλόης ταύτην κενωτέον καταποτίοις. ἢν δὲ πάνυ ζέουσα
ᾖ καὶ πυρετὸν ἤδη ἀνάπτῃ, καὶ μὴ διαίταις μόναις ἐθέλῃ
ὑπακούειν, καλὸν μὲν ὧδε ψύχειν καὶ ὑγραίνειν, καὶ τὸ
διὰ τῶν ἴων ἢ ὄξους καὶ χυλοῦ ῥοιῶν ἢ ῥόδων σκευαζόμε-
νον μετὰ τοῦ καλουμένου σάχαρ πίνειν. ἄμεινον δὲ προσ-
ισχομένην καθαρτικοῖς ἐξάγειν φαρμάκοις. 5. Φλέγματος
δὲ τοῦ ἐνοχλοῦντος ὄντος, ταῖς τε θερμοτέραις χρηστέον
διαίταις καὶ ἀντιδότοις καὶ ἐμέτοις ἢν ἐπιπολάζῃ ταῦτα καὶ
καταποτίοις, οἷς ἐρῶ, φλέγμα μετρίως ὑπεξάγουσιν. 6. Αἵ-
ματος δὲ τοῦ ἐνοχλοῦντος ὄντος, τί ἂν εἴη φλεβοτομίας
ἄμεινον; 7. Ὅτι δὲ χολῆς μὲν ἐπικρατούσης ἄλγη ἔσθ'
ὅτε κεφαλῆς καὶ στόματος πικρότητες καὶ σκοτόδινοι καὶ
δίψαι καὶ ποτοῦ μὲν ὄρεξις, τροφῆς δ' οὔ, φλέγματος δὲ
τἀναντία μετὰ τοῦ τῆς κεφαλῆς ἔσθ' ὅτε βάρους, ὥσπερ
ἀνωτέρω περὶ τούτων καθαρώτερον εἴρηται, καὶ πρὶν ἢ
φᾶναι ἡμᾶς, ἔχεις καὶ αὐτὸς ταῖς εὐφυέσι σου διαγνώσεσιν
ἐξευρίσκειν. 8. Κόπου δὲ αἰσθέσθαι τινὰ περὶ τὸ σῶμα
καὶ μάλιστα περὶ τοὺς πόδας καὶ ταῦτα μὴ κεκμηκότος
131 τοῦ σώματος, ὀργᾶν τινα χυμὸν σημαίνει. καὶ δεῖ σε
111 τῆς μὲν τροφῆς τὸ ποσὸν ὑφαιρεῖν καὶ τὴν ποιότητα ἐξ-
αλλάττειν εἰ δέοι, καθαίρειν δὲ τὸ σῶμα τοῦ πλεονάζοντος
ἐκκενουμένου χυμοῦ. 9. Ἀπεψίας δὲ ἐνοχλησάσης διὰ μὲν
τὸ ποσὸν ἀφελέσθαι δεῖ τι τοῦ προσαγομένου ποσοῦ· διὰ
δὲ τὴν ποιότητα, ἐπ' ἄλλο εἶδος μεταβαίνειν τροφῆς, ὥσπερ
καὶ ψύξεως, διὰ τῶν θερμοτέρων ἐπαναλαβεῖν καμοῦσαν
τὴν δύναμιν. 10. Κατάρρουν δὲ μετοχετεύειν ἐρρίνοις καὶ
τὰ φθάσαντα κατενεχθῆναι θερμοῖς μετρίως καὶ ἀναγω-
γοῖς φαρμάκοις ἐξάγειν, πάντας δὲ ἤδη πυρέττοντας καὶ
αἵματος ἀφαιρεῖν, εἰ μή τι ἕτερον ἀπείργει· καὶ λεπτῇ
διαίτῃ χρηστέον. 11. Καὶ τοῦτο μὲν ἤδη πραγματείας
ἑτέρας· ἵνα δὲ ἐκ τῶν ἐκκρινομένων ἔχῃς διαγινώσκειν, καὶ
περὶ τούτων, ὅσον εἰκός, μνημονεύσομεν.*

*Κεφ. ιγ'. Περὶ τῆς ἐκ τῶν οὔρων ἐπισκέψεως.*

1. Οὖρον οὖν ἄριστον τῷ κατὰ πάντα συμμέτρῳ ἀν-
θρώπῳ ὑπόξανθον ἢ ὑπόπυρρον, λευκὴν καὶ λείαν καὶ
ὁμαλὴν τὴν ὑπόστασιν ἔχον. 2. Καὶ τούτου ὥσπερ κανό-
νος κειμένου, τὰ κατὰ πλάτος θεωρούμενα τῷ τῶν ἀνθρώ-
πων γένει οὖρα δοκιμάζεται. σὺ δ' ἅμα τῷ σαυτοῦ, ὁπό-
ταν ἄμεινον διάγῃς, τὰ λοιπά σοι οὖρα ἀνεξετάζων, βραχύ 112 132
τι ἂν ἐντεῦθεν κρίνων διαμάρτοις. 3. Τὰ τοίνυν λεπτὰ
τῇ συστάσει οὖρα τὴν τῶν χυμῶν σημαίνει ἀπεψίαν, ἔσθ' ὅτε
δὲ καὶ δι' ἐμφράξεις φαίνεται τοιαῦτα, τῷ οἷον διυλίζεσθαι·
τὰ δ' αὖ παχύτερα ἐπικεχειρηκέναι μὲν τῇ πέψει τῶν χυμῶν
τὴν φύσιν, μήπω δὲ κεκρατηκέναι, καὶ διὰ τοῦτ' ἔτι αὐ-
τοὺς ὀργᾶν. ἄμεινον δὲ ἅμα τῷ ἐκκριθῆναι ἀναθολοῦσθαι
ταῦτα, ἢ πλείω παραρρέειν χρόνον. 4. Καὶ τὰ μὲν πρὸς
τὸ λευκότερον ῥέποντα τῶν χρωμάτων ἐλλείπειν τὴν φυ-
σικὴν θέρμην σημαίνει, καὶ τοὺς χυμοὺς ἐντεῦθεν ἐλλι-
πῶς πέττεσθαι. καὶ καθόσον ἂν τὸ σύμμετρον τῶν χρω-
μάτων τὰ ἐξουρούμενα φεύγωσι, καὶ τῆς κατὰ τὴν ἀνα-
λογοῦσαν κρᾶσιν ὑγείας ἀφίστανται. ὅσα δ' ἐπὶ τὸ μᾶλλον
κεχρωσμένα χωρεῖ, ἀναλόγως τοῖς προτέροις ἐπὶ τὸ θερ-
μότερον ῥέπει. 5. Ἱκανὰ δὲ ἄρα καὶ τὰ χρώματα τοὺς
μᾶλλον ἀκμάζοντας τῶν χυμῶν ὑποσημᾶναι. πυρρὰ μὲν
γὰρ καὶ ὑπέρυθρα καὶ ἐρυθρά, αἱματικοῦ ἀκμάζοντος χυ-
μοῦ μᾶλλον οὖρα. ξανθὰ δὲ τῆς τοιαύτης χολῆς. κεχρωσομέ- 133
νης δὲ καὶ τῆς ὑποστάσεως, ἐκεῖνον λέγομεν ἐν τῷ φλε- 113
βώδει γένει τὸν χυμὸν ἀκμάζειν, οὗπερ αὕτη μετέχει
χρώματος. τραχυνομένη δὲ καὶ διασκεδαζομένη ὑπ' ἀλλο-
τρίων πνευμάτων σημαίνει διαλύεσθαι. εἴτε δὲ ψυχρὰ εἴτε
θερμὰ ἐκ τῆς ὅλης τοῦτ' ἀναφαίνεται τῶν οὔρων θεωρίας.
μὴ ὁμαλῆς δὲ οὔσης, πλημμέλειαί τινες περὶ τὴν δίαιταν
οὖσαι, ἤ τινες τῶν πλανητῶν πυρετῶν, ἀσύμφωνον ποιοῦσι
τὴν ὁμαλότητα. 6. Οὐ δεῖ δ' ἀγνοεῖν, ὡς ὠμῶν ἐν τοῖς
οὔροις συνεκκρινομένων χυμῶν, ᾠήθησάν τινες τῷ ὑφιζά-
νειν τούτους ὑποστάσεις εἶναι. ἀλλ' οἵδε μὲν τῷ χρόνῳ
πεττόμενοι, ἐπὶ τὰ ἄνω χωροῦσι καὶ τέλος ἀφανίζονται.
7. Αἱ δὲ κατὰ φύσιν ἐναιωρούμεναι μὲν ἢ ἐπινέφελοι φε-
ρόμεναι, μὴ πάνυ τι κεκρατηκυίας τῶν χυμῶν δυνάμεως

τεκμήρια. ὑφιζάνουσαι δὲ ἀσφάλειάν τε καὶ ὑγείαν τῷ φλεβώδει προμνηστεύονται γένει. ἐπὶ τὰ χείρω δὲ τρεπόμενα χρώματα αὗταί τε καὶ τὰ χύματα, ἐκείνους τῶν χυμῶν
134 ἀκμάζειν σημαίνουσιν, ὧν φέρουσι καὶ τὰ χρώματα. 8. Καὶ περὶ μὲν τούτων ἰδίᾳ μὲν ἀκριβέστερον ἐν ἑπτὰ βιβλίοις γέγραπται, τάς τε διαφορὰς καὶ διαγνώσεις καὶ αἰτίας καὶ προσέτι τὰς ἐξ αὐτῶν προγνώσεις ἐκδεδωκόσι· σοὶ δ' ἔξεστι καὶ ἀπὸ τῶν ἤδη διὰ βραχέος ῥηθέντων, τὰς παρατροπὰς εἰδέναι τῆς ὑγείας.

114 *Κεφ. ιδ΄. Περὶ διαχωρημάτων διαγνώσεως.*

1. Ἑξῆς οὖν καὶ περὶ διαχωρημάτων ὀλίγ' ἄττα διαληπτέον, ὡς ἂν πληρέστερος ὁ λόγος ᾖ. διαχώρημα τοίνυν ἄριστον, μαλθακὸν καὶ λεῖον, ὑπόπυρρον ἢ ὑπόξανθον, καὶ ἀναλογίαν ἀποσῶζον πρὸς τὰ εἰσαγόμενα. καθόσον δ' ἂν ἐκσταίη τοῦ ὅρου, σημαίνει καὶ τὴν κρᾶσιν μεταβεβλῆσθαι, ἢ τοῦ παντὸς σώματος, ἢ αὐτῆς τῆς γαστρός, ἢ τῶν ἐντέρων. 2. Καὶ ψύξεως μὲν ἐπιλαβούσης, πρὸς τὸ λευκότερόν τε καὶ ὑγρότερον χωρεῖ τὰ διαχωρήματα· θέρμης δέ, πρὸς τὸ ξανθότερον καὶ πυρρότερον. ἐλλεῖπον δὲ τοῦ προσήκοντος ποσοῦ, ἢ πλείοσι γυμνασίοις συνδιαφορεῖται, ἢ εἰς οὖρα μετοχετεύεται, μηδενὸς δὲ τοιούτου ὄντος, ἐντὸς ἐναπειλῆφθαι τὴν κόπρον σημαίνει, ἣν ἐξάγειν προσήκει βαλάνοις τε καὶ κλύσμασιν. 3. Ἢν δὲ πλείω τὰ φερόμενα
135 ᾖ τῶν ἀναλογούντων ταῖς τροφαῖς, ἢ τὴν ἀνάδοσιν ἐλλιπῆ γίνεσθαι, ἢ διά τινα χυμὸν δακνώδη τὴν γαστέρα τε καὶ τὰ ἔντερα ἐρεθίζεσθαι. 4. Καὶ συνήθων μὲν χρωμάτων φαινομένων, μέτριον τὸ κακόν· τὰ δὲ πολύχροα καὶ αἱματώδη καὶ ξυσματώδη, καὶ μετ' ὀδύνης ἐξιόντα ἢ τει-
115 νεσμοῦ, εἴδη μειζόνων ἀρρωστημάτων· καὶ ἄλλης τοῦτο πραγματείας. 5. Ἐν πάσαις γε μὴν κενώσεσι τουτὶ δεῖ σκοπεῖν [καθ' Ἱπποκράτην]· ὡς ἢν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, συμφέρει τε καὶ εὐφόρως φέρουσιν· ἢν δὲ μή, τοὐναντίον. καὶ τοῦτ' ἔχε ἀκριβὲς τεκμήριον ἔν τε ταῖς αὐτομάτοις κενώσεσι καὶ ταῖς ἀπὸ τῆς τέχνης πεποιημέναις.

*Κεφ. ιε'. Περὶ τῶν σφυγμῶν καὶ τῆς ἐξ αὐτῶν διαγνώσεως.*

1. Λείπεται δ' ἤδη μέτρια καὶ περὶ σφυγμῶν φάναι.
τῆς τοίνυν θέρμης ἐπιδούσης καὶ ἀλλοιωσάσης τὴν καρ-
δίαν, μείζους οἱ σφυγμοὶ τῆς καθ' αὐτοὺς συμμετρίας
φαίνονται. ἐπὶ πλέον δ' ἐπιταθείσης, καὶ τάχος προσκτῶν-
ται. ἢν δὲ μὴ χωρῇ τὸ μέγεθος καὶ τὸ τάχος τὴν πολλὴν
θέρμην ἐμψύχειν, ἤδη καὶ πυκνότης ἐπιγίνεται. 2. Ταῖς
μὲν γὰρ διαστολαῖς τῶν σφυγμῶν, ἤτοι ταῖς τοῦ σώματος 136
τῆς ἀρτηρίας ἐπὶ τὰ ἔξω κινήσεσι (τοῦτο γάρ φασιν οἱ
ἰατροὶ διαστολὴν), συνεπισπᾶταί τι τοῦ θύραθεν ἀέρος
ἐμψῦξόν τε καὶ θρέψον τὸ ζωτικὸν πνεῦμα. ταῖς δὲ ἐπὶ
τἀναντία ῥοπαῖς, ἃς δὴ συστολὰς καλοῦμεν, ἐκκρίνεται πᾶν 116
ὅ,τι θερμόν, λιγνυῶδες, καὶ ἄχρηστον τῷ ζωτικῷ πνεύματι.
3. Ἀμέλει καὶ τοὺς χρόνους παραβάλλων τῶν διαστολῶν
πρὸς τοὺς τῶν συστολῶν, ἔχοις ἂν ὧδε συλλογίζεσθαι, πό-
τερον ἡ θέρμη ἐπικρατοῦσά ἐστιν, ἢ τὰ λιγνυώδη καὶ
καπνώδη ταῦτα περιττώματα. καὶ πολλὰ ἐντεῦθεν τῶν
μὴ φαινομένων διαγνώσῃ τε καὶ προγνώσῃ ἀκριβῶς, ἀκο-
λουθῶν ταῖς τῶν ἀρτηριῶν κινήσεσιν. 4. Εἰδέναι μέντοι
δεῖ, ὡς οὐκέτ' ἀλόγως ὑποστρέφουσιν οἱ σφυγμοὶ καταλα-
βούσης ψύξεως, καθὼς ἐπιτείνεσθαι ἤρξαντο. ἀλλὰ πρό-
τερον μὲν βραδύτεροι γίνονται, εἶθ' οὕτως ἀραιότεροι· ἐπι-
ταθείσης δ' ἤδη τῆς ψύξεως καὶ μικρότεροι. 5. Ἀμείνους
δ' ἐν παντὶ γένει καὶ εἴδει σφυγμῶν οἱ σφοδρότεροι. οἵδε
γὰρ μόνοι τῶν δακτύλων πιεζόντων ἀντιβαίνουσί τε καὶ 137
ἀντικρούουσι, τὴν κατ' αὐτοὺς ἢ μᾶλλον τῆς καρδίας καὶ
τοῦ ζωτικοῦ τόνου, πρὸ τούτων παραδηλοῦντες δύναμιν.
6. Τοὐναντίον δὲ οἱ ἀμυδροὶ σημαίνουσι. κἂν γὰρ τύχωσι
καὶ μείζους ὄντες, οὔτε σφοδροτέραν ἐπαφὴν ὑπομένουσι,
καὶ ἠτονηκότος τοῦ ζωτικοῦ τόνου σύμβολα. ὥσπερ αἱ 117
ἀνωμαλίαι ἐπί τε πλήθεσι βαρύνουσι γίνονται, καὶ καιρίων
μορίων ἀξιολόγοις ἐμφράξεσι. 7. Χείρους δὲ οἱ διαλείπον-
τες. καὶ μάλιστα ἢν πλείω χρόνον μιᾶς κινήσεως ἡ ἠρε-
μία ᾖ. ἀπαγορεύειν γὰρ ἤδη τὴν καρδίαν σημαίνουσι, τῆς
καθ' αὑτὴν κινήσεως, ἤτοι διὰ πλήθη ἐκνικήσαντα χυμῶν,
ἢ δι' ὅσον αὔπω ἐσομένην νέκρωσιν. 8. Σκληροὶ δὲ σφυγμοὶ
ἀεὶ μὲν κωλύουσι τοῦ κατὰ τὴν ἐκτὸς κίνησιν μεγέθους

τῶν σφυγμῶν, ἤτοι δὲ διὰ ξηρότητα, ἢ ψύξιν ἢ φλεγμο-
νὴν καὶ μάλιστα νευρωδῶν μορίων γίνονται. ὥσπερ οἱ
ὑγρότεροι δι' ἕξιν τοιαύτην, καὶ μελετωμένους ἔσθ' ὅτε
ἱδρῶτας, οἳ δὴ καὶ κυματωδῶς φέρονται. 9. Καὶ περὶ μὲν
τούτων καὶ ἐν ἄλλοις ἔφθημεν διαλαβόντες, ἔνθα καὶ περὶ
τῶν κατὰ μέρος νοσημάτων διὰ βραχέων διειλήφαμεν. τῷ
138 γάρ τοι προκαθημένῳ τοῦ βασιλικοῦ κοιτῶνος εἰς πρεσβείαν
στελλομένῳ ἐπὶ τοὺς ὑπερβορείους Σκύθας, ἀξιώσαντί με
ἐκδοῦναί οἱ βιβλίον, ὅπως ἂν ἔχῃ μετρίως περὶ νοσημά-
των κρίνειν τε καὶ διαγινώσκειν, καὶ θεραπείας ἐπάγειν
τοῖς διαγινωσκομένοις, οὔπω μὲν ἔφθημεν τὸ πᾶν τῆς
118 πραγματείας περάναντες, καὶ νότου πνεύσαντος, ᾤχετο
μὲν ἐκεῖνος εἰς ἣν πρεσβείαν ἐστάλη· ἡμῖν δὲ λέλειπται
ἡμιτελὲς τὸ βιβλίον. 10. Τηρούντων οὖν ἡμῶν ἐκείνῳ
φιλίαν, καὶ τὴν χάριν ἀποταμιευομένων οὔπω τισὶν ἐξ-
εδόθη, ἐπεὶ μηδὲ πέρας ἐπετέθη τῇ πραγματείᾳ. ἐπανιόντι
δὲ καὶ πέρας τότε σχούσης τῆς πραγματείας, ἐκείνῳ τε τὴν
χάριν ἀποτιννῦντες ἐσόμεθα, εἴγε θεὸς δοίη, καὶ σοὶ παρα-
σχεῖν ἕτοιμοι τὰ ἀντίγραφα. 11. Δόξει δὲ ἄρα κἀκεῖνά τι
συνενεγκεῖν σοι ἐς τὴν ἅπασαν ἰατρικὴν μέθοδον. ἃ γὰρ
ὧδε δοκεῖ λείπειν, ἐκεῖ καθαρώτερον εἴρηται. ἔξεστί γε μὴν
καὶ ἀπὸ τῶν ἤδη ῥηθέντων προφυλάττειν σου τὴν ὑγείαν
καὶ κινδυνεύουσαν ἐπαναλαμβάνειν. περὶ τούτου γὰρ τοῦ
μέρους τῆς τέχνης ἐνταυθὶ διείληπται. ἑξῆς δὲ λείπεται
139 φάναι περὶ τῶν φυσικῶν ἐκκρίσεων καὶ τῆς ἐκ τῶν κατ' αὐ-
τὰς ἐπισχέσεων ἀκολουθούσης βλάβης.

**Κεφ. ις'. Περὶ φορᾶς καὶ ἐπισχέσεως τῶν φυσικῶν τε καὶ συνήθων ἐπικρίσεων.**

1. Ἱδρῶτες οὖν θέρους ὥρᾳ ἢ κόπου προσηγησαμένου
γινόμενοι οὐδέν τι φαῦλον οὐδ' ἀπεικὸς προσημαίνουσι.
μάλιστα γὰρ ἂν καὶ λυσιτελήσαιεν· ἐπ' οὐδενὶ δὲ προδήλῳ
αἰτίῳ πλῆθος κατὰ τὸ φλεβῶδες γένος σημαίνουσιν. ὥστε
119 ἢ φλέβα τέμνειν προσήκει, ἢ τοῦ ποσοῦ τῆς τροφῆς ἀφαι-
ρεῖν. 2. Συμβαίνει δὲ τοῦτο καὶ τοῖς ἀπὸ νόσων ἀναλαμ-
βανομένοις, πλεῖον τοῦ δέοντος κεχρημένοις τροφῇ. καὶ
τούτοις μὲν τὸ πλέον κατὰ τὸν καιρὸν τῆς πέψεως τῆς

τροφῆς οἱ ἱδρῶτες γίνονται· τοῖς δ' ὑπὸ πλήθους αἵματος
ἐνοχλουμένοις, ἤδη πεφθείσης τῆς τροφῆς. δεῖ δὲ καὶ ἐπὶ
ἀμφοτέρων, τοῦ ποσοῦ τῆς τροφῆς ἀφαιρεῖν. 3. Ἐνίοις
δὲ καὶ δι' ἐσχάτην τοῦ δέρματος ἀραίωσιν γίνεται· οἷς
πλείονος γινομένου, κίνδυνος συγκοπῆναι. ἀμέλει ἐπιτρε-
πτέον τούτοις μᾶλλον τρέφεσθαι, καὶ θερμοτέροις κεχρῆ-
σθαι, καὶ τὴν ἐκτὸς καταψύχειν τε καὶ πυκνοῦν ἐπιφάνειαν.
4. Τοῖς δὲ διὰ κατάρροιάν τινα τὸ στῆθος καὶ τὸν ὅλον
θώρακα βαρυνθεῖσιν, ἄμεινον μὴ πυρέττειν, μηδ' ἐπιστη- 140
ρίζειν ὀδύνην περί τινα τῶν πλευρῶν ἢ τῶν μαζῶν ἢ τὸ
στῆθος· ταῦτα γὰρ ἤδη τοῦ γένους τῶν νοσημάτων καὶ
μείζονος διαίτης δεῖται, καὶ πλειόνων λόγων ἢ κατὰ τὴν
παροῦσαν ὑπόθεσιν. 5. Μετρίως δὲ βαρυνομένου τοῦ θώ-
ρακος τῇ τοῦ ὑγροῦ ἐκεῖσε ῥοπῇ καὶ ἐρεθιζούσης βηχὸς
γλυκέσι δεῖ κεχρῆσθαι καὶ χλιαροῖς καὶ ὅσα εὐανάγωγα τὰ
καταρρεύσαντα ὑγρὰ ποιεῖν εἴωθε· μὴ γὰρ οὕτω προμη-
θευσαμένου τοῦ κάμνοντος, στηριχθείη ἂν τὸ καταρρεῦ- 120
σαν ὑγρὸν καὶ ὀδυνῆσαι, καί τι ἕτερον χεῖρον ἐπαγάγοι.
6. Δεῖ δ' ἀεὶ πρόνοιαν ποιεῖσθαι τοὺς καταρρέοντας ἀφ'
ὕψους χυμοὺς μετοχετεύειν ἐπὶ τοὺς μυκτῆρας· οὕτω γὰρ
ἂν ἐκφορηθέντος τοῦ λυποῦντος ἀσινὴς ὁ θώραξ διατηρη-
θείη. 7. Γαστρὸς δὲ ἐπισχέσεσι βάρη τε κεφαλῆς συν-
εδρεύει καὶ σκοτόδινοι, καὶ πικρότητες στόματος, καὶ ἀηδίαι
τε καὶ ἀνορεξίαι. κλύσμασι δὲ ὑπεικούσης ἀνίεται τὰ λυ-
ποῦντα. ἀμέλει δεῖ καὶ τούτων ποιεῖσθαι πρόνοιαν, ὡς μὴ
ἐπέχοιτο. 8. Ἐνίοις δὲ κατά τινας ὥρας αὐτομάτως φέρε-
ται ἡ γαστὴρ τοῦ συνήθους πολλῷ πλέον, ἐπί τισι ῥηταῖς 141
ἡμέραις, καὶ πολλὰ συνεξάγεται τῶν λυπούντων, καὶ ἄμει-
νον βιώσκει ὁ ἄνθρωπος. 9. Ἑτέροις δὲ καὶ ἄνω πολλά
τε καὶ ποικίλα ἐξεμούμενα πολλῶν μελετωμένων νοσημά-
των ἀπαλλάττει τοὺς ἐξεμέσαντας· ὧν μὴ συνήθως γι-
νομένων ἤδη, λαβούσης τοῦτο εἰς συνήθειαν τῆς φύ- 121
σεως πολλά τε καὶ χαλεπὰ ἄρχεται νοσήματα ἀναφύεσθαι.
10. Ἀμέλει προσήκει τῶν συνήθων μὴ γινομένων ἐκκρί-
σεων ταύταις ταῖς ἀπὸ τῆς τέχνης ἀρήγειν βοηθήμασιν.
οὐχ ἧττον δὲ καὶ οἷς σύνηθες διὰ μυκτήρων ἢ αἱμορροΐδων
αἷμα φέρεσθαι εἴωθεν. ἀλόγως γὰρ ὧδε τοῦ αἵματος ἐπι-

*σχεθέντος, ἢ τοὺς συνήθεις ἀναστομοῦν προσήκει πόρους,
ἢ σχάσεσι φλεβῶν τὸ πλεονάζον κενοῦν, εἰ μή πού γε
πλείοσι γυμνασίοις ἀναλισκομένου τοῦ περιττοῦ ἢ τροφαῖς
ἐλάττοσι κολαζομένου οὐ κατεπείγει τῶν κενώσεων χρεία.*
11. *Ὥσπερ οὖν ἀμέτρως τὰ μὴ δέοντα κενούμενα ἄτονόν
τε καὶ ψυχρὸν τὸ σῶμα ποιεῖ, καὶ τὰς ψυχικὰς ἀμβλύνει*
142 *δυνάμεις, οὕτω δὴ τὰ δεόμενα καθάρσεως ἐπεχόμενα βα-
ρύνει τε καὶ ἐμφράττει καὶ θορυβεῖ τὸν νοῦν. καὶ ἄλλ' ἐπ'
ἄλληλα ἐπάγει ἄλγη καὶ ἀρρωστήματα, καὶ πᾶσαν δύναμιν
τῷ χρόνῳ καταμαραίνει. καὶ ταῦτα μὲν οὕτως.* 12. *Ἐπεὶ
δὲ περὶ διαίτης καὶ τῶν κατὰ μέρος σιτίων εἴρηται καὶ οἷς*
122 *κεχρῆσθαι δέον, καὶ ἃ παραφυλακτέον, καὶ διὰ πάντων τὴν
ὑγιεινὴν πραγματείαν ὡδί σοι ἐκτεθείκαμεν, ὡς ἂν ἑπόμε-
νος ταύτῃ ἄμεινόν τε διάγῃς καὶ τὰς μελετωμένας ἀπο-
διοπομπῇ νόσους, κοινῇ δὲ τοῦτο πᾶσι δοκεῖ δίαιτα ἰσο-
νομίαν χαριζομένη πᾶσι τοῖς ἐν ἡμῖν πνεύμασι, σοὶ δὲ
πρόθεσις μᾶλλον τὸ ψυχικὸν ὑγιαίνειν τε καὶ διαλάμπειν
πνεῦμα, ὧδε τὸ πᾶν τοῦ λόγου τρέψαντες ἐροῦμέν σοι τὰ
προσήκοντα ἐπαναλαβόντες τὸν λόγον.*

*Κεφ. ιζ'.* *Περὶ τοῦ πῶς ἂν ἕκαστον τῶν πνευμάτων ἐπιδιδοίη ἐκ τῆς
προκειμένης μεθόδου καὶ μάλιστα τὸ ψυχικὸν πνεῦμα.*

1. *Τεττάρων οὖν διαφόρων πνευμάτων ἐξευρημένων
τῷ λόγῳ, ἑνὸς μὲν τοῦ κατὰ τὴν γαστέρα φαινομένου, καὶ
ψυχροῦ μὲν καὶ ὑγροῦ τούτου φαινομένου τοῦ πνεύματος,
ψυχροῦ δὲ λέγω, οὐχ ὡς ψύχοντος, ἀλλ' ὡς ἧττον θερμοῦ
τοῦ μετ' αὐτὸ ὄντος, ὥσπερ καὶ ξηρὸν εἰ εἴποιμι ἕτερον
τοῖς ὑγροτέροις τοῦτο παραβάλλων λέγω (πάντα γὰρ τὰ*
143 *φυσικὰ καὶ ζωώδη πνεύματα τῷ κοινῷ λόγῳ θερμά τε καὶ
ὑγρὰ πέφυκε), καὶ τούτῳ δηλονότι τῷ κατὰ τὴν γαστέρα
τῆς ὀρεκτικῆς δυνάμεως ἐποχουμένης, καθόσον ἂν αὐτὸ
ἑαυτοῦ φαίνηται καθαρώτερον, καὶ τὰς κατ' αὐτὸ αἰσθή-
σεις ἀμείνους γίνεσθαι εἰκός, καθόσον δὲ τῆς συμμετρίας
λείπεται, καὶ τὴν κατ' αὐτὸ δύναμιν ἀμυδρότερον ἐνεργεῖν.*
123 *ἀμέλει μᾶλλον ξηρότησι καὶ θερμότησιν αὐτὴν ὁρῶμεν τὴν
δύναμιν πάσχουσαν, ἢ ταῖς ἀντικειμέναις ποιότησιν.* 2. *Ἐκ-
δεχομένης δὲ ταύτην τῆς κατὰ τὸ ἧπαρ δυνάμεως, ἣν δὴ*

*καὶ φυσικήν τε καὶ φυτικὴν φαμεν, καὶ ταύτῃ τῆς θρεπτι-
κῆς τε καὶ αὐξητικῆς καὶ τοῦ ὁμοίου γεννητικῆς τε καὶ
ἐπιθυμητικῆς ἀναπαυομένης δυνάμεως, τὸ κατ᾽ αὐτὴν
πνεῦμα θερμὸν ἤδη καὶ ὑγρὸν τυγχάνει, καὶ ἡ κατὰ ταύ-
τας τὰς ποιότητας ἀποβλέπουσα δίαιτα ἀνανεοῦσθαί τε
καὶ ἀκμάζειν τὴν κατὰ τὸ ἧπαρ παρασκευάζει δύναμιν·
ὕπνοι δὲ ἄρα τοῦτο πλείους καὶ λουτρά, θυμηδίαι τε καὶ
ἀνέσεις βίου, βραχύτατά τε γυμνάσια καὶ μετρίως θερ-
μαίνουσαι καὶ ὑγραίνουσαι τροφαί.* 3. *Τῇ δὲ καρδίᾳ τῆς
ζωτικῆς καὶ θυμικῆς ἐνθαλαμενομένης δυνάμεως καὶ διὰ* 144
*πολλῷ γε τοῦ καθ᾽ ἧπαρ θερμοτέρου ἐνεργούσης πνεύ-
ματος, ἤδη δὲ καὶ ξηροῦ καθόσον ἂν αὗται αἱ ποιότητες
ἐπιτείνοιντο ἐν τοῖς κατὰ φύσιν αὐτῶν ὅροις. καὶ αἱ κατ᾽
αὐτὰς ἐνέργειαι ῥωμαλεωτέραι φαίνονται, σύντονα δὲ ὧδε
γυμνάσια καὶ ἱππασίαι καὶ μάχαι καὶ κυνηγέσια τοῦτο διε-
γείρουσι, καὶ ἡ πρὸς τὸ θερμότερον καὶ ξηρότερον ἀπο-
κλίνουσα δίαιτα.* 4. *Ἣν οὖν τούτων τῶν δυνάμεων ἀπο-
καμοῦσαν ἀναζωπυρεῖν ἐθέλῃς, τῇ κατ᾽ αὐτὴν πλεονεκτή-
σας διαίτῃ, κατ᾽ ἐκείνην ἂν ἐνεργέστερος γένοιο.* 5. *Καὶ
ταῦτα μὲν ἀφείσθω, ὀλίγον σοι διὰ φροντίδος ὄντα, ἣν* 124
*μὴ πρὸς τὴν καθόλου ἀπομαχόμενα ὑγείαν ᾖ· νυνὶ δὲ περὶ
τοῦ κατὰ θυμὸν σοι ἐροῦμεν καὶ προσαποδώσομεν τῷ λόγῳ.*
6. *Ἐπεὶ τοίνυν, ὡς καὶ πρότερον εἴρηται, πολλῷ μὲν τῆς
κατὰ τὸ ζωτικὸν πνεῦμα θερμότητος λείπεται τὸ κατὰ τὸν
ἐγκέφαλον, ἤδη δὲ καὶ ξηρότερον ἐκείνου φαίνεται, ὡς διὰ
πάντων συνάγεσθαι, ξηρότερόν τε καὶ ψυχρότερον τῶν ἄλ-
λων τουτὶ τὸ πνεῦμα φαίνεσθαι, τίς ἂν μᾶλλον προσή-
κουσα ὧδε νομισθείη δίαιτα, εἰ μὴ ἡ μετρίως ψύχουσα καὶ* 145
*ξηραίνουσα.* 7. *Ἀμέλει τοῖς μὲν ἁπλῶς ὑγιαίνειν καὶ κατὰ
τουτὶ τὸ πνεῦμα βεβουλημένοις, ἡ πρώτη καὶ κοινὴ καὶ
ἣν φθάσαντες ἐπεράναμεν δίαιταν, ἐφαρμόσειεν ἄν, ἐπ-
αρκέστερον μὲν πολλῷ τὸ κατὰ τὸν ἐγκέφαλον γεννῶσα
πνεῦμα, οὐχ οὕτω δ᾽ ἀκραιφνὲς καὶ ἀθορύβητον.* 8. *Σοὶ
δ᾽ ἐξ ὧν ἐροῦμεν βραχύ τι τὴν δίαιταν μεταλλάξαντι,
ταμείνω τοῦ κατὰ σε σκοποῦ ἀπαντήσει. ὥσπερ τοῖς μου-
σικοῖς μίαν που ἢ δύο χορδὰς χαλάσασιν ἢ ἐπιτείνασι, τῶν
ἄλλων ἐπὶ τοῦ αὐτοῦ τηρουμένων, ἕτερόν τι πάντῃ τοῦ*

*προτέρου ἀνακρούεται μέλος.* 9. *Ὥσπερ οὖν θυμηδίαι καὶ
ἀνέσεις καὶ ὕπνοι ὑγρότερον μὲν ἡμῶν ποιοῦσι τὸ φυσι-
κὸν πνεῦμα, θερμότερον δὲ θυμοὶ καὶ σύντονα γυμνά-
σια τὸ κατὰ τὴν καρδίαν ζωτικὸν πνεῦμα, ἄλλως δὲ ταῦτ'
ἀλλοιοῖ ἡ ἐπεισαγομένη τροφὴ ὑγροτέρα ποιοῦσα ἢ θερμο-
125 τέρα τὸν αὐτὸν τρόπον, ἄλλως ἂν τὰ ψύχοντα καὶ ξηραί-
νοντα κατὰ τὴν ἐκτὸς δίαιταν διαθείη ἂν τὸν ἐγκέφαλον,
καὶ ἄλλως ἀγρυπνίαι καὶ ἐνδελεχισμοὶ καὶ ἔμμονοι περὶ τὰ
146 νοητὰ ἔννοιαι.* 10. *Ὧδε γὰρ πλείονος τῆς κατ' αὐτὸ γι-
νομένης κινήσεως, ὀξύτερόν τε καὶ λεπτότερον ἑαυτοῦ εἰκὸς
γίνεσθαι, καὶ ξηρότερον καὶ διατεθερμασμένον τῇ συνεχεῖ
ἐνεργείᾳ, μή τινος ἔξωθέν τε καὶ ἔσωθεν τοῦτ' ἀναθολοῦν-
τος διά τινα πλημμελήματα.* 11. *Ἅπαξ οὖν εὐθυπορῆσαν,
ἐπὶ τἄμεινον πρόεισι καὶ τῶν λοιπῶν κατακυριεύει. ἀμέλει
πάντας τοὺς νήφοντας καὶ τοιαύτην ἐργασίαν ποιουμένους,
ὁρῶμεν πλήθους τε καὶ πάχους τροφῆς ἀπέχεσθαι καὶ
ἀνέσεως πείθοντας, ὡς μήτ' αὐτὸ τὸ πνεῦμα ὧδε παχύ-
νοιτο, μήτε ταῖς ἐκ τῆς ἁδροτέρας διαίτης ἐπικρατείαις τῶν
ἄλλων πνευμάτων, καὶ μάλιστα τοῦ φυσικοῦ. τοῦτο γὰρ
καὶ κατ' ἀμφοτέρας τὰς δυνάμεις τε καὶ ποιότητας τῷ ψυ-
126 χικῷ ἀντίκειται, καὶ δουλαγωγούμενον τὸ ψυχικὸν ἐπισύρε-
ται πνεῦμα.* 12. *Ὥσπερ οὖν ὕδωρ μᾶλλον νηφαλίους
ἡμᾶς ποιεῖ, ἧττονος τῆς ἀναδόσεως γινομένης, ὀλιγοσιτία
δὲ οὐχ ὕλην δίδωσιν αὐτάρκη τῷ φυσικῷ πνεύματι, καὶ
μακρὰ δὲ ἐγρήγορσις φθάνει τὰς παχυτέρας κολούουσα τῶν
147 ἀναθυμιάσεων, ὡς διὰ πάντων ἀκραιφνέστερον τὸ ψυχικὸν
πνεῦμα φαίνεσθαι ἐν ὑπακούουσι σώμασιν, οὕτω δὴ ὑδρο-
ποσίαι μὲν ἀχλυῶδες καὶ παχὺ τουτὶ τὸ πνεῦμα παρασκευ-
άζουσι ταῖς ἐξ ὑπογείου ἀναθυμιάσεσι. νηστεία δ' ἐκπυροῖ
καὶ θυμοειδέστερον ἀπεργάζεται. ἡ δ' ἀγρυπνία ξηραίνει
καὶ οὐκ εὐτύπωτον ποιεῖ τὸ πνεῦμα, ἐν μὴ οἰκειουμένοις
τῇ διαίτῃ πνεύμασιν.* 13. *Ἵν' οὖν μὴ ταῖς ἀντικειμέναις
διαίταις ἀνθελκόμενος τύχῃς, ἀνθελόμενος τῶν ἀμεινόνων
τὰ φαῦλα, καὶ πρόφασίς σοι τουτὶ τὸ βιβλίον βλάβης γέ-
γένηται, καὶ ταῦτα τῷ λόγῳ προσθεὶς ἐντελῆ σοι τὸν λόγον
ποιήσομαι.* 14. *Ἤδη σοι τῷ χρόνῳ καὶ τῇ μακρᾷ νηστείᾳ
καὶ προσέτι τῇ ἐπὶ τάμεινῳ ῥοπῇ τὸ φυσικὸν ἀπομαρά-*

ναντι πνεῦμα οὔτε συχναῖς νηστείαις προσήκει καταπιέζειν
τὸ σῶμα, οὔθ' ὕδατος πόσεσι. 15. Πρώην μὲν γὰρ σύγ- 127
κρασίς τις τῇ φυσικῇ θέρμη τοῦ ἐγκεφάλου πρὸς τὴν τοῦ
ὕδατος ἐγεγόνει, καὶ ἄμεινον διετέλεις. νυνὶ δὲ πρὸς τὸ
ψυχρότερον ῥέποντα ἐπανασώζειν δεῖ σε τὸ λεῖπον μετρίαις
τοῦ οἴνου χρήσεσι, ψυχραῖς δὲ πάνυ μὴ καταχρῆσθαι τρο-
φαῖς. 16. Ἐπὰν δὲ καὶ πλέον ἐπισχύουσα ἡ ψύξις ᾖ, καὶ 148
τῇ Ἀνδρομάχου θηριακῇ προσῆκον ἔσται κεχρῆσθαί σε,
ἀντιδότῳ λεπτυντικῷ καὶ διαφορητικῷ τελοῦντι φαρμάκῳ,
καὶ τὰς ἐν ἡμῖν ἀναζωπυροῦντι δυνάμεις. 17. Ἐπεὶ δὲ
ταῖς ὀλιγοσιτίαις ἐξήρανταί σοι τὸ σῶμα, ἤδη δὲ καὶ εἰς ἕξιν
τῆς τοιαύτης γεγονυίας σοι διαίτης οὐ ῥᾴδιον ἐπ' ἄλλην
μεταβαίνειν, καὶ λουτροῖς προσήκει κεχρῆσθαί σε, τέγγουσι
μὲν τὸ ἅπαν σῶμα καὶ διαφοροῦσι τὰ ἐναπειλημμένα τῷ
βάθει τοῦ σώματος δεόμενα καθάρσεως, ἀνακαλουμένοις
δὲ καὶ τὰς φυσικὰς ἡμῶν δυνάμεις ἀμαυρωθείσας. 18. Ὥσ-
περ δὲ ἐπὶ τὸ ψυχικὸν τουτὶ πνεῦμα τὸν ἅπαντά σου τεί-
νειν σκοπὸν προὔργου πεποίησαι, οὕτω μηδὲ τῶν ἄλλων
σε καρραθυμεῖν θέμις. συνεφέλκονται γὰρ τοῖς ἀλλήλων
πάθεσι, καὶ συναποκαθίστανται ταῖς ὑγείαις. 19. Ταῦτά
τοι τῆς κοινῆς καὶ καθαρᾶς διαίτης πρόνοιαν ποιουμένῳ
σοι, καὶ μικράν τινα ῥοπὴν χαριζομένῳ τουτωῒ τῷ πνεύ-
ματι τῇ οἰκειότητι τῆς κατ' αὐτὸ συγκράσεως, ἀμείνω σοι 128
τὰ πάντα καὶ ἐν καταστάσει ἐσεῖται. 20. Πέφυκε δέ σοι 149
καὶ ἡ κατὰ φιλοσοφίαν ἕξις, καὶ ἡ τῶν ὀρθῶν δογμάτων
ἐξέτασις, καὶ ἡ διὰ πάντων περὶ τἀληθέστερα ἰοῦσα σπουδὴ,
ἐκ τῶν ἐξευρημένων ἡμῖν μεθόδων πλείω τε καὶ ἀμείνω
τῇ κατά σε διαίτῃ προσερανίζεσθαι. 21. Ἀλλ' ὁ μὲν περὶ
τούτων λόγος ὧδέ πῃ καὶ ληγέτω, ἱκανῶς μὲν τοῖς βραχυ-
λογεῖν ἐθέλουσιν ἐκδοθεὶς, οὐχ ἥκιστα δὲ καὶ τοῖς ἀρχὰς ἐν
τοῖς τῆς ἰατρικῆς ἔχουσι θεωρήμασι, καὶ μεμνημένοις φι-
λοσοφίας ὄργια. 22. Σὺ δ', ὦ θεία καὶ ἱερὰ κεφαλὴ, συγ-
γνώμων ἔσο, εἴ τινος ὁρᾷς τουτὶ τὸ βιβλίον λειπόμενον
τῶν κατὰ τὴν σὴν ἔφεσιν, τοῦτ' ἐκεῖνο εἰδὼς, ὡς τὰ πολυ-
σχιδέστερα τῶν μαθημάτων οὐκ ἂν ῥαδίως τις βραχέσιν
ἐμπεριλάβοι γράμμασιν, ὡς ἀποσώζειν καὶ τὴν κατ' αὐτὰ
πᾶσαν μέθοδον. 23. Εἰ γὰρ δὴ τῶν πρὸ ἡμῶν ἐκείνων
ἀνδρῶν ὅσοι φιλοσοφίᾳ τοὺς λοιποὺς παρήνεγκαν τὰς βι-

βλους ἀναπτύσσοντες ἐλλείποντά τινα ἐνιότε τῶν δεόντων ῥηθῆναι εὑρίσκομεν, σχολῇ γ' ἂν περὶ τουτὶ τὸ βιβλίον εὑρεθείη τὰ πλείονα τῶν δεόντων ῥηθῆναι μή τοι γε πάντα. 24. Τοῖς γε μὴν νοῦν ἔχουσι μή τοι γε τοῖς κατὰ τὴν σὴν
150 ἕξιν ἐς φιλοσοφίαν, ἱκανὰ ἂν δόξαι καὶ ταῦτα χειραγωγηθέντα ἀπὸ τῶν ἤδη ῥηθέντων, κἀπὶ τὰ μὴ φθάσαντα δια-
129 ληφθῆναι τῷ λόγῳ. οὕτω γὰρ καὶ ἐπὶ πάσης ἄλλης ἐπιστήμης πρόκειται. τῶν γὰρ ἀρχῶν ἐν πᾶσι τοῖς μαθήμασι προκατειλημμένων τοῖς εὖ εἰδόσι κρίνειν, καὶ τὰ μετὰ τὰς ἀρχὰς ῥᾳδίως ἐπιγινώσκεται. 25. Ἀλλὰ μὴ κἀμοῖς νῦν μὲν εὐχαῖς ἡμᾶς στηρίζων, καὶ ἐπὶ τἀμείνω διαβιβάζων, νῦν δ' ὁμιλίαις ἱεραῖς ἀνακαθαίρων ἡμῶν τὴν διάνοιαν, ἔτι δὲ ὑποθήκαις σεμναῖς εἰς τὰ δέοντα προτρεπόμενος. 26. Οὐκ οἶδα γὰρ ὅτῳ ἂν μᾶλλον σοῦ πεισθείην καὶ βουλευομένου καὶ φιλοσοφοῦντος τὰ κάλλιστα, εἰδώς σε τοῖς ἀληθέσι τῆς φιλοσοφίας προσκείμενον δόγμασι, καὶ τῇ περὶ ἡμᾶς κηδεμονίᾳ συνδιατιθέμενον. 27. Εἰ δὲ καιροῦ καλοῦντος μετ' ἀλλήλων ἐφ' ἱκανὸν χρόνον διατρίψαιμεν, πολλὰ ἂν οἶμαι τῶν δεόντων ἐς φιλοσοφίαν συζητηθείη ἡμῖν τε καὶ ἑτέροις τὴν κατὰ γνῶσιν χορηγήσοντα προκοπήν. καὶ εἴη γε καὶ ἡμᾶς ὀψέ ποτε ἀνανεῦσαι καὶ ἐπὶ τὸν νοητὸν ἐγκύψαι διάκοσμον, καὶ τῶν ἐκεῖθεν καλῶν ἀπόνασθαι καὶ
151 130 ἰδεῖν τε καὶ παθεῖν, ἃ νῦν ἡμῶν ὁ νοῦς ταῖς ἐμπαθέσι κηλῖσι μεθύων, ἄκραις ἐπαφαῖς τὸ τοῦ λόγου κατανοεῖ. ὁ δὲ δὴ σὸς κατανοῶν ἀκριβῶς, οὐκ ἐπιστρέφεται πρὸς τὰ ἡμῖν ἐπαγωγὰ καὶ ἡδέα. 28. Καὶ τάχ' ἂν οὕτω καθαρώτερον μετ' ἀλλήλων φιλοσοφήσαιμεν, ὧν τοὺς λόγους νῦν ἀγνοοῦμεν, τότε καθαρώτερον κατοπτεύοντες, ἐπεὶ καὶ φύσει τοῦθ' ἡμῖν δέδοται, καὶ ταύτῃ μᾶλλον τοῖς πρώτοις οἰκειούμεθα αἰτίοις, κἂν ἅπαξ τῶν ἐκεῖθεν ἀποσφαλεῖσι θεωριῶν δυσχερής τις δοκῇ ἡ ἄνοδος καὶ πόρρω τῆς κατασπώσης ὧδε δυνάμεως. 29. Εἰ δέ πῃ καὶ τῶν τεθεωρημένων σοι ἀξιοίης ἡμᾶς κοινωνοὺς γίνεσθαι διαπορθμεύων καὶ εἰς ἡμᾶς τὰ κάλλιστά σοι θεάματα, ἄξια μὲν ἂν σαυτοῦ ποιήσαις καὶ τὸ κοινωνικὸν τοῦ νοῦ ἐπιδείξαις, φύσει προσὸν πᾶσιν ἀνθρώποις. κἂν ἀπείργῃ τοῦτο ἡ περὶ τἀμείνω ἄγνοια, θέλξαις δ' ἂν ἴσως καὶ ἀναζωπυρήσαις ἤδη ἀποσβεννύμενον τὸ ἐν ἡμῖν νοερὸν καὶ καταπείσαις μεταδιώκειν τἀμείνονα.

# XXVI.

## * ΙΑΤΡΟΜΑΘΗΜΑΤΙΚΑ ΕΡΜΟΥ

### ΤΟΥ ΤΡΙΣΜΕΓΙΣΤΟΥ ΠΡΟΣ ΑΜΜΩΝΑ ΑΙΓΥΠΤΙΟΝ.

---

1. *Τὸν ἄνθρωπον, ὦ Ἄμμων, κόσμον φασὶν οἱ σοφοί, ἐπειδὴ ἀφομοιοῦται τῇ τοῦ κόσμου φύσει.* 2. *Ἐν γὰρ τῇ καταβολῇ τοῦ ἀνθρωπείου σπέρματος ἐκ τῶν ζ' στοιχείων ἀκτῖνες ἐπιπλέκονται ἐφ' ἕκαστον μέρος τοῦ ἀνθρώπου.* 3. *Ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἐκτροπῆς κατὰ τὴν τῶν ιβ' ζωδίων θέσιν.* 4. *Ὁ μὲν γὰρ ♈ λέγεται κεφαλή, τὰ δὲ τῆς κεφαλῆς αἰσθητήρια εἰς τοὺς ζ' ἀστέρας ἀπομεμέρισται.* 5. *Ὁ μὲν γὰρ δεξιὸς ὀφθαλμὸς ἀπονενέμηται τῷ ☉, ὁ δὲ εὐώνυμος τῇ ☾, αἱ ἀκοαὶ τῷ ♄, ὁ ἐγκέφαλος τῷ ♃, ἡ γλῶσσα καὶ ὁ γαργαρεὼν τῷ ☿, ἡ ὄσφρησις καὶ ἡ γεῦσις τῇ ♀, ὅσα δὲ ἔναιμα τῷ σχήματι.* 6. *Ἐὰν τις οὖν κακῶς τύχῃ ἐπὶ τῆς σπορᾶς ἢ τῆς γεννήσεως κείμενος, ἐπὶ τοῦ προσῳκειωμένου αὐτῷ μέλους πήρωσις γίνεταί τις.* 7. *Τέσσαρα δὲ καθολικὰ μέρη εἰσὶν ἐν τῷ ἀνθρώπῳ, κεφαλή, θώραξ, χεῖρες καὶ πόδες· ἕκαστον δὲ τούτων κατὰ τὸν καιρὸν τῆς σπορᾶς ἢ τῆς γεννήσεως κατά τι ἠσθένηκε, τοῦ δεσπόζοντος αὐτοῦ ἀστέρος κακωθέντος, οἷον ὀφθαλμὸν ἢ καὶ ἄμφω οἱ ὀφθαλμοί, ἢ ἡ μία ἀκοή, ἢ καὶ αἱ δύο, ἢ οἱ ὀδόντες ἔπαθόν τι, ἢ καὶ ἡ λαλιὰ ἐναποδίσθη.* 8. *Δῆλον γὰρ ὡς ἀκτὶς κακοποιοῦ ἐπιβαλοῦσα τούτων τινὶ φθείρει καὶ λυμαίνεται, ὁμοίως καὶ ἐπὶ θώρακος, ἢ ὁ πνεύμων ἔπαθεν ἢ τὸ ἧπαρ ἢ ὁ σπλὴν ἢ ἡ καρδία ἢ τι τῶν περὶ τὰ ἔντερα.* 9. *Καὶ ἐπὶ χειρῶν ὁμοίως καὶ ἐπὶ ποδῶν. ἢ γὰρ οἱ δάκτυλοι ἢ οἱ ὄνυχες ἢ τι τῶν τοιούτων μορίων οἰκείως ἔπαθεν.* 10. *Ἐγὼ οὖν πρῶτος ἀνεῦρον ταύτην τὴν ἐπιστήμην καὶ προσέταξα αὐτὴν καλεῖσθαι ὑπηρέτιν τῆς*

*φύσεως. ἀνάγκη γὰρ ταύτην συγκροτεῖν τῇ φύσει, ὅθεν καὶ τὰ βοηθήματα ταύτῃ προσγίνεται.*

II. *Τὰ μὲν οὖν ψύχοντα πάντα καὶ ἰσχνοποιοῦντα τῷ ♄ ἐμέρισα καὶ τῷ ☿, φύσει κρυσταλλώδεσι καὶ πνευματοποιοῖς οὖσι.* 2. *Τὰ δὲ ἀναθερμαίνοντα καὶ ὀγκοποιοῦντα τῷ σχήματι ἐμέρισα, ὀξύτητι καὶ διαπύρῳ καὶ αἱματοποιῷ ὄντι.* 3. *Τὰ δὲ ἐναλλάττοντα καὶ παρακαλλῶντα καὶ σωματοποιοῦντα καὶ ἱστῶντα πᾶσαν νομὴν καὶ ῥωννύντα τῷ ♃ καὶ τῇ ♀.* 4. *Ἡ δὲ ☾, ᾧ ἄν τινι προσέλθῃ τῶν ἀστέρων, εἴτε ἀγαθοποιῷ εἴτε κακοποιῷ, τῇ ἐκείνων δυνάμει συνδιατίθεται.* 5. *Τὸν οὖν τὴν ἰατρικὴν μετερχόμενον ἐπιστήμην δεῖ θεωρεῖν τὴν κοσμικὴν διάθεσιν καὶ τοὺς ἀστέρας ὅπως ἔχωσι πρὸς ἀλλήλους, ἐπεὶ οὐδὲν χωρὶς τῆς συμπλοκῆς τούτων γίνεταί τι τῶν ἀνθρωπίνων, οὔτε τὰ ὀξέα πάθη οὔτε τὰ περιοδικά, οὔτε σώζεταί τις ὑπὸ τῆς ἰατρικῆς, οὔτε ἐπιμελείας τυχὼν σώζεται ἢ ἀποθνήσκει.* 6. *Χρὴ οὖν τὸν ἰατρὸν τὴν κατάκλισιν ἀκριβοῦν, ποίᾳ ὥρᾳ γέγονεν.* 7. *Εἰ δὲ μὴ δύναιτο λαβεῖν ἀκριβῶς τὴν ὥραν, ἐν ᾗ ἡ νόσος προσηγγέλθη λαμβάνειν καὶ ἱστᾶν θέμα τι καὶ σκοπεῖν, ὅπως τε ὁ κόσμος διάκειται καὶ πρὸς τίνα τῶν ἀστέρων ἡ ☾ λόγον ἔχει, ἤτοι ☍, ἢ □, ἢ τίσι σύνεστι.* 8. *Τοῖς μὲν γὰρ κακοποιοῖς συσχηματιζομένη, ἐπιβλαβῆ τὴν νόσον ποιεῖ, τοῖς δὲ ἀγαθοποιοῖς μεγίστην βοήθειαν ἐπάγει.* 9. *Ἔτι δὲ δεῖ καὶ τὴν ☾ γνῶναι, πότερον τοῖς μὲν ἀριθμοῖς αὔξεται, τῷ δὲ φωτὶ λήγει, ἢ τὸ ἀνάπαλιν, ἢ καὶ κατ' ἄμφω προστίθησιν ἢ καὶ κατ' ἄμφω λήγουσιν.* 10. *Ἀπὸ μὲν γὰρ συνόδου καὶ τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς προστεθεῖσα καὶ τετραγωνιζομένη ὑπὸ ♂ ἢ καὶ ἐπ' αὐτὸν φερομένη μεχρὶ τῆς κατὰ ☍ παραλλάξεως ἐπισφαλεῖς τὰς νόσους καὶ ἀναιρετικὰς σημαίνει, μηδὲν ἀγαθοποιοῦ παρεμπλεκομένη.* 11. *Εἰ γάρ τις τούτων παρεμπλέκοιτο, ἡ μὲν νόσος βαρεῖα ἔσται καὶ σχεδὸν ἀναιρετική, ὁ νοσήσας σωθήσεται.* 12. *Τῆς δὲ λειπούσης τοῖς τε ἀριθμοῖς καὶ τῷ φωτί, μάλιστα καὶ ὑπὸ ♄ διαμετρουμένου ἢ τετραγωνιζομένου, εἰ μὴ μετὰ τὸ παραλλάξαι τὴν διάμετρον, οὐ ῥαΐσει ἡ νόσος, ἐπισφαλὴς ἔσται καὶ ἀναιρετική· εἰ δὲ ἀγαθοποιοὶ παρεμπλέκονται, ἐπὶ χρόνον νοσήσας σωθήσεται.*

13. *Δεῖ δὲ ἐπὶ τούτων νοεῖν, ὅτι ἐφ' ὅσον ἡ ☾ προστίθησι τοῖς ἀριθμοῖς, ἐπὶ τὸ βελτίον ἄρξεται καὶ ἡ νόσος προϊέναι, καὶ φανερόν, ὡς ἐὰν τοῖς ἀριθμοῖς προστιθῇ, ἡ νόσος αὐξηθήσεται, ἔστ' ἂν σύνδεσμον λύσῃ. οὕτω μὲν γὰρ ἐπὶ τὸ κρεῖττον τραπήσεται.* 14. *Ἡ δὲ τοιαύτη ἐπίσκεψις καὶ ἐπὶ πάσης ἔστω σωματικῆς καταρχῆς. Οἱ μὲν γὰρ ὑπὸ ♄ καὶ ☿ κατακλινόμενοι, νωχελεῖς ἔσονται καὶ δυσκίνητοι [καὶ ἀναλγεῖς] τοῖς τε ἄρθροις καὶ παντὶ τῷ σώματι ἀπὸ ψύξεων καὶ ῥευματισμοῦ κατὰ μικρὸν ἐμφαίνοντος τὴν νόσον καὶ βραδέως διεγειρόμενοι μικρόφωνοί τε καὶ δεδιότες καὶ φοβούμενοι καὶ ἑαυτοὺς θάλποντες τοῖς ἱματίοις καὶ τὸ φῶς φεύγοντες καὶ πυκνῶς ἀναστενάζοντες καὶ βραδέως ἀναπνέοντες καὶ μικρόσφυγμοι καὶ τὴν βοήθειαν θερμασίαν ἔχοντες, καὶ διὰ τῶν σφυγμῶν δεικνύμενοι ἐνδεεῖς καὶ ἄτονοι καὶ τὴν ἐπιφάνειαν τοῦ σώματος κατεψυγμένοι. χρῆσθαι οὖν ἐπὶ τούτων δεῖ τοῖς θερμαίνουσι καὶ ἀναχαλῶσιν ἐστεγνωμένως.* 15. *Οἱ δ' ὑπὸ ♂ καὶ ἡλίου κατακλισθέντες [ἔσονται] κεκινημένοι καὶ ῥιπιζόμενοι καὶ τὴν τοῦ σώματος ἐπιφάνειαν καταφλεγόμενοι, ἐξανιστάμενοί τε καὶ ἀναπηδῶντες καὶ πρὸς τοὺς ἰδίους ὀργιζόμενοι καὶ κράζοντες καὶ τοῖς ὀφθαλμοῖς ἀναιδῶς ἐμβλέποντες, κατάδιψοι καὶ τὴν γλῶτταν τραχεῖς, [καὶ] ἐπιθυμοῦντες πιεῖν οἶνον καὶ ψυχρὸν καὶ βαλανείῳ χρήσασθαι παρὰ καιρόν, πρὸς τροφὴν δὲ ἀνορέκτως ἔχοντες καὶ πρὸς πάντας συγκρούοντες τῇ γλώττῃ συνεχῶς.* 16. *Μικρόσφυγμοι δὲ καὶ οὗτοί εἰσι καὶ ἐν ἀταξίᾳ, ἐρυθροὶ τῇ ὄψει καὶ ἔνογκοι τῷ σώματι.* 17. *Τούτοις συνοίσει μέχρι τῆς ε΄ ἡμέρας ἡ τοῦ αἵματος ἀφαίρεσις καὶ ὅσα συνελθεῖν δύναται καὶ καθαιρεῖν τὸν ὄγκον καὶ ὅσα ἡ ἀναγκαστικὴ φύσις ἀντίθετα τούτοις βοηθήματα εὗρε, τοῖς μὲν ♄ τὰ τοῦ ♂ τουτέστιν ὅσα [ἂν θερμανεῖ καὶ ἀναχαλᾷ καὶ τὴν στεγνότητα λύει. τὰ δὲ τοῦ ♄ τοῖς τοῦ ♂ τουτέστιν ὅσα] ψύχει καὶ στεγνοῖ καὶ ὑποκρούει.* 18. *Ὅσα δὲ καρδιακὰ καὶ ἀρθριτικὰ καὶ ἀρτηριώδη καὶ τοιαῦτα πάθη εἰσὶν ὑπὸ ♂ καὶ ☉ γίνεται.* 19. *Στεγνοὶ δὲ πυρετοὶ καὶ πλευρῖτις καὶ περιπνευμονία καὶ ὅσα τοιαῦτα πάθη ὑπὸ ♄ καὶ ☿ γίνεται.* 20. *Τούτοις οὖν ἐναντία τὰ ψύχοντα, οἷον στρύχνος, κοτυληδών, ἰσόρισν,*

κόμβρι, ἄλφιτα, κόρεις, σερίς, μήκωνος ὀπός, ἁλικακάβου ῥίζα, φλοιός, κόμμι, φύλλα πολύγονον, ἀείζωον, ψύλλιον, ἁλικρότομος, φύλλα συκῆς, συκάμινα, φακὸς ὁ ἐπὶ τοῖς ὕδασι γινόμενος, φύλλα ἀμπέλινα, ψιμμύθιον, λιθάργυρος, λίθος αἱματίτης, λίβανος, ῥακίν, παρθένιον, ἀνδράχνη, ὠῶν τὸ λευκόν, κύμινον, ὠμήλυσις, λινόσπερμον, κάλαμος, φύλλα μαλάχης, ῥοιά, ὑποκυστίς, κυπάρισσος, κισσοῦ φύλλα, ἀκακία, μῆλα, κυδώνια, ἄπια, ἀχράδες, στυπτηρία, οἰνάνθη, φοίνικες, βάλανοι, μύρτα, ῥοῦ, κυπέρι, ῥόδα χλωρά, δάφνη, σχῖνος, λάδανος, κρόκος, ποταμογείτων.

III. *Περὶ θερμαινόντων.*

1. *Τὰ δὲ θερμαίνοντα ὅσα ὑπὸ ♂ καὶ ☉ ἐξουσιάζονται καὶ ἄλλα μὲν πολλά, μεθ' ὧν ἔλαιον κύπριον καὶ πάντα τὰ εὐώδη, μεθ' ὧν μύρον ἴρινον, κινάμωμον, γούνιμον, σάμψυχον, νάρκισσος, τῆλις, νάρδινον τὸ ἀπὸ τῆς στακτῆς, σμύρνα, μενδήσιον, βδέλλιον, στύραξ, κηρός, ὤκιμον, κύμινον, πίσσα ὠμὴ καὶ ἑφθή, στέαρ, μυελός, χαλβάνη, ἶρις, κασία, κινάμωμον, νάρδου στάχυς, ὀπὸς λίβανος, ἀμμωνιακὸν θυμίαμα, πήγανον, μυροβάλανον, ἰσχάδες, κόκκος νησιωτικός, κόκκος κνίδιος, ἀφρόνιτρον, στάφις ἀγρία, ἄσιος λίθος, κύπειρος, κνίδης σπέρμα, ἀλκυώνιον, ἐλλέβορος, πύρεθρον, ἰοῦ λίπισμα, χρυσόκολλις, κρόμμυον, σκόροδα, πράσον, ῥαφάνου φλοιός, ῥάφανος ἐρέβινθος. 2. Τούτοις οὖν χρήσεται ὁ ἰατρὸς καὶ ὅσα τούτοις ὅμοιά εἰσι θερμαίνοντα καὶ ἀναχαλῶντα, ἐφ' ὧν ἂν ἡ κατάκλισις πρὸς ♄ καὶ ☿ γένηται ἢ ἄλλο τι πάθος τούτοις ὑπὸ τούτων εἰσέλθῃ, καθὼς ἂν ἡ σελήνη ὑποδεικνύῃ· τοῖς δὲ ψύχουσι καὶ ἀποκρουομένοις, ἐφ' ὧν ἂν ἡ κατάκλισις ὑπὸ ♂ καὶ ☉ γένηται. 3. Ὅταν οὖν κατακλιθῇ τις ☾ οὔσης ἐν ♈ ♄ ☍ ἢ καὶ □ ἢ συνόντος αὐτῇ, μάλιστα τοῖς ἀριθμοῖς ἀφαφούσης καὶ τῷ φωτὶ λειπούσης, ἡ καταρχὴ τῆς νόσου ἀπὸ περιψύξεώς ἐστι, καὶ ἔσται τοῦτο δῆλον ἐκ τῆς κεφαλῆς. 4. Ἔστι γὰρ περὶ αὐτὴν κάρος καὶ περὶ τὰ ὄμματα καὶ βαρυαυχεῖ καὶ περὶ τὸν θώρακα ῥευματισμός, σφυγμοὶ λεπτοὶ καὶ ἄτακτοι καὶ νυκτεριναὶ ἐπιτάσεις, εὔτονοι καὶ ἐν βάθει θερμασία πολλή, ἡ δὲ ἐπιφάνεια κατεψυγμένη καὶ τὰ ἄκρα πικρῶς ψυχόμενα καὶ λειποθυμία καὶ ἀνορεξία*

καὶ ἱδρῶτες ἀκαίρως, τούτοις ἁρμόσει τὰ θερμαίνοντα καὶ ἀναχαλῶντα καὶ τὴν κοιλίαν λύοντα. 5. Ἡ δὲ τοῦ αἵματος ἀφαίρεσις ἄχρηστος, ὁ νοσῶν ἀγαθοποιοῦ μὲν μήτε παρεμπλεκομένη τῇ ☾, μηδὲ τετραγωνίζοντος μηδὲ διαμετροῦντος, οὐχ ὑπερβήσεται, ἀλλὰ τελευτήσει· ἀγαθοποιοῦ δὲ παρεμπλεκομένου νοσήσας ἱκανῶς συνθήσεται ἢ μεταπεσεῖται εἰς ἑτέραν ἀπὸ τῆσδε τῆς νόσου, ἐμπεσὼν εἰς νυκτερινοὺς ἀποτροπιασμούς. 6. Ἐὰν δὲ καὶ ὁ ♂ τὸ αὐτὸ σχῆμα ἐπέχῃ πρὸς τὴν ☾, ἀπαραβάτως τελευτήσει μέχρι τῆς διαμέτρου. 7. Ἐὰν δὲ ☾ οὔσης ἐν ♈ κατακλιθῇ τις πρὸς τὸν ♂ ἢ τὸν ☉, οὕτως σχηματιζομένη ἀπὸ κεφαλῆς ἔσται ἡ νόσος. καὶ τοῦτο δῆλον ἔσται ἐκ τοῦ τὰς μήνιγγας παραλύεσθαι. 8. Ἔσονται δὲ καὶ πυρετοὶ συνεχῆ καὶ ἀγρυπνία· καὶ καυσῶδες τὸ στόμα καὶ δίψοι ἄμετρον καὶ ταραχώδης ἡ γλῶσσα, θώρακος ἐκπύρωσις καὶ ἥπατος, σφυγμοὶ ἐπηρμένοι καὶ ἄτακτοι. 9. Τούτοις ἔσται ὠφέλιμος ἡ τοῦ αἵματος ἀφαίρεσις καὶ προσαγωγὴ πάντων τῶν δυναμένων ψύχειν καὶ παρηγορεῖν. 10. Ἔσται δὲ ἡ νόσος περικοπὴ καὶ φρενῖτις. ὁ νοσῶν οὕτως ἀγαθοποιοῦ μηδένος παρόντος τῇ ☾, ♄ δὲ παρεμπλέκοντος μέχρι τῆς ☍, τελευτήσει ἢ ἐν τῷ τετραγώνῳ καὶ μάλιστα τοῖς ἀριθμοῖς προστεθείσης τῆς ☾. ἐὰν δὲ ἀγαθοποιὸς τὴν ☾ ἴδῃ, κινδυνεύσας σωθήσεται. 11. Ἐὰν δὲ ☾ οὔσης ἐν ♃ κατακλιθῇ τις, ♄ ὄντος ἐν ☍ ἢ □ ἢ συνόντος αὐτῇ, μάλιστα τῆς ☾ ἀφαιρούσης τοῖς ἀριθμοῖς καὶ τῷ φωτί, ἔσται ἡ καταχρὴ τῆς νόσου ἐκ κραιπάλης καὶ πλήθους καὶ ἔσονται στυγνοὶ πυρετοί, τῶν δὲ ὑποχονδρίων ἄλγησις καὶ τῶν ἄρθρων καὶ οἱ σφυγμοὶ ἐπηρμένοι καὶ ἄτακτοι καὶ ὅλου τοῦ σώματος φλεγμονὴ καὶ περὶ τὸν πνεύμονα αἴσθησις. 12. Τούτοις οὖν συμφέρει ἡ τοῦ αἵματος ἀφαίρεσις καὶ πάντα τὰ δυνάμενα καθελεῖν τὴν ἕξιν, ἀγαθοποιῶν δὲ μὴ παρεμπλεκομένων ὁ οὕτως νοσῶν μέχρι τῆς ☍ ἀπαραβάτως τελευτήσει. ἀγαθοποιῶν δὲ παρόντων καὶ τὴν ☾ ἐπιθεωρούντων, κινδυνεύσας σωθήσεται. 13. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♃ κατακλιθῇ τις Ἄρεος συνόντος αὐτῇ ἢ κατὰ διάμετρον ὄντος ἢ κατὰ □, ἔσται ἡ νόσος ἐκ πλήθους αἵματος. 14. Ἔσονται δὲ πυρετοὶ συνεχεῖς καὶ στένωσις

ὅλου τοῦ σώματος καὶ πύρωσις ὅλου τοῦ τραχήλου καὶ τῶν ὀστέων ἄλγησις καὶ ἀγρυπνία ὑπερβάλλουσα καὶ ἐπιθυμία οἴνου καὶ ψυχρῶν. τούτοις ἡ τοῦ αἵματος ἀφαίρεσις ὠφέλιμος καὶ πάντα τὰ ἀναχαλῶντα. 15. Οὕτως οὖν ἔχοντος τοῦ ♂, μηδενὸς τῶν ἀγαθοποιῶν παρεμπλεκομένου, τὴν θ' οὐχ ὑπερβήσεται, ♂ ἀγαθοποιοῦ δὲ σχηματιζομένου τῇ ς' σωθήσεται. 16. Οὔσης δὲ τῆς ☾ ἐν ♊, ἐὰν κατακλιθῇ τις συνόντος ♄ ἢ □ ἢ ☍, ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ ἀγρυπνίας ἢ ὁδοιπορίας, μάλιστα ἐὰν ἡ ☾ ἀφαφῆται τῷ φωτί, ἐξιέναι τὰ ἄρθρα δοκεῖ καὶ κατὰ μικρὸν ἡ νόσος ἐμφαίνεται ἢ καὶ ἀπὸ τῆς διαμέτρου ἄρχεται αὔξειν μέχρι τριακοστῆς ἡμέρας. 17. Ἔσονται δὲ λεπτοὶ πυρετοὶ καὶ καθαίρεσις παντὸς τοῦ σώματος καὶ νυκτεριναὶ ἐπιτάσεις ἐνοχλήσουσι, σφυγμοί τε λεπτοὶ καὶ μικρὸς ἱδρὼς καὶ ὀδύνη σπληνός. 18. Θεωροῦντος δὲ Ἄρεως ἢ τὸ αὐτὸ σχῆμα ἔχοντος, μετὰ λ' ☌☌ τελευτήσει ὁ ἀσθενῶν. ἀγαθοποιῶν δὲ παρόντων καὶ τῆς ☾ μαρτυρούντων εἰς χρόνια πάθη ἐμπεσεῖται καὶ σωθήσεται. 19. Ἐὰν δὲ ☾ οὔσης ἐν ♊ κατακλιθῇ τις Ἄρεος συνόντος ἢ □ ἢ ☍ ☾''' αὐξούσης τοῖς τε ἀριθμοῖς καὶ τῷ φωτί, ἔσται ἡ νόσος ἐπισφαλὴς καὶ ἐπικίνδυνος. 20. Ἔσονται γὰρ πυρετοὶ συνεχεῖς καὶ στεγνώδεις καὶ καυσώδεις καὶ σφυγμοὶ ἐπηρμένοι καὶ ἄτακτοι. τούτοις συνήσει ἡ τοῦ αἵματος ἀφαίρεσις. 21. Ἐὰν δὲ ἀγαθοποιὸς τὴν ☾ μὴ θεωρῇ ♄ τὸ αὐτὸ σχῆμα ἐπέχοντος, ἄχρι τῆς ☍ τελευτήσει· ἐὰν δὲ ἀγαθοποιοὶ θεωρήσωσι τὴν ☾, κινδυνεύσας συνθήσεται. 22. Οὔσης δὲ τῆς ☾ ἐν ♋, ἐὰν κατακλιθῇ τις ♄ συνόντος ἢ ☍ ἢ □, ἔσται ἡ καταχρὴ τῆς νόσου ἀπὸ βαλανείου καὶ καταψύξεως ἢ καὶ καταψύξεως, καὶ περὶ τὸν θώρακα ῥευματισμὸς καὶ βῆχες καὶ στέγνωσις καὶ πυρετοὶ λεπτοί, τούτοις συνήσει πάντα τὰ θερμαίνοντα. ἀγαθοποιῶν δὲ καὶ θεωρούντων τὴν ☾, ἀλλὰ κακοποιῶν ἐπιμαρτυρούντων, κακοπαθήσας τελευτήσει. 23. Ἐὰν δέ τις κατακλιθῇ, τῆς ☾ οὔσης ἐν ♋, Ἄρεως σύνοντος ἢ □ ἢ ☍, ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ αἵματος καὶ χολέρας καὶ τῆς τοῦ στομάχου ἀποτροπῆς. τούτοις οὖν ἁρμόσει πάντα τὰ ψύχοντα. 24. Ἐὰν δὲ ἀγαθοποιοὶ μὴ ἐπιθεωρῶσιν, ἐπὶ τὴν δεκάτην □ τελευτήσει. ἐὰν δὲ

*ἀγαθοποιὸς τὴν ☾ θεωρήσει, ἀπὸ πρώτης συνθήσεται. 25. Ἐὰν δὲ ☾ οὔσης ἐν ♌ κατακλιθῇ τις, ♄ συνόντος ἢ ☍ ἢ □, ἔσται ἡ καταρχὴ τῆς νόσου ἐπὶ πλήθους θερμότητος περὶ ὅλον τὸν θώρακα καὶ τῶν ὑποχονδρίων αἴσθησις καὶ πυρετοὶ ἔσονται ἐπιτεταμένοι καὶ σφυγμοὶ καὶ ἐν βάθει θερμασίαι καὶ ἐν τῇ ἐπιφανείᾳ. τούτοις ἁρμόσει πάντα τὰ θερμαίνοντα καὶ χαλῶντα. 26. Ἐὰν δὲ ἀγαθοποιὸς τὴν ☾ μὴ ἐπιθεωρήσῃ, μέχρι τῆς ☍ τελευτήσει. ἐὰν δὲ ἀγαθοποιοὶ ἐπιθεωρήσωσι τὴν ☾, πολλὰ κακοπαθήσας σωθήσεται. 27. Ἐὰν δὲ ☾ οὔσης ἐν ♌ κατακλιθῇ τις, ♂ συνόντος ἢ □ ἢ ☍, ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ πλήθους αἵματος καὶ ἔσονται πυρετοὶ ῥοώδεις καὶ σφυγμοὶ ἄτονοι καὶ λειποθυμίαι καὶ ἀνορεξία· καὶ βάρος καὶ καταφορὰ καὶ πάρεσις παντὸς τοῦ σώματος καὶ καρδιακαὶ διαθέσεις· τούτοις ἁρμόσει πάντα τὰ στενοῦντα καὶ ψύχοντα. 28. Ἐὰν δὲ μηδεὶς ἀγαθοποιὸς ἐπιθεωρήσῃ τὴν ☾, μέχρι τῆς ἐνάτης ἡμέρας τελευτήσει, ἐὰν δὲ ἀγαθοποιοὶ ἐπιθεωρήσωσι, μέχρι τῆς ☍ κινδυνεύσας σωθήσεται. 29. Οὔσης δὲ τῆς ☾ ἐν ♏ ἐὰν κατακλιθῇ τις ♄ ὄντος σὺν αὐτῇ ἢ ☍ ἢ □, ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ βραδυπεψίας καὶ ὠμότητος περὶ τὴν κοιλίαν καὶ περὶ τὰ ἔντερα αἴσθησις καὶ τῶν ὑποχονδρίων καὶ πυρετοὶ στεγνοὶ καὶ ἀνωμαλίαι καὶ ἀνέσεις. τούτοις ἁρμόσει πάντα τὰ θερμαίνοντα καὶ ἀναχαλῶντα. 30. Ἐὰν δὲ ἀγαθοποιὸς μὴ ἐπιθεωρήσῃ, κινδυνεύσας περὶ τὴν ιδʹ ἡμέραν τελευτήσει. ἐὰν δὲ ἀγαθοποιοὶ θεωρήσωσι τὴν ☾, σωθεὶς πολυχρόνιος ἔσται πλὴν ἐμπαθής. 31. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♏ κατακλιθῇ τις, ♂ συνόντος αὐτῇ ἢ ☍ ἢ □, ἡ νόσος ἔσται ἀπὸ ῥύσεως τῆς κοιλίας, καὶ ἑλκώσις περὶ τὸ ἔντερον, πυρετοί τε λεπτοὶ καὶ ῥοώδεις καὶ σφυγμοὶ ἄτονοι καὶ πυκνοί, ἀνορεξία τε καὶ τοῦ στομάχου ἀνατροπή. τούτοις ἁρμόσει πάντα τὰ στεγνοῦντα. 32. Ἐὰν δὲ ἀγαθοποιὸς μὴ ἐπιθεωρήσῃ τὴν ☾, ἐν τῇ λʹ ἡμέρᾳ τελευτήσει· ἐὰν δὲ ἀγαθοποιοὶ θεωρήσωσι ἐπιταγῇ θεῶν σωθήσεται. 33. Οὔσης δὲ τῆς ☾ ἐν ♎ ἐὰν κατακλιθῇ τις συνόντος αὐτῇ ♄ ἢ □ ἢ ☍, ἡ καταρχὴ τῆς νόσου ἐξ οἰνοποσίας ἔσται καὶ κραιπάλης, καὶ μάλιστα ἐὰν ἀφαιρῇ τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς καὶ νυκτερινὴ γενήσεται ἡ κατά-*

κλισις. 34. Ἔσται δὲ καὶ ἐπὶ τὴν κεφαλὴν καὶ τὸν θώρακα πάθη καὶ ῥευματισμοὶ καὶ βηχὸς ταραχὴ καὶ βάρος περὶ τὸ στῆθος καὶ ἀνορεξία καὶ δυσεπισημασίαι νυκτεριναὶ καὶ συνεχεῖς πόνοι καὶ ἄτονοι σφυγμοί. τούτοις ἁρμόσει πάντα τὰ θερμαίνοντα. 35. Καὶ ἐὰν ἡ ☾ ἀνεπιθεώρητος ᾖ ὑπὸ πάντων, κινῆται δὲ τὰ μέγιστα, ἐπὶ τὴν πόλιν ☾ ἐλθοῦσα ἐπισημασίαν ποιησαμένη λύει τὴν νόσον. 36. Ἐὰν δὲ καὶ τὰ ἀρρενικὰ κινῆται, μέχρις οὗ ἑσπεριάσει τὸν ☉, ἀνωμάλως νοσῶν καὶ ἂν πυκνότερον ἀνατροπιάζων σωθήσεται. 37. Ἐὰν δὲ μόλις κινουμένης καὶ ἀνεπιθεωρήτου οὔσης ἢ κατὰ πρόσθεσιν ἢ κατὰ ἀφαίρεσιν ἢ καθ' ὁποιονδηποτοῦν τρόπον αἱματορροήσῃ καὶ αἵματος ῥύσιν περιβάλῃ, τούτοις ἡ περίοδος τὸ πάθος λύσει. ὠχροὶ δὲ ἢ μελάγχροοι ἐπὶ πολλοὺς χρόνους γενήσονται, οὐδὲν δὲ ἧττον διασώζονται. 38. Ἐὰν δὲ [καὶ] ὁ τοῦ ♂ τὸ αὐτὸ σχῆμα ἐπισχῇ κατὰ τὴν □ ἀπαραβάτως τελευτήσει. 39. Ἐὰν δὲ ☾ οὔσης ἐν ♎ κατακλιθῇ τις ♂ συνόντος αὐτῇ ἢ ☍ ἢ □, ἔσται ἡ νόσος ἀπὸ αἵματος πλήθους καὶ ἔσονται πυρετοὶ ἐπιτεταμένοι καὶ σφυγμοὶ ἐπηρμένοι καὶ ἀγρυπνία καὶ περὶ ὅλον τὸ σῶμα φλεγμονή. τούτοις ἁρμόσει ἡ τοῦ αἵματος ἀφαίρεσις καὶ πάντα τὰ δυνάμενα καθαιρεῖν τὴν ἕξιν. 40. Ἀγαθοποιοῦ δὲ μὴ ἐπιθεωροῦντος μέχρι τῆς ☍ κινδυνεύσει, ἐὰν δὲ ἀγαθοποιὸς θεωρήσῃ, κινδυνεύσας σωθήσεται. 41. Οὔσης δὲ τῆς ☾ ἐν ♉ ἐὰν κατακλιθῇ τις, ♄ συνόντος αὐτῇ ἢ ☍ ἢ □, ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ ἑλκώσεως ἢ βουβώνων ἢ τόπων κρυφίων τουτέστι δακτυλίου ἢ αἰδοίου. ἐὰν οὖν προστιθῇ ἡ ☾ τοῖς ἀριθμοῖς καὶ τῷ φωτί, σωθήσεται ὁ νοσῶν. 42. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♏, ♂ συνόντος αὐτῇ ἢ □ ἢ ☍, λειπούσης μέντοι τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς, ἀγαθοποιοῦ ἐπιθεωροῦντος σωθήσεται. ὁ αὐτὸς τρόπος νοείσθω καὶ ἐπὶ τούτου τοῦ ζῳδίου ὅπερ καὶ ἐπὶ τῶν λοιπῶν, ἐπεὶ τὰ αὐτὰ σχήματα ἔχει ἡ ☾. 43. Οὔσης δὲ τῆς ☾ ἐν ♐ ἐὰν κατακλιθῇ τις, ♄ ὄντος σὺν αὐτῇ ἢ □ ἢ ☍, ἔσται ἡ καταρχὴ τῆς νόσου ἐκ ῥύσεως καὶ ♑ ῥευμάτων καὶ δριμέων, ἔσονται ἐναλλαγεῖς τοῖς ἄρθροις καὶ ῥιγοπυρέτοις συνεχόμενοι καὶ τῶν ἄκρων ψύξεις μάλιστα τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς ἀφαφούσης. Ἀλάσον-

ται γὰρ διπλαῖς ἐπισημασίαις, καὶ ἔσονται δεδοικότες. 44. Τούτοις ἁρμόσει πάντα τὰ ἀναχαλῶντα καὶ θερμαίνοντα. ἐὰν δὲ ἀγαθοποιὸς θεωρήσας τύχῃ τὴν ☾, κινδυνεύσας συνθήσεται. 45. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♐ συνόντος ♂ ἢ ☍ ἢ □, τῷ φωτὶ αὐξούσης ☾ καὶ τοῖς ἀριθμοῖς, ἔσται ἡ νόσος ἐπισφαλὴς καὶ ἐπικίνδυνος. 46. Ἔσται γὰρ ἀπὸ πλήθους καὶ κραιπάλης καὶ ἔσονται πυρετοὶ ῥοώδεις καὶ χολερικὰ πάθη καὶ κοιλίας ῥύσεις καὶ σφυγμοὶ ἄτονοι. τούτοις ἁρμόσει πάντα τὰ ψύχοντα καὶ στεγνοποιοῦντα. 47. Ἐὰν δὲ ἀγαθοποιὸς μὴ ἐπιθεωρήσῃ τὴν ☾, τῇ ζʹ ὅτι ἀναιρεθήσεται· ἐὰν δὲ ἀγαθοποιὸς θεωρήσῃ, εἰς τὴν ☍ κινδυνεύσας σωθήσεται. 48. Οὔσης δὲ τῆς ☾ ἐν ♑ ἐὰν κατακλιθῇ τις, ἀφαιρούσης τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς, ♄ ὄντος σὺν αὐτῇ ἢ ☍ ἢ □, ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ ψύξεως βαλανείου καὶ ῥευμάτων λεπτῶν καὶ περὶ τὸν θώρακα αἴσθησις καὶ περὶ τὸν πνεύμονα βηχὸς ἐκτάσεις νυκτεριναὶ καὶ πυρετοὶ ἐπιτεταμένοι. τούτοις ἁρμόζει τὰ ἀναχαλῶντα καὶ θερμαίνοντα. 49. Ἐὰν δὲ ἀγαθοποιὸς ἐπιθεωρήσῃ τὴν ☾, ἔσται τὸ πάθος πολυχρόνιον, οὐ μέντοι τελευτήσει. 50. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♒ κατακλιθῇ τις ♂ συνόντος ἢ ☍ ἢ □, ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ ἐμέτων καὶ χολέρας ἢ βαρυπεψίας, ἔσται δὲ ἡ νόσος ἐπικίνδυνος, καὶ ἀνορεξία καὶ νεύρου σύστασις καὶ κοιλίας ῥύσις καὶ περὶ τὸν δάκτυλον δριμύτης καὶ ἕλκωσις καὶ συνεχεῖς πυρετοὶ καὶ ῥοώδεις καὶ σφυγμοὶ ἄτονοι καὶ περὶ τὸν θώρακα ἐκπύρωσις. τούτοις ἁρμόσει τὰ στύφοντα καὶ στεγνοῦντα. ἐὰν δὲ ἀγαθοποιοὶ μὴ ἐπιθεωρήσωσι τὴν ☾, ἐν ☍ τελευτήσεται. ἐὰν δὲ ἀγαθοποιοὶ τὴν ☾ ἐπιθεωρήσωσι μετὰ τὴν ζʹ σωθήσεται. 51. Ἐὰν δέ τις κατακλιθῇ τῆς ☾ οὔσης ἐν ♒, προστεθείσης ἢ ἀφαιρούσης τοῖς ἀριθμοῖς καὶ τῷ φωτί, ♄ συνόντος αὐτῇ ἢ ☍ ἢ □, ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ κόπων ἢ ἀγρυπνίας ἢ ὁδοιπορίας, καὶ ἡ νόσος ἐν ἐπιτάσει τε καὶ ἀνέσει μέχρι τῆς ☍ σωθήσεται, καὶ μάλιστα ἐὰν ἀγαθοποιοὶ τὴν ☾ ἐπιθεωρήσωσιν. 52. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♒ κατακλιθῇ τις τοῖς ἀριθμοῖς, ἀφαιρούσης καὶ τῷ φωτί, ♂ συνόντος αὐτῇ ἢ ☍ ἢ □, ἔσται ἡ νόσος τῶν ὀξυτάτων παθῶν, πλὴν κινδυνεύσας σωθήσεται ἀπὸ τῆς ιθʹ,

*ὅτι καὶ μάλιστα ἀγαθοποιῶν ἐπιμαρτυρούντων.* 53. *Ἐὰν δέ τις κατακλιθῇ τῆς ☾ οὔσης ἐν ♓ καὶ τῷ φωτὶ ἀφαιρούσης ἢ καὶ τοῖς ἀριθμοῖς, ♄ συνόντος αὐτῇ ἢ ☍ ἢ □, ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ περιψύξεως βαλανείου καὶ ῥευμάτων.* 54. *Ἔσται γὰρ ψύξις τῷ ἀνθρώπῳ καὶ συχνοὶ ῥιγοπύρετοι καὶ ἐπισημασίαι πυκναὶ καὶ στέγνωσις καὶ νυγμοὶ καὶ τῶν μασθῶν καὶ τῶν ὑποχονδρίων αἴσθησις. ἁρμόσει δὲ τούτοις πάντα τὰ θερμαίνοντα καὶ ἀναχαλῶντα.* 55. *Ἐὰν δὲ ἀγαθοποιοὶ μὴ ἐπιθεωρήσωσι τὴν ☾, ἐν τῇ ☍ τελευτήσει. ἀγαθοποιῶν δὲ θεωρησάντων τὴν ☍ παραλλάξας σωθήσεται, πλὴν ἕξει πολυχρόνιον αἴσθησιν περὶ τὰ νεῦρα.* 56. *Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♓ τοῖς τε ἀριθμοῖς προστιθείσης καὶ τῷ φωτί, ♂ συνόντος ἢ ☍ ἢ □, ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ πλήθους ἀναποσίας. διὸ καὶ αὔξει ἡ νόσος ἐπιτάσεσι νυκτεριναῖς.* 57. *Ἔσται γὰρ μεταπύρωσις τοῦ σώματος καὶ παραγωγὴ τῶν λογισμῶν καὶ φρενῖτις καὶ περὶ τὴν κεφαλὴν κάρωσις καὶ πυρετοὶ καυσώδεις καὶ δίψα σφοδρὰ καὶ οἴνου ἐπιθυμία. Τούτοις ἁρμόσει ἡ τοῦ αἵματος ἀφαίρεσις καὶ πάντα τὰ δυνάμενα τὴν ἕξιν καθελεῖν. Εἰ μὲν οὖν ἀγαθοποιοὶ μὴ ἐπιθεωρήσουσι τὴν ☾, ἐν τῇ α′ □ τελευτήσει.* 58. *Ἐὰν δὲ τῆς ☾ οὔσης μετὰ τοῦ ♃ ἢ καὶ τῆς ♀ ἢ ☍ ἢ □ ἐν οἱῳδηποτοῦν ζῳδίῳ κατακλιθῇ τις, μέχρι τῆς α′ □ ἢ τῆς ☍ ἀνωμάλως συνθήσεται.* 59. *Πολὺ δέ τι καὶ ἡ ὥρα συμβάλλεται ἡ ἐν τῇ κατακλίσει. ἐὰν γὰρ ὡροσκοπῶσιν ἢ μεσουρανῶσιν οἱ ἀγαθοποιοί, τῆς ☾ οὔσης μετὰ τῶν κακοποιῶν συναντιλήψονται τῷ ἀρίστῳ ἰατρῷ εἰς τὰ περὶ ζωῆς βοηθήματα.* 60. *Ἐξετάζειν οὖν δεῖ τὴν ἡμέραν καὶ τὴν ὥραν τῆς κατακλίσεως καὶ συνορᾶν τὸν κόσμον πῶς διάκειται· χωρὶς γὰρ τῆς κοσμικῆς συμπαθείας τοῖς ἀνθρώποις οὐδὲν ἐπιγίνεται.*

# XXVII.

## ΘΕΟΦΙΛΟΥ

## ΠΕΡΙ ΔΙΑΧΩΡΗΜΑΤΩΝ.

---

### ΠΡΟΟΙΜΙΟΝ.

1. *Ἐπειδὴ τὰς διαθέσεις τοῦ σώματος τῶν ἐν τῷ βάθει* Ed. Guidot. p.240 *κειμένων μορίων, τάς τε κατὰ φύσιν καὶ τὰς παρὰ φύσιν ἐκ τῶν ἐκκρινομένων περιττωμάτων γινώσκομεν, ὁδὸς δὲ τῶν ἐκκρίσεων ἡ κάτωθεν διττή, ἡ μὲν δι' οὔρων, ἡ δὲ διὰ γαστρός, καὶ αὐτῶν τῶν ἐκκρίσεων τὰ μὲν κατὰ φύσιν ἐστί, τὰ δὲ παρὰ φύσιν, καλῶς ἔχον ἐστὶ καὶ περὶ αὐτῶν διορίσασθαι τὰ νῦν ἀκριβέστερα.* 2. *Ἀλλ' ἐπειδὴ περὶ διαφορᾶς οὔρων ὁ πρὸ τοῦδε λόγος ἱκανῶς ἐξηγήσατο, δέον ἡμῖν ἐν τῷ νῦν λόγῳ διδάξαι τῶν διὰ γαστρὸς ἐκκρινομένων περιττωμάτων τὰ γένη, καὶ τὰς διαφορὰς αὐτῶν, καὶ τί σημαίνουσιν ἓν ἕκαστον αὐτῶν; ὅπως ἐκ τούτων τοὺς ἀφανεῖς πάσχοντας τόπους εὐχερῶς καταμάθωμεν καὶ τὴν δέουσαν τάξιν τοῖς βοηθήμασιν ἐπιθήσωμεν, καὶ τὰς θεραπείας αὐτῶν εὐκάλως προσενέγκωμεν, καὶ τὴν ὑγείαν τοῖς καλῶς θεραπευομένοις ἀνθρώποις ἀπονέμωμεν.* 3. *Ὁ μὲν οὖν λόγος, τὸ παρὸν γράμμα, σπουδάζει διδάξαι περὶ* 242 *διαχωρημάτων· λέγομεν οὖν πρότερον, τί ἐστιν ἁπλοῦν διαχώρημα, εἶτα τὸν τόπον, εἰς ὃν γεννᾶται, μετὰ δὲ ταῦτα ποῦ διακρίνεται, ἔπειτα τὸν τόπον, εἰς ὃν εἰδοποιούμενον κόπρος ἀποτελεῖται.*

### α'. Περὶ διαχωρημάτων γενέσεως καὶ διαφορᾶς.

1. *Διαχώρημα δὲ λέγειν ἢ ἀποπάτημα ἢ ὑποχώρημα· οὐ διοίσουσι γὰρ κατὰ τὸ πρᾶγμα, εἰ καὶ διάφορα τὰ ὀνό-*

*ματα. 2. Ἔστιν οὖν τὸ ἁπλῶς διαχώρημα τὸ ἀποσκυβάλισμα τοῦ ἐν τῇ γαστρὶ πεφθέντος χυλοῦ. 3. Τοῦ οὖν χυλοῦ ὠθουμένου ὑπὸ τῆς ἀποκριτικῆς δυνάμεως τῆς γαστρὸς εἰς τὰ λεπτὰ ἔντερα ἀδιακρίτως (οὐ γάρ ἐστιν ἐν τοῖς ἐντέροις δύναμις ἑλκτική, καθὼς ἡ θέσις τῶν ὑγιεινῶν δηλοῖ), πρῶτον μὲν διακρίνεται ὁ χυλός, εἶτα διαχωρίζεται τὸ σκύβαλον ἀπὸ τοῦ καθαροῦ χυλοῦ, ὠθούμενον καὶ διωκόμενον πρὸς τὰ παχέα ἔντερα ὡς ἄχρηστον. 4. Τὸν γὰρ καθαρώτατον χυλὸν ἕλκει τὸ ἧπαρ διὰ τῶν μεσαραϊκῶν φλεβῶν εἰς τὰς πύλας αὐτοῦ εἰς κατασκευὴν αἵματος. 5. Τὸ οὖν ἀποδιωχθὲν ἐν τῇ διακρίσει τῶν λεπτῶν ἐντέρων σκύβαλον εἰς τὰ παχέα ἔντερα, τὴν μόρφωσιν ἐν αὐτοῖς λαβὸν τοῖς παχέσιν ἐντέροις ἡ κόπρος ἀποτελεῖται. 6. Αὕτη*
244 *ἡ κόπρος ἐν τῷ διαφορηθῆναι ἢ μαλθακὴ φαίνεται, ἢ σκληρά· καὶ ἢ συνεστηκυῖα ἢ διεσπασμένη· καὶ ἢ κατὰ τὴν ὥραν τῆς πέψεως ἢ ἀκαίρως· καὶ ἢ πολλὴ ἢ ὀλίγη· καὶ ἢ ταχεῖα κατὰ τὴν διέξοδον ἢ βραδεῖα· καὶ ἢ ἀθρόα ἢ κατ' ὀλίγον· καὶ ἢ κεχρωσμένη ἢ λευκή· καὶ ἄλλαι δὲ κατὰ μέρος πολλαὶ διαφοραὶ τῶν διαχωρημάτων, ὡς προϊὼν ὁ λόγος διδάξει. 7. Ἐν δὲ τῷ νῦν περὶ τοῦ κατὰ φύσιν διαχωρήματος εἴπωμεν, ὅτι καὶ τὰ παρὰ φύσιν διαχωρημάτων εἴπωμεν, ὅτι καὶ τὰ παρὰ φύσιν διαχωρήματα ἐξ αὐτῶν γνωρίζωμεν.*

### β'. *Περὶ τοῦ κατὰ φύσιν διαχωρήματος.*

*1. Ἔστι τοίνυν τὸ κατὰ φύσιν διαχώρημα ἐν τοῖς ὑγιαίνουσι καὶ τοῖς νοσοῦσι τὸ μαλθακὸν καὶ συνεστηκός, καὶ κατὰ τὴν ὥραν τὴν μετὰ τὴν πέψιν διαχωρούμενον, ἀμέμπτως ὑγιαίνειν τὴν γαστέρα πεπίστευται. 2. Εἰ δὲ καὶ τὸ πλῆθος σύμμετρον, ἤδη καὶ τὴν ἀνάδοσιν ὡσαύτως ἐπιτελεῖσθαι, εἰ καὶ τὸ οἰκεῖον χρῶμα ἀποσώζει, ὡς εἶναι πυῤῥὸν ἢ ὑπόπυῤῥον καὶ κατὰ τὴν ὄσφρησιν μὴ λίαν δυσῶδες. 3. Οὗτός ἐστιν ὁρισμὸς ὁλόκληρος, τοιοῦτον μὲν εἶναι τὸ κατὰ φύσιν διαχώρημα, τὸ δὲ κατά τι τούτων ἐκτρεπόμενον, οὐ κατὰ φύσιν. 4. Τὸ γὰρ συνεστηκὸς ἡνῶ-*
246 *σθαι δεῖ τοῖς ἐν αὐτοῖς μορίοις ἅπασι καὶ ἐν ὑπάρχειν ἀκριβῶς πρὸς ἄλληλα. 5. Εἰ δὲ τὰ μὲν ὁλόκληρά τε καὶ*

*τραχέα καὶ σκληρὰ τῶν μορίων αὐτοῦ φαίνοιτο, τὰ δὲ ὑγρὰ καὶ ὑδατώδη, πῶς ἂν εἴη ταῦτα πρὸς ἄλληλα συνεστηκότα; διαλέλυται γὰρ ἀπ' ἀλλήλων.* 6. *Καὶ τὰ μὲν τραχέα καὶ σκληρὰ κεχώρισται πάντη, τὸ δ' ὑγρόν, ὡς ἂν ὑδατῶδές τε καὶ λεπτόν, οὐ δύναται συνιέναι ἐν τοῖς ἐντέροις, περιρρέον ἀνώμαλόν τε ἅμα καὶ οὐδαμῶς συνεστηκὸς ἐργάζεται τὸ διαχώρημα.* 7. *Δεῖ δὲ καὶ τὴν ὥραν φυλάττεσθαι τῆς ἀποκρίσεως ἐπακολουθοῦσαν τῷ καιρῷ τῆς πέψεως, ὅπως μήτε ὀψιαίτερον μήτε πρωϊαίτερον τὸ διαχώρημα γίνηται.* 8. *Τὸ μὲν γὰρ ὀψιαίτερον, εἶναι τὴν πέψιν αὐτήν, τὴν διὰ τῶν ἐντέρων φοράν, ἐνδείκνυται βραδυτέραν, ἢ διὰ τὸ τὴν ἀλλοιωτικὴν δύναμιν εἶναι, ἢ τὴν ἀποκριτικήν· τὸ δὲ πρωϊαίτερον, ἢ τῆς καθεκτικῆς δυνάμεως ἀσθένειαν ἢ δῆξίν τινα ὑπὸ ξανθῆς χολῆς ἐρεθιζούσης τοὺς κατὰ τὰ ἔντερα τόπους δηλονότι.* 9. *Λοιπὸν ὑπὸ τοῦ χρῆναι κατὰ λόγον τῶν εἰσιόντων εἶναι τὰ ἐκκρινόμενα διελθεῖν· ὑπέλιπε τοίνυν μαλθακὸν καὶ συνεστηκὸς καὶ τὴν ἔγκαιρον ὥραν ἐκκρινόμενον.* 10. *Εἰ μὴ διασώζοιτο καὶ τὸ πλῆθος τῶν ἐδηδεσμένων, ἴσχεταί πού τι μέρος κατὰ τὸ τυφλὸν ἔντερον, ἢ τὸ κῶλον ἢ καὶ ταῖς ἄλλαις ἕλιξι ταῖς λεπταῖς.* 11. *Οὐκ ἀγαθὸν τοῦτο, καὶ ὡς αἴτιον· ὡς σημεῖον, ὅτι τὴν ἀποκριτικὴν δύναμιν* 248 *ἄρρωστον εἶναί φησιν· ὡς αἴτιον, ὅτι μένει τινὰ τῶν περιττωμάτων ἔνδον, ἃ χρὴ ἐκκενοῦσθαι μᾶλλον.* 12. *Καὶ τὸ χρῶμα δ' ὑπόπυρρον ἔστω καὶ τῇ ὀσφρήσει μὴ λίαν δυσῶδες, ὥστε τὸ μὲν ἅπαντα ἔχον διαχώρημα τὰ προειρημένα, βεβαίως ἐνδείκνυται τὴν κοιλίαν ὑγιαίνειν.* 13. *Τὸ δ' ἤτοι πυρρὸν ἄκρατον εἶναι διαχώρημα, ἢ μηδ' ὅλως κεχρωσμένον κατὰ χροιάν· τὸ μὲν πρότερον δηλοῖ πολλὴν χολὴν πυρρὰν συρρέουσαν κατὰ τὴν γαστέρα· τὸ δὲ δεύτερον ἐσχάτην ἀπεψίαν τῆς ἀλλοιωτικῆς δυνάμεως ἀρρωστησάσης ἐν τοῖς τοιούτοις διαχωρήμασιν.* 14. *Εἰ δὲ οὐ μόνον ἄπεπτος ἡ διαχώρησις, ἀλλὰ καὶ ἀθρόα καὶ ταχεῖα, καλεῖται τὸ νόσημα λειεντερία.* 15. *Τῇ οὖν λειεντερίᾳ χρονισάσῃ, καθώς φησιν Ἱπποκράτης, ὀξυρεγμίη ἐπιγινομένη, μὴ γινομένη πρόσθεν, σημεῖον ἀγαθόν.* 16. *Ὁμώνυμος δὲ ἡ ὀξυρεγμία, ἡ μὲν κατὰ γραμματικοὺς ὀξεῖα ὄρεξις, ἡ δὲ κατὰ τοὺς ἰατροὺς ἡμιπεψία οὖσά τις.* 17. *Ταύτην*

*καὶ Ἱπποκράτης λέγει ἐπιγινομένην τῇ λειεντερίᾳ σημεῖον ἀγαθὸν εἶναι, καθὼς καὶ ἀλλαχοῦ φησιν. Οἱ ὀξυρεγμιώδεες οὐ πάνυ τι πνευματώδεές εἰσιν. Οἱ γὰρ πνευματώδεες παντελῶς εἰσιν ἄπεπτοι. [Οἱ δὲ ἡμίπεπτοι οὐκ εἰσὶν ἄπεπτοι.]*

250 *γ΄. Διὰ ποίαν αἰτίαν ἐλάττονα γίνονται τὰ διαχωρήματα.*

*Τὰ μὲν οὖν ἐλάττονα διαχωρήματα ἢ παρὰ τὴν τῶν ἐδηδεσμένων προσφοράν, ἢ διὰ πολλὴν ἀνάδοσιν γίνονται, καθώς φησιν Ἱπποκράτης. Οὔρησις νυκτὸς πολλὴ γινομένη ἐξικμάζεσθαί τε καὶ ξηραίνεσθαι τὸ καλῶς πεφθὲν σημαίνει. Ὥσπερ δι' ἀρρωστίαν ἀναδόσεως ὑγρότερα καὶ πλείονα τοῦ δέοντος ὑπιέναι σημαίνει.*

*δ΄. Περὶ συνεχῶν διακρίσεων.*

1. *Συνεχεῖς δ' ἐκκρίσεις γίνονται ἢ δι' ἀτονίαν ἢ διὰ δῆξιν. Ἡ μὲν οὖν ἀτονία τῶν κατὰ τὴν κοιλίαν ὀργάνων, ἡ δὲ δῆξις διὰ μοχθηροὺς χυμοὺς περιεχομένους κατὰ τὴν γαστέρα.* 2. *Τέσσαρες δέ εἰσιν αἰτίαι τῶν δακνόντων περιττωμάτων· ἤτοι φαρμακώδης τις δύναμις ἐς τοσοῦτον λειφθεῖσα, ἢ καθ' ἑαυτήν, ἢ καὶ τῶν ἐδεσμάτων ἐπιδιαφοράν.* 3. *Καὶ ὅσα ἐκ τοῦ σώματος εἰς τὴν γαστέρα συρρεῖ δακνώδη περιττώματα, καὶ ὅσα κατ' αὐτὴν γεννᾶται, καθάπερ ἐν δυσεντερίαις ταῖς ἐφ' ἑλκώσεσιν, ἢ διὰ παράλυσιν τοῦ κατὰ τὸν δάκτυλον μυὸς τοῦ ὀνομαζομένου*
252 *σφιγκτῆρος· ἀπροσαίρετος γὰρ ἐπὶ τῇ παραλύσει τοῦ μυὸς τούτου, καὶ διὰ τοῦτο ἄτακτός ἐστι καὶ ἄκαιρος καὶ συνεχής.*

*ε΄ Τί σημαίνει τὸ λευκὸν καὶ ξηρὸν διαχώρημα.*

*Τὸ λευκὸν καὶ ξηρὸν διαχώρημα σημαίνει τὴν γαστέρα ψυχροτέραν εἶναι· σημαίνει καὶ ἔμφραξιν τοῦ χολώδους ἀγγείου, καὶ τὴν ἑλκτικὴν δύναμιν τοῦ ἥπατος ἀρρωστοτέραν εἶναι· διὰ γὰρ τὸ γενέσθαι πολλὴν ἀνάδοσιν ἐν τῷ ἥπατι τοῦ καθαρωτέρου χυλοῦ ἄνικμον κατελείφθη τὸ διαχώρημα.*

*ς΄. Τί δηλοῖ τὸ λευκὸν καὶ ὑγρὸν διαχώρημα;*

1. *Τοῦτο τοῦ προτέρου κατὰ τὸ ἓν σκέλος ἐναντίον· τὸ μὲν γὰρ λευκὸν ἐν ἀμφοτέροις ὂν ψυχρότητα τῆς γα-*

στρὸς σημαίνει, ἀσθένειαν δὲ τῆς ἑλκτικῆς δυνάμεως τοῦ ἥπατος. 2. Οὐ γὰρ ἴσχυσεν ἕλξαι τὸ ἧπαρ τὸν ἐκ τῆς γαστρὸς πρὸς ἔντερα ἐκκρινόμενον καθαρὸν χυλόν· καὶ διὰ τοῦτο γέγονε καὶ τὸ διαχώρημα κάθυγρον. 3. Σημαίνει δὲ τὸ τοιοῦτον καὶ πλῆθος βρωμάτων βαρυνόντων τὴν δύναμιν καὶ μὴ ἐώντων καλῶς πεφθῆναι.

ζ'. *Περὶ ψυχρῶν διαχωρημάτων.* 254

1. Ἡ δὲ γαστὴρ ψύχεται ἢ ἐκ τῶν ἔσωθεν, ἢ ἐκ τῶν ἔξωθεν ἀπορίᾳ σκεπασμάτων. Ἐκ δὲ τῶν ἔσωθεν ἢ διὰ ψυχροποσίαν πολλήν, ἢ δι' ἀτονίαν φυσικήν. 2. Τοιαῦτα γίνονται ὡς ἐπὶ τῶν γερόντων, καὶ ἐξεπίτηδες νοσημάτων, ὡς ἐπὶ τῶν ὑδρωπικῶν, καὶ διὰ φλέγματος περιουσίαν, καὶ μάλιστα εἰ καὶ ἀφρῶδες εἴη τὸ τοιοῦτον διαχώρημα. 3. Σημαίνει γὰρ ἀπὸ τῆς κεφαλῆς φλέγμα καταρρεῖν, καθώς φησιν Ἱπποκράτης· ὁκόσοισιν ἀφρώδεα διαχωρήματα ἐν τῇσι διαρροίῃσι, τουτέοισιν ἀπὸ τῆς κεφαλῆς φλέγμα καταρρεῖ.

η'. *Περὶ ἀπέπτων διαχωρημάτων.*

Τὸ ἄπεπτον διαχώρημα ἢ ὅλον ὅλως ἐστὶν ἄπεπτον, ἢ κατά τι τούτων παραλλάττον. Τὸ μὲν οὖν καθόλου ἄπεπτον καὶ τραχὺ καὶ ἀζύμωτόν ἐστι καὶ τὴν τῶν ἐδηδεσμένων διαφυλάττον ποιότητα. Τὸ δὲ κατά τι μέρος ἢ κατὰ χρῶμα διαλλάττον, ἢ κατά τι τῶν συστατικῶν διαφορῶν ἐστιν· ὡς εἶναι καὶ ἄλλο γένος διαχωρήματος ἐπὶ τούτοις, τὸ μηκέτι ἐκ τῆς τῶν σιτίων διαθέσεως, ἢ ἐξ ἄλλης διαφορᾶς παραλλάττον, ἀλλ' ἐκ τῆς τῶν ῥεόντων περιττότητος ἐκ παντὸς τοῦ σώματος ἐνδείκνυσθαί τι δυνάμενον 256
ἀπεψίας εἶδος, οἷόν περ καὶ τὸ πυρρὸν ἀκράτως, ὅτι ὁ τῆς πυρρᾶς χολῆς χυμὸς ἄκρατός τε καὶ πολὺς εἰς τὸν γαστέρα συρρέων γίνεται.

θ'. *Περὶ χλωροῦ διαχωρήματος.*

Τὸ δὲ χλωρὸν τῆς ἰώδους χολῆς ἐστι γνώρισμα, καὶ ἄλλα διαχωρήματα προσλαμβάνονται. καὶ γράφει περὶ τούτων Ἱπποκράτης ἐν Ἀφορισμοῖς. Οἷσι χυλώδεα διαχωρήματα, κωφώσεως ἐπιγινομένης, παύονται, καὶ ὁκόσοις κώ-

φωσις, χολωδέων ἐπιγινομένων, παύονται. Καὶ ἐν ἄλλῳ ἀφορισμῷ· Ἐν νούσῳ πολυχρονίῃ ἀπόσιτοι καὶ ἄκρατοι ὑποχωρήσεις. Καί, ἐπὶ ἀκράτῳ ὑποχωρήσει δυσεντερία γίνεται διὰ δῆξιν.

### ι'. Περὶ μέλανος διαχωρήματος.

1. Ὡσαύτως δὲ τὰ μέλανα διαχωρήματα γίνονται, ἢ ἀπὸ μελαίνης χολῆς τῆς ἐξ ὑπεροπτήσεως, ἢ ἀπὸ μελαγχολικοῦ χυμοῦ, ἢ ἐξ αἵματος κατὰ γαστέρα ὑπεροπτηθέντος. 2. Τὰ μὲν οὖν ἀπὸ μελαίνης χολῆς διαχωρήματα γινόμενα κατὰ πάντα εἴτ' ἐν ταῖς ἀρχαῖς τῶν νοσημάτων, εἴτ' ἐν τοῖς ἄλλοις καιροῖς γινόμενα, καθὼς φησιν Ἱπποκράτης· Νοσημάτων ὁκόσων ἐρχομένων ἡ χολὴ μέλαινα ἢ ἄνω ἢ κάτω ὑπέλθῃ, θανάσιμον. Καὶ ἐν ἄλλῳ ἀφορισμῷ· Ὁκόσοισιν ἐκ νοσημάτων ὀξέων ἢ πολυχρονίων ἢ ἐκτρωμάτων ἢ ἄλλως λελεπτυσμένοις, ἣν χολὴ μέλαινα ἢ ὁκοῖον αἷμα ὑπέλθῃ, τῇ ὑστεραίῃ ἀποθνήσκουσι. Καὶ ἄλλως· Δυσεντερίη ἣν ἀπὸ χολῆς μελαίνης ἄρξηται, θανάσιμον. Καὶ ἄλλως· Τὰ μέλανα ὑποχωρέοντα κακόν. 3. Τὰ δὲ ἀπὸ μελαγχολικοῦ χυμοῦ γινόμενα διαχωρήματα ὡς ἐπὶ πολὺ λυσιτελῆ, καθάπερ ἐπὶ σπληνὶ κακωθέντι, ὥς φησιν Ἱπποκράτης· Τοῖσι σπληνώδεσι δυσεντερίη ἐπιγινομένη, ἀγαθόν· ἢ ἐπὶ λύσει τοῦ μελαγχολικοῦ νοσήματος· ἢ ἐπὶ τεταρταίου χρονίζοντος. 4. Οὕτω δὲ καὶ τὰ ἐξ ὑπεροπτήσεως αἵματος γινόμενα ἀκίνδυνα πάντα τῷ διώκεσθαι ὑπὸ τῆς ἀποκριτικῆς δυνάμεως λόγῳ κρίσεως, καθὼς καὶ ἐν Ἀφορισμοῖς γράφει· Αἷμα ἄνω μὲν ὁποῖον ἂν εἴη, κακόν· κάτω δέ, ἀγαθόν.

### ια'. Περὶ αἱματωδῶν διαχωρημάτων.

1. Τὰ μὲν οὖν αἱματώδη διαχωρήματα πολλὰ σημαίνει· ἢ γὰρ βλάβην τοῦ ἥπατος, ἢ διέλκωσιν ἐντέρων,
260 ἢ διαρῆξιν ἀγγείου. 2. Βλάπτεται μὲν οὖν τὸ ἧπαρ ἢ θερμαινόμενον παρὰ φύσιν, ἢ ψυχόμενον, ἢ ξηραινόμε-
Ed. Schinas νον, ἢ ὑγραινόμενον. 3. Εἰ μὲν οὖν θερμὴ δυσκρα-
p. 20 σία, [κατοπτᾷ τοὺς ἐν τῷ ἥπατι χυμούς, καὶ καίει τοὺς διὰ τῶν μεσαραϊκῶν φλεβῶν ἀναφερομένους. ἢ ψυχρὰ

δὲ παχὺν καὶ δύσρουν καὶ δυσκίνητον ἐργάζεται τὸν ἤδη περιεχόμενον ἐν αὐτῷ φλεγματικὸν καὶ ὠμὸν χυμόν, ἡμίπεπτον δὲ τὸν ἀναφερόμενον. 4. Οὕτω δὲ καὶ ἡ ξηρὰ ξηροτέρους καὶ παχυτέρους ἐργάζεται τοὺς ἐν τῷ ἥπατι χυμούς, ἡ δὲ ὑγρὰ λεπτοτέρους καὶ ὑδατωδεστέρους. 5. Ἐὰν οὖν ἴδητε διαχωρήματα νεοσφαγῶν κρεῶν πλύμασιν ἐοικότα, βεβαιότατον γνώρισμα τοῦτο ὑμῖν ἔστω πάθους ἡπατικοῦ. 6. Καλεῖται δὲ ἐξαιρέτως ἡπατικὰ παθήματα κατὰ τὴν ἀρρωστίαν τῆς δυνάμεως αὐτοῦ γινόμενα. τῆς γὰρ τοῦ ἥπατος οὐσίας εἰσὶ ταῦτα ἴδια παθήματα. 7. Ὁμοίως δὲ καὶ ὅταν οἷον αἵματος τρύγα θεάσησθε διαχωρούμενον, ἡπατικὸν καὶ τοῦτο ἰστέον εἶναι τὸ γνώρισμα. 8. Τὸ μὲν οὖν ἰχωρῶδες αἷμα, τὸ οἱονεὶ πλύμασι κρεῶν διαχωρούμενον, **21** σημαίνει ἀτονίαν τῆς καθεκτικῆς δυνάμεως τοῦ ἥπατος. οὐ γὰρ ἴσχυσε δι' ὅλου τοῦ χρόνου καθέξειν, ἵνα τὸν πρέποντα κόσμον τῆς πέψεως τὸ αἷμα ἀπολάβῃ, καὶ διὰ τοῦτο παλινδρομῆσαν διὰ τῶν μεσαραϊκῶν φλεβῶν εἰς τὰ ἔντερα ἀπεστράφη καὶ διεχωρήθη τοιοῦτον. 9. Ἔρχεται δέ ποτε οὐ μόνον ἐξ ἥπατος εἰς γαστέρα, ἀλλὰ καὶ ἐκ παντὸς τοῦ σώματος αἷμα, ὥσπερ ἐν ταῖς κρίσεσι καὶ ἐν ὑγιαίνουσιν ἀνθρώποις καὶ γυναιξὶ κατὰ τὴν ἔμμηνον κάθαρσιν τοῦτο διαχωρεῖται, συμπῖπτον ταῖς αἱματικαῖς δυσεντερίαις. 10. Τὸ δὲ ἐοικὸς διαχώρημα τρυγὶ αἵματος, ὑπεροπτηθῆναι τὸ αἷμα σημαίνει ἢ δι' ἀσθένειαν τῆς ἀποκριτικῆς δυνάμεως τοῦ ἥπατος, ἢ διὰ θερμασίαν τινὰ καταλαβοῦσαν τὸ σπλάγχνον. ταῦτα μὲν οὖν διαχωρεῖται, ἥπατος πάσχοντος.

### ιβ'. Περὶ δυσεντερίας.

1. Ὅταν δὲ ἴδητε κατ' ἀρχὰς μὲν χολὴν ἄκρατον διαχωρουμένην, ἐπακολουθῇ δὲ αὐτῇ ξύσματα, μετὰ δὲ ταῦτα συνέρχηται καὶ αἵματος μῖξις σμικρά, ἕλκωσιν τῶν λοιπῶν ἐντέρων δηλοῖ τὰ τοιαῦτα διαχωρήματα, ἥντινα ἕλκωσιν δυσεντερίαν ὀνομάζουσιν. 2. Ὁπότε μὲν οὖν μόνα ταῦτα τὰ ξύσματα διαχωρεῖται, ταῦτα σημαίνει· εἰ δέ τι πιμελῶδες αὐτοῖς συνεκκρίνεται, τῶν παχέων ἐντέρων εἶναι τὴν ἕλκωσιν δηλοῖ. 3. Τοῦ δὲ αἵματος συνεκκρινομένου τοῖς

ἄλλοις, ἢ ἀναμέμικται αὐτοῖς, ἢ καθ' ἕν τι μέρος αὐτοῖς ἐποχεῖται. 4. Εἰ μὲν οὖν ἀναμεμιγμένον αὐτοῖς ἐστιν, 22 ἐν τοῖς ὑψηλοτέροις ἐνδείκνυται τὴν ἕλκωσιν εἶναι· εἰ δὲ ἐποχεῖται, ἐν τοῖς ταπεινοτέροις. 5. Ὡσαύτως δὲ κἂν ἐφελκὶς ἐκκρίνηται, κἂν χιτὼν ἐντέρου, δηλώσει ποίων ἐντέρων ἐστί. σήψεως γὰρ πολλῆς γεγονυίας ἐν τοῖς παχέσιν ἐντέροις, ἐξέρχεται χιτὼν ἐν τοῖς διαχωρήμασι.

*ιγ'. Τίνα σημεῖα τεινεσμοῦ.*

1. Ἐὰν δὲ κατὰ τὰς ἐκκρίσεις σφοδρὰς μὲν τάσεις] καὶ προθυμίας ἰσχυρὰς ἐπιφέρουσαι, ἐκκρίνουσιν ὀλίγα κατ' ἀρχὰς μὲν φλεγματώδη καὶ πιμελώδη· προϊόντος δὲ τοῦ χρόνου ξυσματώδη, ἕλκωσιν τοῦ ἀπευθυσμένου σημαίνει. Ταύτην δὲ τὴν ἕλκωσιν ὀνομάζουσι τεινεσμόν. 4. Ἐὰν δ' ἔρχωνται διαχωρήματα βολβοῖς κεκαυμένοις ἐοικότα ἔν τε ὑγιαίνουσι σώμασιν νοσοῦσιν, εἰ μὲν πεπεμμένον, τὸν ἄνθρωπον ὑπὸ κλυστῆρος ***, εἰ δ' ἄπεπτον, σημαίνει φλέγμα πολὺ ἐν τῷ ἀπευθυσμένῳ ἐμφράττον καὶ μὴ ἐῶν τὸν κατὰ φύσιν καιρὸν ἐξέρχεσθαι· ἢ πνεύματα παχέα ἐξ ἀπεψιῶν τὴν τοιαύτην ἔμφραξιν ποιούμενα καὶ ὡσαύτως κωλύοντα τὴν ὑποχώρησιν· ἢ καὶ αὐτὸν τὸν σφιγκτῆρα παρὰ φύσιν διατεθέντα καὶ μὴ ἐῶντα καλῶς γίνεσθαι τὴν διαχώρησιν. 5. Γίνονται δὲ καὶ διαχωρήματα αἱματώδη πολλάκις διὰ φλεβῶν ῥῆξιν· καὶ ἐστὶ τὸ αἷμα καθαρόν τε καὶ εὔμικτον, ὡς ἐπὶ αἱμορροΐδων ἄνευ τε πόνου καὶ προαιρέσεως, καὶ ὀνομάζεται ἡ τοιαύτη φορὰ τοῦ αἵματος παρὰ τῇ κοινῇ συνηθείᾳ Ἀσκληπιασμός. 6. Καὶ περὶ μὲν τῶν αἱματωδῶν διαχωρημάτων καὶ χλωρῶν καὶ τῶν διὰ τὸν μελαγχολικὸν χυμὸν γινόμενον ἱκανὰ τὰ εἰρημένα.

262 *ιδ'. Περὶ φλεγματωδῶν διαχωρημάτων.*

1. Ἔρχεται δὲ διὰ γαστρός ποτε φλέγμα παχύ, λευκόν, καθαρόν, ἄκοπρον, συνεστηκός, ἐξογκούμενον, ὅμοιον τοῖς θαλαττίοις πνεύμοσι. Τοῦτο εἴδομεν μετὰ πολλῆς βίας ἐλθὸν διὰ γαστρός, καὶ ἐδήλωσε λύσιν ἐμφράξεως προσγεγονυίας ἐν τῷ κώλῳ. 2. Ἔρχεται καὶ ἕτερον φλέγμα διὰ γαστρὸς λευκόν, καθαρόν, ἀπ' ἀλλήλων τῶν μερῶν αὐτοῦ

ὅμοιον βουτύρῳ, ἄκοπρον, ἀβίαστον, καὶ σημαίνει κατὰ τοὺς παρακειμένους τόπους τοῦ ἀπευθυσμένου γίνεσθαι, συρρέειν δὲ ἐν τῷ αὐτῷ ἀπευθυσμένῳ ἐντέρῳ καθάπερ ἐπὶ τῶν κατὰ φύσιν ἐντέρων, καὶ λύσιν παρασχὸν τῶν ἀλγηδόνων τοῖς προπεπονηκόσιν τὸν αὐτὸν τρόπον. 3. Ἔρχεται δὲ διὰ γαστρὸς πολλάκις καὶ πῦον, εἴτ' ἐξ ἀποστήματος ῥαγέντος κατὰ τὰ σιμὰ τοῦ ἥπατος, ἢ καὶ κατὰ τὸν γαστέρα, ἢ καὶ ἐν τοῖς ἐντέροις. Καὶ ἡ διαφορὰ τῶν φλεγματωδῶν διαχωρημάτων, ὅτι τὰ μὲν φλεγματώδη καὶ καθαρὰ καὶ ἄοσμα, τὸ δὲ πῦον καὶ μεμωλυσμένον ἐκ τῶν αὐτῶν ἀποστημάτων, καὶ κοπρῶδες καὶ κάκοσμον.

ιε'. Περὶ ἑλμίνθων διαχωρουμένων.

1. Ἔρχονται σὺν τοῖς διαχωρήμασι καὶ ἕλμινθες, καὶ σημαίνει σῆψιν πολλὴν γεγονυῖαν κατὰ τὸν γαστέρα καὶ τὰ ἔντερα καὶ διαφέρουσιν ἀλλήλων τῷ μεγέθει καὶ τῇ χροιᾷ 264 καὶ τοῖς καιροῖς τοῦ νοσήματος. 2. Περὶ γὰρ τὰς ἀρχὰς ἐξ ὑποκειμένης διαφθορᾶς τὴν γένεσιν λαμβάνουσιν, περὶ δὲ τὰς ἀκμὰς ἐκ πονηρᾶς νόσου, περὶ δὲ τὴν παρακμὴν ἐκ χρηστῶν αἰτίων· οἱονεὶ χείρονες μεγάλαι τῶν μικρῶν, καὶ αἱ πολλαὶ τῶν ὀλίγων, καὶ ζῶσαι τῶν νεκρῶν, καὶ ἐρυθραὶ τῶν λευκῶν. 3. Ἔστι καὶ ἄλλο εἶδος ἑλμίνθων ἐρχομένων διὰ γαστρός, διαφέρον τῶν λοιπῶν ἑλμίνθων, τὸ σχῆμα τετράγωνοι. Πάντα οὖν τὰ διαχωρήματα συνεξερχόμενα μετὰ ἑλμίνθων σῆψιν σημαίνει κατά τε τὴν γαστέρα καὶ τὰ ἔντερα.

ις'. Περὶ διαχωρήματος πελιδνοῦ, λιπαροῦ, γλίσχρου καὶ δυσώδους.

1. Εἰ δὲ οἷον πελιδνόν τι φαίνοιτο κατὰ τὴν διαχώρησιν, οὐδενὸς τοιούτου ἐδηδεσμένου, ψῦξιν τινὰ καὶ νέκρωσιν σημαίνει· ὥσπερ καὶ εἰ λιπαρὸν διαχώρημα, οὐδενὸς ἐδηδεσμένου λιπαροῦ, συντήξεως εἶναι τὸ γνώρισμα. 2. Εἰ δὲ καὶ γλίσχρον, εἰ μὴ καὶ τοῦτο κατὰ τὴν τοῦ σιτίου φύσιν εἴη, τὸ τοιοῦτον συντήξεως ἐστι σημεῖον. ἀλλὰ τὸ μὲν λιπαρὸν πιμελῆς τηκομένης γίνεται, τὸ δὲ γλίσχρον αὐτῶν τῶν στερεῶν, ὥστε χεῖρον μακρῷ. 3. Τὸ δὲ λίαν δυσῶδες, εἰ μὴ καὶ τοῦτο εἴη κατὰ τὸ σιτίον, οὐ μικρὰν

266 ἐνδείκνυται σῆψιν· ἁπλῶς δ' εἰπεῖν, ἐπὶ πάντων οὕτω χρὴ στοχάζεσθαι, καὶ εἰ ποιότης εἴη τῶν διαχωρημάτων, οὕτως ἤδη σκοπεῖσθαι τὴν διάθεσιν, ὅτι κἂν μὴ λέγηται πᾶν τοῦτο προουπακούειν χρή.

ιζ΄. Περὶ διαχωρήματος ψοφώδους καὶ ἀφρώδους.

1. Τὸ μὲν οὖν μετὰ ψόφου διαχωρούμενον σὺν ὑγρότητι λεπτῇ, φυσῶδες εἶναι δηλοῖ τὸ διαχώρημα καὶ τὰ ὄργανα τῆς διεξόδου στενά· τὸ δὲ ἀφρῶδες ἤτοι ζέοντός τινος, ἢ φυσώδους πνεύματος ὑγρῷ μεμιγμένου γίνεται. 2. Τὸ μὲν δὴ πρότερον ἄμετρον θερμασίαν συντήκουσαν τὸ σῶμα ***, τὸ δὲ δεύτερον ἀνωμάλου ταραχῆς ἐστιν ἔκγονον. 3. Θαυμαστὸν οὖν ἐστιν ἰδεῖν τὴν ἐν τοῖς ἐντέροις ἑλκτικὴν δύναμιν οὐ μόνον ἐκ τῶν ἄνωθεν ἐνεργοῦσαν εἰς τὰ κάτω, ἀλλὰ καὶ ἐκ τῶν κάτωθεν ἄνω· προωθεῖ μὲν τὴν τροφὴν ἐκ τῶν ἄνω μέχρι τοῦ κάτω πέρατος· ἐν δὲ δή τισιν, ὅταν ἡ περισταλτικὴ δύναμις ἐκ τῶν κάτωθεν ἄρξηται, ἡ φορὰ τῶν περιεχομένων ἐν αὐτοῖς ἄνω γίνεται. 4. Οὕτω καὶ χυμός τις δριμὺς ἐνίοτε κατενεχθεὶς ὑπὸ τὴν ἑδρῶνα σχολουμένων τινῶν διά τινας βιωτικὰς περιστάσεις μὴ ἐχόντων τούτων ἀποπατῆσαι, ἢ ὡς πρᾶξαί τι δέον, βιαίως ἐπισχεθεὶς ἀνηνέχθη πάλιν ἄνω, καὶ τὴν γαστέρα δάκνει, καὶ
268 τὴν κεφαλὴν ἀναθυμιάσεως πληροῖ, τὴν μὲν ἀρχὴν τῆς κινήσεως ἀπὸ τοῦ σφιγκτῆρος λαβὼν (ὀργάνου ψυχικοῦ) κἀντεῦθεν δ' ἕκαστον τῶν ἐντέρων *** ὠθοῦντες αὐτὸ πάλιν ἀφ' ἑαυτῶν, ἐν οἵῳ τρόπῳ πρότερον πρὸς τὸ ὑπερκείμενον, πρὸς τὸ κάταντες ὠθεῖτο. Κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐνίοτε καὶ φῦσα παλινδρομεῖ. 5. Οὐδὲν οὖν θαυμαστόν, εἰ καὶ κλυσματικὴ κόπρος ταῖς οὕτω βιαίαις περιστολαῖς τῶν ἐντέρων ἐπαναφέρεται πρότερον εἰς τὴν γαστέρα παρὰ φύσιν, εἶθ' οὕτως ὁρμᾷ πρὸς ἔμετον, καθάπερ ἐν εἰλεοῖς. 6. Καὶ ἐπὶ τῶν τοιούτων νοσημάτων κόπρος δι' ἀτονίαν τῆς κάτωθεν περισταλτικῆς δυνάμεως τῶν ἐντέρων γίνεται εἰλεός· καὶ δι' ὄγκων παρὰ φύσιν γεννηθέντων ἐν ταῖς τῶν ἐντέρων ἕλιξι σφηνωθεῖσα κωλύσειεν ἂν ποτε διεξέρχεσθαι.

ιη'. Περὶ ποικίλων διαχωρημάτων.

1. Τὰ δὲ ποικίλα διαχωρήματα ποτὲ μὲν ὁμοῦ διεξέρχονται, ποτὲ δὲ κατὰ μέρος διεξερχόμενα ἐστὶν αἱματώδη καὶ χολώδη καὶ πρασώδη καὶ μέλανα. Τὸ οὖν σύνθετον τοῦτο διαχώρημα πολύμορφον παρὰ τοῖς ἰατροῖς ὀνομάζεται. 2. Τὰ οὖν ποικίλα ποικίλαις ἔχεσθαι διαθέσεσιν ἐνδείκνυται, διὰ τοῦτο οὖν καὶ χρόνια καὶ κακοήθη καὶ πέψεως δέοντα. διά τε οὖν τὸ πλῆθος τῶν διαθέσεων καὶ τοῦ χρόνου κινδυνώδη ἅπαντα. 3. Ἐὰν δὲ τῷ μήκει τοῦ χρόνου δέξηταί ποτε μεταβολὴν ἐπὶ τὸ κρεῖττον (ἢ 270
καλῶς γενομένοις ἢ τῆς δυνάμεως δὴ αὐτοῦ ῥωσθείσης διά τινα χαρμονὴν βιωτικὴν) οὐ πονηρά. 4. Τοῦτο καὶ πρὸς Ἱπποκράτους ὀρθῶς εἴρηται ἐν Ἀφορισμοῖς· „Ἐν τῇσι τῆς κοιλίας ῥύσεσιν, αἱ μεταβολαὶ τῶν διαχωρημάτων ὠφελέουσιν, ἐὰν ἐπὶ τὸ κρεῖττον μεταβληθῶσιν.“ 5. Πονηρῶν γὰρ ὄντων τῶν ποικίλων διαχωρημάτων, ἡ ἐπὶ τὸ χεῖρον μεταβολὴ ἀνέλπιστος· εὔκολον γὰρ θεραπευθῆναι τὴν ἁπλῆν διάθεσιν, καὶ ἧττον κινδυνῶδες γίνεται τοῦ πολυειδοῦς.

ιθ'. Περὶ φυσῶν.

1. Αὐτῶν δὲ τῶν φυσῶν ἐστιν ἡ γένεσις ἐκ τῶν κατὰ γαστέρα χυμῶν τινων αὐτόθι φυσωδῶν, ἢ σιτίων εἰς ἀτμοὺς λυομένων ὑπὸ θερμότητος ἐνδεοῦς ὡς ὑπὸ μιᾶς καὶ δευτέρας ἐρευγῆς ἐκκρίνεσθαι τοὺς τοιούτους. 2. Ἡ δ' ἐνεργοῦσα μὲν ἀμφὶ τὰ σιτία θερμότης χλιαρὰ οὖσα διαλύει μὲν ταῦτα, οὐκ ἀκριβῶς δὲ κατεργαζομένη, ἀλλ' ὁμιχλώδη ἀποτελοῦσα, κἀντεῦθεν ἡ τοῦ φυσώδους πνεύματός ἐστι γένεσις. 3. Τοῦτο διὰ μὲν τοῦ στόματος ἐκκρινόμενον ἐρυγὴν ἐργάζεται· διὰ δὲ τοῦ κάτω πέρατος ἤτοι ψοφώδη φῦσαν ἢ ἄψοφον. 4. Ἐπειδὴ δὲ μήτε ἄνω μήτε κάτω φέρηται, ἀποκλειομένη καὶ ἑλισσομένη τὴν ὀνομαζομένην ἐμπνευμάτωσιν ἀποτελεῖ, σύμπτωμα γαστρὸς ἀτονούσης ἐκκρίνειν τὸ περιττωματικόν τε καὶ ὁμιχλῶδες πνεῦμα. 5. Κατὰ δὲ τὰ ἔντερα ἐναποκλειόμενον καὶ κινούμενον τὸ τοιοῦτον πνεῦμα πολυειδεῖς ἀποτελεῖ τοὺς ψόφους, ὀνόματα μὲν οὐκ ἔχοντας, ἐνδείξεσθαι δὲ ἀνδρὶ τῷ συνετῷ

Ed. Schinas p. 22 δυναμένους, [ὁποῖόν τε καὶ ὁπόσον ἐστὶ τὸ περίττωμα, καὶ καθ' ὅν τινα μάλιστα τόπον ἑλισσόμενον. 6. Εἰ μὲν γὰρ ὀξὺ καὶ λεπτὸν ἠχοίη, τὸ μὲν τοιοῦτον πνεῦμα διὰ κενοῦ ἐντέρου φέρεται καὶ στενοῦ καθαρόν τε καὶ ἀερῶδες ὑπάρχον· φυσωδέστερον δὲ γενόμενον, ὁμοίως μὲν ἐργάσεται τὸν ψόφον λεπτόν, ἐν τοῖς λεπτοῖς ἐντέροις ἑλιττόμενον, ἀλλ' οὐκ ἀκριβῶς ὀξύν. 7. Οἱ μὲν δὴ τοιοῦτοι ψόφοι πάντες ἐν τοῖς κατὰ τὴν κύστιν μάλιστα συνίστανται
23 χωρίοις, ὑποκαταμένοντες δὲ ἧττον ἠχώδεις ἀποτελοῦνται διὰ τὴν εὐρύτητα τῆς τοῦ πνεύματος ὁδοῦ. 8. Ἄλλοι δὲ βομβώδεις εἰσὶ διὰ τὴν τοιαύτην αἰτίαν. Οἱ τοιοῦτοι πάντες ἐν τοῖς παχέσιν ἐντέροις συνίστανται, κενοῖς γενομένοις περιττωμάτων. 9. Εἰ δὲ ὑγρότης τις ἐν αὐτοῖς περιέχοιτο, προσέρχεταί τις ἰδέα τῷ βόμβῳ παρὰ τῇδε καὶ καλεῖται βορβορυγμός, ἔκκρισιν ἐπαγγελλόμενος ὑγροῦ περιττώματος. ἡ γὰρ ἰδέα τοῦ ψόφου ταῦτα ἄμφω προμηνύει. διότι ἐπικινουμένη γίνεται τῇ φύσῃ κατὰ τὴν ἔκκρισιν ἡ τοῦ ὑγροῦ φορὰ καὶ τῆς κόπρου. 10. Ὁ δὲ οἷον τρυσμός· ἑκατέρως γὰρ ὀνομάζεται ἐπὶ στενοχωρίᾳ τῶν ὀργάνων καὶ φυσώδει πνεύματι μετ' ὀλίγης ὑγρότητος γίνεται, καὶ τοῦτο Ἱπποκράτης καλῶς ἔγραφεν ἐν προγνωστικῷ οὕτω· τοὺς δὲ ἐκ τῶν ὑποχονδρίων πόνους καὶ κατακυρτώματα, ἣν νεαρά τε καὶ μὴ συμφλεγμονὴ λύει βορβορυσμὸς ἐπιγενόμενος ἐν τῷ ὑποχονδρίῳ, καὶ μάλιστα μὲν διεξελθὼν σὺν κόπρῳ τε καὶ οὔρῳ. 11. Οὕτω περὶ διαχωρημάτων σκοπεῖσθαι δεῖ τὸν ἰατρόν, καὶ οὕτως ἐκ τῆς ἰδέας διαγινώσκειν τοὺς ἐν πάθει πάσχοντας ἀφανεῖς τύπους, ἐπικαλούμενον Χριστὸν τὸν ἀληθινὸν θεὸν ἡμῶν εἰς τοὺς αἰῶνας. Ἀμήν.]

# XXVIII.

## ΙΕΡΟΦΙΛΟΥ ΣΟΦΙΣΤΟΥ

### ΠΕΡΙ ΤΡΟΦΩΝ ΚΥΚΛΟΣ.

### ΠΟΙΑΙ ΔΕΙ ΧΡΑΣΘΑΙ ΕΚΑΣΤΩΙ ΜΗΝΙ ΚΑΙ ΟΠΟΙΟΙΣ ΑΠΕΧΕΣΘΑΙ.

---

Ed. Boiss. p. 192

### Α. ΜΗΝ ΙΑΝΟΥΑΡΙΟΣ.

1. Ἁρμόζει ἀπὸ κοίτης λαμβάνειν οἶνον γλυκὺν, καὶ κόνδυτον πίνειν, καὶ καρυκεύματα καὶ βρώματα θερμὰ καὶ γλυκέα ἐσθίειν, καὶ σκόροδα, καὶ πρασοζέματα, κρέη πρόβεια χλία καὶ ὀπτὰ, καὶ ζωμοὺς καρυκευτοὺς, πέπερι, στάχος, κινάμωμον, καρναβάδιν ἀνατολικόν. Ἐν τῇ ὀπτήσει δὲ τῶν χοιρείων κρεῶν ἀλειφέσθωσαν οἰνομέλιτι. 2. Ἐκ δὲ τῶν ἄλλων ζώων ὀρνίθια καὶ περιστερόπουλα λευκὰ καὶ βρακκάτα· ἐσθίειν δὲ καὶ χηνάρια καὶ νησσάρια καὶ κίχλας καὶ ὄρτυγας καὶ τρωγλίτας. 3. Ἐκ δὲ τῶν ἰχθύων σκορπίας, τρίγλας, κεφάλους, λυθρίνους, ἀθερίνας, καὶ μελανούρους, τηγάνου· χρυσόφρυα δὲ καὶ τὰ λεχθέντα, ὡς εἴρηται, ἐσθίειν καρακευτὰ διὰ τῶν ἀρωμάτων. 4. Ἐκ δὲ τῶν λαχάνων κράμβην, δαυκία, πράσα, ἀσπαράγους ἀγρίους, 193 ἐλειοσπάραγα χαμαιδάφνια, καὶ βρυώνια ἐσθίειν ἐλαιογάρῳ, καὶ σκόροδα ὀπτὰ ἄνευ ἐλαίου· καὶ τὸ ζέμα αὐτῶν πίνειν στάχει καὶ μέλιτι ἠρτυμένα· τοῖς δὲ ...... καὶ ξηρόζεμα πίνειν· στάχος, πέπερι, κινάμωμον, καρυόφυλλον, στύρακα, καὶ μέλι τὸ ἀρκοῦν. 5. Ἐκ δὲ τῶν κοδιμέντων εὔζωμον, πράσον, σέλινον, λεπτὰς ῥαφανίδας, πήγανον, καὶ ἡδύοσμον καὶ λιβυστικόν. Τὰ δὲ ἐμβάτια σίνηπι, κύμινον, οἰνόγαρον. 6. Ἐκ δὲ τῶν ὀσπρίων, λαθύριον καὶ αὖχον ἀλεστά· τὸ δὲ ἄρτυμα τῶν τοιούτων ἀνέλαιον καὶ κύμινον τριπτόν. 7. Ἐκ δὲ τῶν ὀπωρῶν σταφίδας, ἀμύγδαλα, κοκκονάρια,

πιστάκια καὶ μῆλα ὀπτά. Τοῖς δὲ εὐαρέστοις καὶ κυδωνάτα λαμβάνειν, καὶ ὀλίγον κίτρον καὶ ῥοιάν, καὶ φοίνικας, καὶ πρωτόγαλα μετὰ μέλιτος καὶ στάχους τριπτοῦ, καὶ χυλὸν σεμιδάλεως. 8. Λούεσθαι δὲ μὴ πλείω τῶν τεσσάρων λουτρῶν, σμηχόμενοι νίτρῳ, ὀπτῷ ἐν οἴνῳ λυθέντι, καὶ ψίλι-
194 θρον ποιεῖν, ἐν ᾧ ἐμβάλλειν ἀλόην ν̊ ν̊ γ', σμύρναν ν̊ α', καὶ κρόκους ᾠῶν δύο. Αὕτη ἡ σκευασία ἑνὸς ἀνθρώπου ἐστίν. 9. Ἁρμόζει δὲ πρὸ τοῦ χρίσματος εἰσελθεῖν εἰς τὸ λουτρόν, καὶ περιχύσασθαι δύο ἢ τρεῖς λεκάνας, εἶτα ἐξελθεῖν καὶ ἀποσπογγίσασθαι καλῶς, καὶ οὕτω βαλεῖν τὸ χρίσμα πρὸ ἵδρωτος, εἶτα ἐμβραδύνειν ἔσωθεν μετὰ τοῦ χρίσματος· μετὰ δὲ τὸ χρίσμα ἀποτρίβεσθαι δι' οἴνου ψιτηροῦ καὶ κρόκοις ᾠῶν, καὶ ῥοδίνῳ ἀναμεμιγμένῳ θερμῷ. 10. Καὶ ἀφροδισιάζειν μέχρι ἰσημερίας μαρτίου διὰ τὴν τοῦ φλέγματος κίνησιν. 11. Σκοπεῖται δὲ καὶ τὸ ἄστρον τῶν Διδύμων ἀπὸ τῆς ια' ἕως τῆς ιε'.

213 B. ΜΗΝ ΦΕΒΡΟΥΑΡΙΟΣ.

1. Καλόν ἐστιν ἀπὸ πρωΐας λαμβάνειν οἶνον παλαιόν, εὐώδη. Ἐκ δὲ τῶν κρεῶν ἐσθίειν κατὰ τὸν προλεχθέντα μῆνα· καὶ ἐκ τῶν ἰχθύων ὅσα ὀστρακώδη, καὶ τοὺς πετραίους τῶν ἰχθύων, οἷον λαπίνας, σκάρους, στρωματαίους, κωβιούς. 2. Τηγανίσματα δὲ διὰ σεμιδάλεως καὶ σινάπεως· τὰ δὲ ἐμβάμματα καὶ ὀπωρικά, κοδιμέντα τε καὶ ἕτερα λάχανα, ὡς εἴρηται ἔμπροσθεν· ὡσαύτως δὲ καὶ λουτρὰ σὺν τοῖς χρίσμασι καὶ τοῖς ἀφροδισίοις. 3. Ἀπέχεσθαι δὲ
214 παντὸς ἀγρίου λαχάνου καὶ τῆς κράμβης, καὶ τοῦ σεύτλου, καὶ μήτε ζέμα πίνειν τὸ οἱονοῦν, πλὴν τοῦ πρασοζέματος, καὶ τοῦ σελίνου, καὶ τοῦ μαλάθρου, καὶ τοῦ σκορδοζέματος, καὶ ταῦτα καρυκευτά. 4. Σκοπεῖται δὲ τὸν αὐτὸν μῆνα καὶ τὸ ἄστρον τῆς Λαμπάδος.

215 Γ'. ΜΗΝ ΜΑΡΤΙΟΣ.

1. Ἁρμόζει γλυκοποτεῖν καὶ γλυκοτροφεῖν καὶ χρᾶσθαι ἅπαντα ἔν τε τῇ τροφῇ καὶ τῷ πότῳ ἀρκετὰ καὶ μὴ εἰς κόρον. 2. Δριμυφαγίας δὲ πάσης ἀπέχεσθαι χρή, καὶ ἔχθρας καὶ μανίας, καὶ πικροφαγίας. 3. Ἐκ δὲ τῶν ἰχθύων, πάντων

*ἐσθίειν, πλὴν τῶν ἀλίπων· τοὺς δὲ λάβρακας καὶ κεφάλους, καὶ βάτους καὶ τὰς σμαρίδας συχνῶς ἐσθίειν.* 4. *Ἐκ δὲ τῶν ὀσπρίων, τοὺς κυάμους δεῖ βρέχειν καὶ ποιεῖν ἐκζεστούς, καὶ ἅλατι καὶ ἐλαίῳ ὀμφακίνῳ ἐπιβάλλειν· λαμβάνειν δὲ καὶ τὸ σπέρμα τῆς τίλης ἀπὸ θερμῶν δισέφθων ἀρτυθὲν μέλιτι καὶ στάχει.* 5. *Ἔκπλυνε δὲ τὴν τίλην ἐκ τρίτου, καὶ τρίψον ταῖς χερσί, καὶ τηνικαῦτα ἕψησον, καὶ μερικῶς ἀποζεμάτιζε· μὴ μέντοι πάνυ ἀποζεμάτιζε, ἵνα μὴ γένηται δύσπεπτος, ἐπεκτική, ἐὰν τὸν ἴδιον χύλον ἀπολέσῃ, τουτέστι τὴν ἰδίαν πικρίαν, καὶ τὰς γαστέρας ἐμφράττῃ· γλύκαινε δὲ τὴν πικρίαν αὐτῆς μέλιτι.* 6. *Λαθύριον δὲ καὶ αὖχος ἀλεστὰ ταῦτα· τὸ δὲ φασούλιον λαμβάνειν ἀλεστόν, δίεφθον ὀξομέλιτι.* 7. *Ἐκ δὲ τῶν λαχάνων σεῦτλον, μολόχην, καὶ χρυσολάχανον ἐσθίειν, καὶ πάντας τοὺς ἀσπαράγους καὶ ἀμανίας, ἄνευ τῆς βρυωνίας καὶ τῆς χαμαιδάφνης, ὅτι πικρά εἰσιν.* 8. *Ἐκ δὲ τῶν συνθέτων, ἐσθίειν ἐλαίας κολυμβάδας, καὶ ὀξόμελι, ἐκ διαλείμματος· μηδὲν δὲ ὅλως δριμύ.* 9. *Ἐκ δὲ τῶν ὀπωρῶν, πάντα τὰ προλεχθέντα.* 10. *Ἐκ δὲ γλυκοποσίας, λαμβάνειν κονδῦτον, ἔχοντα πέπερι, κινάμωμον, καρυόφυλλον, καὶ στάχος πλεῖ-* 217
*στον.* 11. *Λουτροῖς δὲ χρῆσθαι ϛ′· τὰ μὲν γ′ χρίεσθαι ἐν ἡμέρᾳ γ′, ὥρᾳ γ′, ἄνευ τῆς ἀλόης καὶ τῆς σμύρνης· τὰ δὲ ἄλλα γ′, ἡμέρᾳ ε′, ἄνευ τοῦ χρίσματος καὶ αὐτά· σμήγματα δὲ ὅσα διὰ νίτρου.* 12. *Οἴνους λευκοὺς καὶ εὐωδεστάτους καὶ ἐλαιοχρόους. Καὶ ἀφροδισιάζειν μετρίως. Κρόμμυα δὲ ὀπτὰ ἐσθίειν διὰ τὴν τοῦ φλέγματος κίνησιν.* 13. *Σκοπεῖται δὲ καὶ τὸ ἄστρον τῆς Χελιδόνος.*

## *Δ. ΜΗΝ ΑΠΡΙΛΙΟΣ.* 223

1. *Ἁρμόζει κάπαριν, ῥάφανον ἢ ἡδύοσμον, πεπεροκύμινον, θρύμβον, γογγύλην, νάπυον, πήγανον· τῶν δὲ δρι-* 224
*μίων ἁπάντων χρὴ παντάπασιν ἀπέχεσθαι διὰ τὴν τοῦ στομάχου κίνησιν.* 2. *Κρέη δὲ ἐσθίειν τρυφερὰ καὶ εὔσαρκα, οἷον ἄρνας νεμομένους καὶ μὴ γαλακτάρια, ὡσαύτως καὶ ἐρίφους γαλακτεροὺς καὶ ὅσα κρέη πρόβεια τῶν νέων καὶ εὐνούχων, ψαχνὰ καὶ δίεφθα· ἐκ τούτων λαμβάνειν καὶ ζωμοὺς μετρίως καρυκευτούς, οἷον, διὰ στάχους,*

κολιάνδρου χλωροῦ, πέπερι ὀλίγον, καὶ φυλλόσπερμα κνίκου ἤγουν τὸ ἄνθος, ὡσὰν εὔλυτον ποιεῖν τὴν κοιλίαν. Τῶν δὲ χοιρείων κρεῶν ἀπέχεσθαι χρή. 3. Ἐκ δὲ τῶν ὀρνίθων ἐσθίειν ὄρνιθας καὶ ὀρνιθόπουλα ἄρρενα, περιστερόπουλα λευκά, νήσσας καὶ χῆνας τρυφεράς, καὶ ψαχνὰ δίεφθα σὺν γλυκοστάγει καὶ ὀπτά. Γλυκοποτεῖν δὲ καὶ γλυκοτροφεῖν, ὥσπερ λέλεκται. 4. Ἐκ δὲ τῶν ἰχθύων λαβράκια, κεφάλους, συάκια, χρυσόφρυα, καὶ φάγρους, ζωμῷ ὀλίγῳ καρυκευτῷ· λαπίνας δέ, χάννους, κόκκυγας, σαυρούς, καὶ μελανούρους, καὶ ἁπλῶς εἰπεῖν ὅσα μαλακόσαρκα καὶ ἔχοντα λέπος, ἐσθίειν τηγάνου, ὀλίγα δὲ καρυκεύειν καὶ μὴ πλῆθος. 5. Παντοίων δὲ ὀσπρίων ξηρῶν ἀπέχεσθαι· τὰ δὲ χλωρὰ ἐσθίειν
225 μετὰ τῶν προλεχθέντων κρεῶν. 6. Ἐκ τῶν λαχάνων τὸ χρυσολάχανον, τὸ μαϊούλιον, τὸ ἄνηθον τὸ χλωρόν, τὸ κολίανδρον, μετρίως ὀξογαρίζειν ὄξει σκιλλιτικῷ. Σκόροδα χλωρὰ ἐσθίειν μετρίως, ὀπτὰ δὲ ἐλαίῳ καὶ ἅλατι δωδεκαθείῳ· ὁμοίως καὶ τὸ πράσον ὀλίγον. 7. Τῶν δὲ ὀπωρῶν τῶν ξηρῶν ἀπέχεσθαι παντελῶς. Οἴνους δὲ τοὺς εὐωδεστάτους καὶ ἀνισάτους καὶ λευκοὺς πίνειν. 8. Καὶ μύρα, ὀσφραίνεσθαι, οἷον ἴα, ῥόδα, κρίνα, χαμαίμηλα καί, ἁπλῶς εἰπεῖν, πάντα τὰ εὔοσμα ἄνθη, τὸ ξηρὸν μύρον, τὸν μόσχον, τὰ ῥοδοστάγματα. 9. Καὶ μετρίως ἀφροδισιάζειν. Λουτρὰ δὲ η'. Σμήχεσθαι δὲ σαπωνίῳ Γαλλικῷ. Ψίλιθρον, ἅπαξ τὸν μῆνα, λυτὸν καὶ ἄνευ ἀλόης καὶ σμύρνης, ἔχον κρόκους τριῶν ᾠῶν καὶ ῥόδινον. 10. Σκοπεῖται δὲ τὸ ἄστρον τὸ Πανθνητιαῖον ἀπὸ ζ' ἡμερῶν ψηφιζόμενον.

234 *Ε'. ΜΗΝ ΜΑΙΟΣ.*

1. Χρὴ ἀπέχεσθαι ἀπὸ παντὸς καρφαλέου, ἤγουν καταξήρου, κακοχύμου καὶ χολώδους, οἷον ποδοκεφάλων, ἐντεροκοίλων, νευρικῶν, συκοτίων, πνευμόνων, ἰχθύων, ταριχευτῶν, νεβρῶν θαλασσίων, βοείων κρεῶν καὶ λαγείων, καὶ πάντων τῶν παχυχύμων, διὰ τὰς προσφάτους κεφαλαλγίας. 2. Ἐσθίειν δὲ πάντα τὰ προλεχθέντα κρέη, διάγειν τε καὶ πολιτεύεσθαι ἔν τε τροφοῖς καὶ ποτοῖς καὶ λουτροῖς, κατὰ τὸν προειρημένον μῆνα. 3. Ἐκ δὲ τῶν λαχάνων ἐσθίειν τὰ ἐλειοσπάραγα καὶ τίλην. Ἀπέχεσθαι δὲ τῶν ξηρῶν καὶ

*ἁλμυρῶν καὶ πικρῶν.* 4. *Σκοπεῖται δὲ καὶ τὸ ἄστρον τοῦ Γέροντος.*

*ϛʹ. ΜΗΝ ΙΟΥΝΙΟΣ.* 237

1. *Ἁρμόζει ὕδωρ ψυχρὸν νῆστις ῥοφεῖν ῥοφήματα τρία, καὶ μὴ εἰς πλέον· ἐπινηστεύειν δὲ ἕως ὥρας γʹ· καὶ πάντα τὰ ὑγρὰ καὶ ψυχρὰ μετρίως πίνειν· τῶν δὲ δριμέων καὶ ξηρῶν ἀπέχεσθαι, οἷον πεπέρεως, καρυοφύλλου, κιναμώμου, καὶ ὅσα τῶν ἀρωμάτων τυγχάνουσιν.* 2. *Ἐκ δὲ τῶν λαχάνων, οἷον κοδιμέντων, σκορόδων, κρομμύων, ῥαφανῶν, εὐζώμων, καρδάμων, νάπυος χλωροῦ καὶ τριπτοῦ ὀριγάνου, ὑσσώπου, πηγάνου, ἡδυόσμου, θρύμβου, πράσου, χαμαιδάφνης, καὶ πάντων τῶν θερμῶν ἀπέχεσθαι χρὴ, διὰ τὴν ἀταξίαν τῆς χολῆς.* 3. *Ἐκ δὲ τῶν κρεῶν δὲ ἐσθίειν τὰ πρόβεια, τῶν κριῶν δηλονότι καὶ τῶν εὐνούχων· λαμβάνειν δὲ ψαχνὰ καὶ ἑφθά· στέατος δὲ μὴ ἅπτεσθαι· τὸ δὲ κρέας ἔστω ἀπὸ λιπαροῦ κριοῦ. Ἀρνοὺς δὲ νεμομένους καὶ γαλακτοτροφοῦντας, καὶ ἐρίφους ὁμοίως ψαχνοὺς καὶ ὀπτοὺς ἐσθίειν· μὴ καρυκεύειν δὲ τὸ σύνολον, ὡς εἴρη-* 238 *ται, ἄνευ τοῦ κολιάνδρου, τοῦ στάχους, τοῦ ἀνήθου· καὶ ταῦτα δὲ ἐσθίειν μετρίως.* 4. *Ἀπέχεσθαι δὲ καὶ ζεματοποσίας παντοίας. Ἀπὸ δὲ τῶν ὀρνίθων, ἐσθίειν ὄρνιθας καὶ ἀλεκτορόπουλα, καὶ περιστερόπουλα λευκὰ καὶ βρακκάτα, ψαχνά, δίεφθα, χλία καὶ ὀπτά.* 5. *Καὶ οἶνον λαμβάνειν παλαιόν, λευκόν, εὐώδη, καὶ ἀνισάτον, μὴ χροιακὸν δέ, [καὶ παλαιόν].* 6. *Τῶν ἰχθύων πάντων τοὺς τρυφεροσάρκους ἐσθίειν, οἷον λαπίνας, χάννους, κόκκυγας, σπάρους, χρυσάφια, κωβιούς, καὶ ὅσα τοιαῦτα. Ἀπέχεσθαι δὲ λαβρακίων, κεφάλων, γυλαρίων, ἀστακῶν, παγούρων, καὶ ὅσα ὀστρακόδερμα. Τοὺς δὲ τῶν ἰχθύων ζωμοὺς καρυκεύειν διὰ στάχους καὶ κολιάνδρου χλωροῦ.* 7. *Ἐκ τῶν λαχάνων ἐσθίειν χρυσολάχανον, κολοκύνθην, θαλασσοκράμβην, καὶ σεῦτλον, μετὰ τῶν εἰρημένων κρεῶν. Καὶ ἀνδράχνην ἕψειν μετὰ κρέατος, καὶ ὀξογαρίζειν μερικῶς τὸ μαϊούλιον, τὸ ἰντύβιον, τὸ σέλινον, καὶ τὸ ἀγγούριον ἐν ὄξει σκιλλιτικῷ βαπτόμενον, μετρίως· πολὺ γὰρ ἐσθιόμενον τὸ μαϊούλιον, ἀμβλύνει τὰς κόρας.* 8. *Ἐκ δὲ τῶν*

ὀπωρῶν κεράσια λευκά, καὶ τετράγγουρα ἐσθίειν μετρίως. 9. Λουτρὰ δὲ η', χωρὶς δὲ ψιλίθρου καὶ σμήγματος. Ἀπέχεσθαι καὶ ἀφροδισίων. 10. Σκοπεῖται δὲ τὸ ἄστρον τοῦ
239 Ἡλιοτροπίου, ἀπὸ κα' ἕως κθ' ψηφιζόμενον.

244 Ζ'. ΜΗΝ ΙΟΥΛΙΟΣ.

1. Χρὴ ἀφροδισίων ἀπέχεσθαι καὶ πλειστῆς τροφῆς,
245 καὶ παντὸς μόχθου, καὶ κραιπάλης, καὶ ὕπνου μεσημβρινοῦ, καὶ ὀπωρῶν ξηρῶν, διὰ τὴν ἀταξίαν τῆς χολῆς. 2. Τὰ δὲ κρέη λαμβάνειν, ὥσπερ καὶ τῷ Ἰουνίῳ μηνί. Λάχανα δὲ δριμέα, καὶ πικρά, καὶ θερμά, μὴ ἐσθίειν· ἰχθύας δὲ τρυφεροσάρκους, οἷον κίχλας, λαπίνας, καὶ ὅσα τοιαῦτα, καθὼς καὶ ἐν τῷ Ἰουνίῳ μηνὶ λέλεκται· καὶ τὰ ὀξομέλιτα καὶ ὀξογάριτα. 3. Ἐκ δὲ τῶν ὀπωρῶν τὰς ὑγροτέρας, οἷον πέπονας, σῦκα λευκὰ μετὰ ἅλατος, καὶ σταφυλὰς πάσας, ἄνευ τῆς μελαίνης· ἀπίδια δὲ καὶ μῆλα καὶ δαμάσκηνα, καὶ ὅσα ὑγρὰ τοιαῦτα, ἐσθίειν. 4. Οἶνον δὲ λευκόν, εὐώδη, πίνειν ἀπλήστως· καὶ τὴν μὲν τροφὴν μετρίως, τὸν δὲ οἶνον πλεῖστον καὶ τὰ δροσάτα. Ζέματα δὲ καρυκευτὰ μὴ λαμβάνειν, εἰ μὴ τοῦ δαυκίου μόνον, ὀλίγῳ μέλιτι καὶ στάχει ἀρτυθέντα. 5. Λουτρὰ η', καὶ σμήγματα διὰ κιμωλίου· λουέσθω δὲ συντόμως. Καθαρσίου δὲ ἀπέχεσθαι δεῖ. 6. Σκοπεῖται δὲ καὶ τὸ ἄστρον τοῦ Κυνὸς ψηφιζόμενον ἀπὸ τῆς ιγ' ἕως τῆς ις'.

248 Η'. ΜΗΝ ΑΥΓΟΥΣΤΟΣ.

249 1. Ἁρμόζει τῶν γλίσχρων καὶ παχυχύμων ἀπέχεσθαι, καὶ μολόχης, καὶ παντὸς ἀγρίου λαχάνου, καὶ ἀφροδισίων· ἐσθίειν δὲ σεῦτλον, βλῖτον, καὶ κολοκύνθην· ἐκ δὲ τῶν κρεῶν πρόβεια ἐσθίειν καὶ τράγεια εὔνουχα. 2. Λαγωοὺς δὲ καὶ δορκάδας ἐσθίειν χρή, ἄχρι τῆς ιε' τοῦ μηνός· ψαχνὰ δὲ καὶ χλία ὀξομέλιτι· ὀρνίθια δὲ καὶ περδίκια, καὶ ἀλεκτορόπουλα, καὶ περιστερόπουλα πάντα χρᾶσθαι μηδὲν βλαπτόμενος· ἀπὸ δὲ τῶν χλωρῶν ἰχθύων πάντας τοὺς τρυφεροσάρκους ἐσθίειν, ὡς προλέλεκται κατὰ τὸν Ἰούλιον μῆνα, καὶ ἐκ διαλείμματος ἐμβάμματα χρᾶσθαι σινάπεως. 3. Τῶν δὲ ταριχευτῶν ἰχθύων καὶ ξηρῶν ὀπωρῶν πάντων ἀπέχε-

*σθαι, χρᾶσθαι δὲ ταῖς χλωραῖς ὀπώραις σύκων, σταφυλῶν, ἀπιδίων, δαμασκηνῶν λευκῶν, ῥοδακίνων, πεπείρων, καὶ τῶν ὁμοίων.* 4. *Ἀπὸ τῶν λαχάνων, παντὸς θερμοῦ καὶ ξηροῦ ἀπέχεσθαι χρή, οἷον πηγάνου, θρύμβου, σκορόδου, πράσου, εὐζώμου, καρδάμου καὶ ῥαφάνου.* 5. *Λουτρὰ δ'· χρίσμα ἕν, καὶ τοῦτο ποιεῖν μετὰ τὴν ιε'.* 6. *Ἐκ δὲ τῶν συνθέτων, χρᾶσθαι κάπαριν, ἐλαίας σὺν ὀξομέλιτι κολυμβάδας, ἀμύγδαλα χλωρά· τῶν δὲ μαύρων ἐλαιῶν ἀπέχεσθαι. Οἴνοις λεπτοῖς καὶ εὐώδεσι καὶ ῥοσάτοις χρᾶσθαι. Χρίσματα δὲ διὰ κιμωλίου καὶ ὄξους σὺν ἐλαίῳ χρᾶσθαι.* 7. *Σκο-* 250
*πεῖται δὲ καὶ τὸ ἄστρον τὸ ........ ψηφιζόμενον ἀπὸ τῆς ιε' ἕως τῆς κζ'.*

### *Θ'. ΜΗΝ ΣΕΠΤΕΜΒΡΙΟΣ.* 253

1. *Ἁρμόζει γαλακτοτροφεῖν καὶ γαλακτοποτεῖν, καὶ πάντα τὰ γλυκέα καὶ σεμιδαλάτα, οἰνομέλιτα, καὶ δροσάτα λαμβάνειν.* 2. *Ἐκ δὲ τῶν κρεῶν πρόβεια, ὀρνίθια, περιστεράς, νήττας, τρωγλίτας, καὶ λακτέντα ὀπτὰ σὺν ὀξομέλιτι ἐσθίειν· ἀπέχεσθαι δὲ βοῶν, λαγωῶν, ἐλάφων, δορκάδων καὶ περδίκων, διὰ τὸ κατὰ τὸν μῆνα τοῦτον αὐξάνεσθαι τὴν μέλαιναν χολήν.* 3. *Ἐκ δὲ τῶν ἰχθύων λαμβάνειν πάντας τοὺς τρυφεροσάρκους, καὶ πετραίους, καὶ μαλακοσάρκους· ἀπέχεσθαι κεφάλων καὶ πάντων τῶν ἀλέπων.* 4. *Ἀπὸ δὲ τῶν ὀσπρίων, κυάμου καὶ φακῆς ἀπέχεσθαι. Δριμοφαγίᾳ δὲ πάσῃ μερικῶς χρᾶσθαι, οἷον ῥαφάνων, πεπέρεως, σινάπεως, κιναμώμου, στάχους. Ἐκ δὲ τῶν λαχάνων ἀπέχεσθαι τῆς κράμβης.* 5. *Τὰς δὲ ὀπώρας ἐσθίειν καλῶς, καθὼς καὶ ἐν τῷ αὐγούστῳ εἴρηται. Καὶ ἀψινθοροσάτα καὶ ἀψινθάτα πίνειν.* 6. *Λουτρὰ η'· σμήγματα κεφαλῆς, κιμωλίου, ὡς προλέλεκται, μετὰ ὄξους καὶ ἐλαίου ῥοδίνου, ἕως τῆς κδ'· χρίσμα δὲ κοινὸν ποιεῖν. Καὶ ἀφροδισιάζειν.* 7. *Σκοπεῖται δὲ καὶ ἄστρον ἓν τῶν Σαλπίγγων.*

### *Ι'. ΜΗΝ ΟΚΤΩΒΡΙΟΣ.*

1. *Ἁρμόζει δριμοφαγίᾳ πάσῃ χρᾶσθαι· πρὸ πάντων δὲ πάντα ἐσθίειν ἑφθὰ καὶ ὠμά· καὶ τὸ ζέμα πίνειν· σκό-*

ροδα ἑφθά, καρυκευτά, στάχος, πέπερι, κινάμωμον, καὶ καρυόφυλλον, ταῦτα διὰ τῶν βρωμάτων ἐσθίειν καὶ πίνειν. 2. Ἐκ δὲ τῶν κρεῶν πρόβεια, ὀρνίθια, περιστερόπουλα,
255 χῆνας, ὄρτυγας, ὀρτυγομήτρας, καὶ λακτέντα ἐσθίειν· νησσαρίων δὲ καὶ φασσῶν, καὶ τρυγόνων, καὶ πλατόνων, καὶ συάγρων, καὶ λαγωῶν ἀπέχεσθαι. 3. Ἐκ δὲ τῶν ἰχθύων, κεφάλων, ἀγραύλων, τριγλῶν, καὶ πάντων τῶν ἀλέπων καὶ τῶν παστῶν ἀπέχεσθαι χρή· τὰ δὲ ἄλλα πάντα ἐσθίειν. 4. Ἐκ δὲ τῶν ὀσπρίων, κυάμου καὶ φακῆς, καὶ λαθύρου ἀπέχεσθαι· τὰ δὲ λοιπὰ ἐσθίειν. Τῶν λαχάνων, κράμβης καὶ γογγύλης ἀπέχεσθαι, τἄλλα δὲ ἐσθίειν. Ἀσπαράγους δὲ πάντας καὶ ἀμανίτας λευκοὺς ἐσθίειν. 5. Ἀπὸ δὲ τῶν ὀπωρῶν, σταφίδας λευκάς, ἀπίδια ἄγρια ἀκμάζοντα, καὶ μῆλα γλυκέα, σῦκα λευκά, μέσπιλα, ῥοδάκινα, φοίνικας, ῥοιάς, καὶ μηλοκύδωνα, ταῦτα πάντα ἐσθίειν. 6. Ἐκ δὲ τῶν ξηρῶν ὀπωρῶν, κάρυα βασιλικά, πιστάκια, ἀμύγδαλα, κοκκονάρια, καὶ κάρυα ποντικά, κοκκοδάφνων δὲ ἀπέχεσθαι. Οἶνον λευκὸν καὶ ἐλαιόχροον καὶ ἀψινθοροσάτον πίνειν. 7. Σκοπεῖται δὲ καὶ τὸ ἄστρον τοῦ Ταύρου.

260 ## ΙΑʹ. ΜΗΝ ΝΟΕΜΒΡΙΟΣ.

1. Ἁρμόζει ἀπέχεσθαι πάντων τῶν ὑγρῶν βρωμάτων. Ἐκ δὲ τῶν κρεῶν ἐλάφεια, βόεια, λάγεια, τράγεια, συάγρεια, ἀγρίων αἰγῶν καὶ δορκάδων, τὰ δὲ λοιπὰ πάντα κρέη τῶν πετεινῶν καὶ τῶν ἄλλων ἐσθίειν ψαχνά τε καὶ χλία, δίεφθα, καὶ καρυκευτά, καὶ τὰ μικρὰ γαλούλια, τουτέστι τὰ λακτέντα. 2. Ἐκ δὲ τῶν ἰχθύων, πάντα ἐσθίειν, πλὴν τῶν ὑγροτέρων· κίχλας καὶ κωβιούς, καὶ πάντα τὰ ἄλεπα, μὴ ἐσθίειν, καθὼς προλέλεκται ἐν τῷ ὀκτωβρίῳ μηνί. Τὰ δριμέα πάντα
261 χρᾶσθαι, οἷον πέπερι, καὶ ὅσα διὰ τῶν ἀρωμάτων· πρὸς δέ, καὶ πρασομόλοχα. 3. Ἐκ δὲ τῶν ὀσπρίων, κυάμου καὶ φακῆς καὶ θερμίων ἀπέχεσθαι· τὰ δὲ λοιπὰ ἐσθίειν. Ἐκ δὲ τῶν ὀπωρῶν, φοίνικας μὴ ἐσθίειν, μήτε κοκκόδαφνα. Οἶνον παλαιόν, λεπτόν, εὐώδη πίνειν. 4. Ἀπέχεσθαι δὲ πασῶν τῶν ὑγροτέρων τροφῶν, καὶ λαμβάνειν τὸ ἀπόθερμα τῆς τίλης ἐκ διαλείμματος. Λουτρὰ γʹ, ἄνευ τοῦ χρίσματος. Καὶ ἀφροδισιάζειν.

### *ΙΒ'. ΜΗΝ ΔΕΚΕΜΒΡΙΟΣ.* 262

*1. Χρὴ κράμβην μὴ ἐσθίειν, μήτε σκίμβρον. Ἐκ δὲ
τῶν κρεῶν, καθὼς ἐν τῷ νοεμβρίῳ μηνὶ λέλεκται. Ὁμοίως
καὶ περὶ τῶν ἰχθύων καὶ τῶν λαχάνων καὶ ὀπωρῶν, καὶ
περὶ οἴνων, καὶ ὀσπρίων, καὶ πρασοζέματος. 2. Λουτρὰ η'·
καὶ χρίσματα ποιεῖν διὰ τῆς ἀλόης καὶ τῆς σμύρνης. Φα-
κὴν δὲ μὴ ἐσθίειν ὅλως. Λαμβάνειν δὲ ἀπόζεμα τῆς τίλης
μετρίως. Κάπαριν καὶ κολυμβάδας ἐλαίας μὴ ἐσθίειν, ἀλλὰ* 263
*μᾶλλον τὰς μαύρας ὀξομέλιτι καὶ σίνηπι. Καὶ σμήχεσθαι
δι' οἴνου καὶ νίτρου. Καὶ ἀφροδισιάζειν. 3. Ψηφίζεται δὲ
καὶ τὸ Ἕπταστρον, ἀπὸ ζ' ἡμερῶν τοῦ μηνός.*

# XXIX.

## ΘΕΟΔΟΡΟΥ ΤΟΥ ΠΡΟΔΡΟΜΟΥ ΣΤΙΧΟΙ
## ΚΑΤΑ ΙΑΤΡΙΚΗΝ ΕΠΙΣΤΗΜΗΝ ΕΙΣ ΤΟΥΣ ΙΒ' ΜΗΝΑΣ.

---

Ed. Boissonade p. 181

### ΜΗΝ ΜΑΡΤΙΟΣ.

*Ἐγὼ στρατηγοὺς πρὸς πανοπλίαν ἄγω,*
*Ξίφη τε θήγω καὶ νεουργῶ πρὸς μάχας,*
*Καὶ τὴν ξένην τίθημι τῷ στρατῷ φίλην.*
*Ναὶ μὴν παραινῶν καὶ διδάσκων, ὡς θέμις,*
*Πάντας κελεύω λαμβάνειν, καθ' ἡμέραν,*
*Τροφὴν γλυκεῖαν, οἶνον εὐώδη πάνυ.*

### ΑΠΡΙΛΙΟΣ.

*Τὸ Πάσχα, πιστοῖς τὴν τρυφήν, φέρω μόνος·*
182 *Χαρὰν βραβεύω τῆς Ἐγέρσεως πλέον.*
*Λέγω δὲ φεύγειν πᾶσι τὰς ῥαφανίδας,*
*Ἰοῦ γεμούσας καὶ μελαγχόλου βλάβης.*

### ΜΑΙΟΣ.

*Ῥόδον δίδωμι λυποθυμίας ἄκος,*
*Κρίνων τε τερπνὸν ἄνθος εἰς θυμηδίαν·*
*Καὶ τὴν χλόης τὴν ῥίζαν ἑδραίαν φέρω.*
*Οὐ δεῖ δὲ τρώγειν κοιλίας τε καὶ πόδας·*
*Τίκτουσι καὶ γὰρ φλέγμα, χολὴν πυρρώδη,*
*Ἐξ ὧν ῥίγη φύουσι καὶ ποδαλγίαι.*

### ΙΟΥΝΙΟΣ.

*Ἐγὼ τὸν χόρτον τῇ δρεπάνῃ συλλέγω,*
*Καὶ τοὺς γεωργοὺς εὐτρεπίζω πρὸς θέρος.*
*Βροτοὺς παραινῶ πρωῒ λαμβάνειν ὕδωρ·*
*Καὶ γὰρ χολὴ μέλαινα πάντως αὐξάνει.*

*ΙΟΥΛΙΟΣ.*

*Σίτου θερίζω καὶ κριθῆς τοὺς ἀστάχεις,*
*Καὶ τὰς ἅλωνας εὐφορῶ τῶν δραγμάτων*
*Ἄρτου τ' ἐμπιπλῶ τῶν βροτῶν τὰς καρδόπους.* 183
*Λέγω δὲ φεύγειν τῶν ὀπωρῶν τὸν κόρον.*
*Ἔνθεν γάρ ἐστι κακοχυμίας ὕλη;*
*Ἢ καὶ φθίσιν εἴωθε κακίστην φέρειν.*

*ΑΥΓΟΥΣΤΟΣ.*

*Ἐγὼ κελεύω τὰς ὀπώρας ἐσθίειν,*
*Καὶ πᾶσι τοῖς ψύχουσι χρῆσθαι σιτίοις·*
*Καὶ γὰρ κύναστρος ἡλίῳ παρατρέχει,*
*Ὅσπερ καταίθει πᾶσαν ἄρδην τὴν χθόνα,* 184
*Οὗ φλογμὸς ἅπτει πυρὸς Αἰτναίου δίκην.*
*Ἀφεκτέον δὲ τοῦ τρέφεσθαι μαλάχην.*

*ΣΕΠΤΕΜΒΡΙΟΣ.* 185

*Ἐγὼ δὲ κείρω βότρυας τῆς ἀμπέλου.*
*Τούτους δὲ ληνοῖς ἐκθλίβων, τεύχω πόμα*
*Οἴνου, πᾶσιν ἥδιστον εἰς ἀρχὴν ἔτους.*
*Καὶ τοῖς φιλοῦσιν ἐκροφεῖν λέγω γάλα,*
*Ὡς ἂν κενοῖο γαστρὸς ἰχῶρας πλέον,*
*Οἵπερ κυνάγχους εἰσάγουσιν ἐν βίῳ.*

*ΟΚΤΩΒΡΙΟΣ.*

*Ὄρνις μὲν αἱρῶ καὶ νεοσσῶν πᾶν γένος·*
*Στρουθῶν μιαρῶν ἔθνος ἰξῷ προσφέρω,*
*Ἄλλους τε πολλοὺς ἑλκύω πεδοβρόχοις.*
*Προτρέπω δὲ τὸ πράσον ἐσθίειν, φίλοι,*
*Ἔδεσμα πάντων εὐπρεπὲς τῶν βρωμάτων,*
*Ὃ καὶ καθαίρει πημονὴν τῆς κοιλίας.*

*ΝΟΕΜΒΡΙΟΣ.* 186

*Γῆν τὴν ἄρουραν ἐξορύττω καὶ σπείρω*
*Σίτου σπόρον γλύκιστον ἐν ταῖς κοιλάσι.*
*Ἔχω καλούσας εἰς σπορὰν τὰς γεράνους·*
*Χρῆσθαι δὲ λουτροῖς παντελῶς ἀποτρέπω,*

Ὡς ῥευματισμοῦ προξενοῦσιν αἰτίας
Καὶ τῇ κεφαλῇ παγκάκους ἀρρωστίας.

### ΔΕΚΕΜΒΡΙΟΣ.

Θηρῶ λαγωούς, ἀγρίαν εὐωχίαν,
Καὶ περδίκων πίμπλημι δαῖτας πλουσίων·
Καὶ τὴν ἑορτὴν τῶν Γενεθλίων ἔχω,
Ἥτις μεγίστη, τοῦ θεανθρώπου Λόγου.
Καὶ βρῶμα μὲν δαψιλὲς πᾶς φεύγειν, λέγω·
Κράμβην δὲ μᾶλλον τὴν μελάγχολον μόθευ.

### ΙΑΝΟΥΑΡΙΟΣ.

Πίθους ἀνοίγω καὶ καλάνδας δεικνύω.
187 Κρεῶν τε χοίρων βρῶσιν ἡδίστην νέμω·
Καὶ πᾶν τὸ πρὸς ὄρεξιν ἀνθρώπων φέρω,
Ἰχθῦς λιπώδεις, ξιφίας τε καὶ τρίγλας.
Ἓν δὲ μόνον φύλαττε, τὴν ῥῶσιν λέγω.
Τὸν ἄκρατον σπᾶν οἶνον εἰς ἀρχὴν ἔα.

### ΦΕΒΡΟΥΑΡΙΟΣ.

Χόρταζε πᾶς καὶ πῖνε (μὴ φείδου) κόρῳ.
Ἐγὼ γὰρ αἷμα καὶ τὰ νεῦρα πηγνύω,
Μέλη τε ναρκῶ, καὶ μεταλλάττω φύσιν·
Πρὸς ὠχρότητα νεκρὸν ποιῶν τῷ ψύχει.
Πλὴν τοὺς γέροντας καὶ γυναῖκας καὶ νέους
Σεῦτλα πρὸς ἐσθίασιν οὐ τρώγειν θέλω,
Ἰοῦ γέμοντα φαρμακουργοῦ τῆς ὕδρας.

# XXX.

## ΑΝΩΝΥΜΟΥ
### ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ ΣΤΙΧΟΙ.

---

ΣΕΠΤ. Ed. Boissonade. p.189

Γῆν ἀροσίμην σπεῦδε τέμνειν, ἀγρότα·
Βρωτῶν ποτῶν τε γλυκέων πᾶς ἀντέχου·
Χολὴ μέλαινα κυριεύει γὰρ πλέον.

ΟΚΤ.

Σπείρειν ἀνάγκη, γλυκέων τ' ἀποτρέχειν·
Οἴνῳ παλαιῷ χρώμενος ἐν τοῖς ποτοῖς.
Δριμεῖα καὶ γὰρ ἡ χολὴ πλεῖον φέρει.

ΝΟΕΜΒ.

Συχνῶν λοετρῶν ἀπέχου καὶ δριμέων.
Ἔσθιε θερμὰ καὶ γλυκαίνοντα πλέον.
Φλέγμα ψυχρὸν γὰρ κυριεύει τῷ τότε.

ΔΕΚ.

Παύθητι νῦν γε τοῦ σπείρειν, πᾶς ἀγρότης.
Ψυχρῶν δὲ πάντων ἀπέχεσθ' ἐδεσμάτων.
Καιρὸς γὰρ οὗτος τὸ πλέον φλέγμα φέρει.

ΙΑΝ.

Νῦν ἀπογεύου νῆστις ἀκράτου τρίτον.
Τὸ φλέγμα πλέον κυριεύει γὰρ πάλιν.

ΦΕΒΡ. 190

Θερμοῖς σιτίοις καὶ ποτοῖς ἀνθοσμίου
Κίχρησο· καὶ γὰρ φλέγμα ψυχρὸν πλημμύρει.

*ΜΑΡΤ.*

*Πρὸς ἐκστρατείαν γυμνάσιά τε τρέπου.*
*Βρωτῶν ποτῶν τε γλυκερῶν πᾶς ἀντέχου.*
*Αἷμα προσαῦξον εὐκραὲς γάρ σοι τότε.*

*ΑΠΡ.*

*Θερμῶν ἁπάντων δριμέων τ' ἀφεκτέον.*
*Εὔχυμα δ' ἔσθειν καὶ πίνειν ἀνθοσμίου.*
*Αἵματος ἡ κίνησίς ἐστι γὰρ τότε.*

*ΜΑΙΟΣ.*

*Τῶν ταριχευτῶν ἀπέχου καὶ δριμέων.*
*Τοῖς εὐόσμοις ἥδου τε καὶ γλυκυτέροις.*
*Μέλαν γὰρ αἷμα κυριεύει καὶ πάλιν.*

*ΙΟΥΝ.*

*Νῦν ὕδατος πρωΐθεν ἐκρόφα τρίτον.*
*Θερμὸν γὰρ αἷμα κυριεύει καὶ πάλιν.*

191 *ΙΟΥΛ.*

*Μόχθους παραιτοῦ καὶ κέχρησο τοῖς ὕπνοις.*
*Ξανθὴ χολὴ γὰρ κυριεύει τὸ πλέον.*

*ΑΥΓ.*

*Τὴν τῶν ψυχρῶν δίαιταν ἀσπάζου πλέον.*
*Μόνην ἐδωδὴν φεῦγε τὴν τῶν λαχάνων.*
*Χλωρὰ χολὴ γὰρ καὶ πάλιν κατισχύει.*

# XXXI.

## ΑΝΩΝΥΜΟΥ

## ΠΕΡΙ

## ΤΩΝ ΔΩΔΕΚΑ ΜΗΝΩΝ ΤΟΥ ΕΝΙΑΥΤΟΥ

### ΟΠΟΙΑΙΣ ΔΕΙ ΧΡΗΣΘΑΙ ΤΡΟΦΑΙΣ ΕΝ ΕΚΑΣΤΩΙ ΑΥΤΩΝ ΚΑΙ ΑΠΟ ΠΟΙΩΝ ΑΠΕΧΕΣΘΑΙ.

---

Ed. Boissonade.

*Α΄. Μηνὶ Σεπτεμβρίῳ.* p. 409

1. Ἐν τούτῳ τῷ μηνὶ ἁρμόζει γαλακτοτροφεῖν καὶ γαλακτοποτεῖν· ἐκ δὲ τῶν κρεῶν ὄρνιθας ἐσθίειν. καὶ πρόβεια, καὶ περιστεράς, καὶ νήσσας καὶ τρωγλίτας, ὄρτυγας καὶ λακτέντα ὀπτὰ ξὺν ὀξυμέλιτι ἐσθίειν. 2. Ἐκ δὲ τῶν ἰχθύων, λαμβάνειν πάντας τοὺς τρυφεροὺς καὶ πετραίους καὶ μαλακοσάρκους, καὶ κεφάλους, καὶ πάντα τὰ ἀλέπιδα. 3. Ἐκ δὲ τῶν ὀσπρίων, κυάμων καὶ φακῆς ἀπέχεσθαι, τὰ δὲ λοιπὰ ἐσθίειν. 4. Ἐκ δὲ τῶν λαχάνων, κράμβης, γογγύλης καὶ ἐλαιῶν μαυρῶν ἀπέχεσθαι. Δριμυφαγίαις δὲ 410 χρᾶσθαι μερικῶς, οἷον ῥέπανον, σίναπι, πέπερι, κιννάμωμον καὶ στάχος. 5. Ἐκ δὲ τῶν ὀπωρῶν, σταφυλὰς καὶ ἀπίδια καὶ δαμασκηνὰ λευκὰ καὶ μῆλα, καὶ ῥοδάκινα, καὶ πεπόνιον, καὶ τὰ ὅμοια τούτων. Καὶ οἴνους πίνειν ἀψινθοκράεις καὶ ἀψινθάτους. 6. Λουτρὰ ὀκτώ· σμήγματα δὲ κεφαλῆς, κιμώλια μετὰ ὄξους, καὶ ἔλαια ῥοδάκινα, ἕως κδ΄. Καὶ συνουσιάζειν. Χρίσμα δὲ κοινὸν ποιεῖν.

*Β΄. Μηνὶ Ὀκτωβρίῳ.*

1. Ἁρμόζει δριμυφαγίαις πάσαις χρᾶσθαι, πρὸ πάντων δὲ πράσα ἐσθίειν ἑφθὰ καὶ ὠμά. Καὶ τὸ ζέμα πίνειν. Καὶ σκόροδα ἑφθά, καρυκευτά, οἷον στάχος, πέπερι, κιννάμωμον, καρυόφυλλον, καὶ ταῦτα διὰ τῶν ἀρωμάτων

ἐσθίειν. 2. Ἐκ δὲ τῶν κρεῶν, πρόβεια καὶ ὀρνίθεια καὶ περιστερόπουλα, καὶ χῆνας, καὶ ὀρτυγομήτρας, καὶ λακτίντα ἐσθίειν, νήσσας τε καὶ φάσσας, καὶ τρυγόνας καὶ πέρ-
411 δικας. Βόεια δὲ καὶ ἐλάφια καὶ πλατὺν καὶ ὀνάγρους καὶ λαγῶν ἀπέχεσθαι χρή. 3. Ἐκ δὲ τῶν ἰχθύων, κεφάλους καὶ κίχλας, καὶ πάντα τὰ ἀλέπιδα μὴ ἐσθίειν, τὰ δ' ἄλλα πάντα. 4. Ἐκ δὲ τῶν ὀσπρίων, κυάμους καὶ φακῆς καὶ λαθύρων ἀπέχεσθαι· τὰ δὲ λοιπὰ ἐσθίειν, καὶ ἀσπαράγους πάντας καὶ ἀμανίτας λευκούς. 5. Ἐκ δὲ τῶν ὀπωρῶν, σταφυλὰς ἄσπρας, ἀπίους τοὺς ἀκμάσαντας, καὶ μῆλα τὰ γλυκέα, σῦκα δὲ ἄσπρα, ῥοδάκινα περσικά, καὶ φοίνικας καὶ ῥοιάς, καὶ μηλοκυδώνια ἐσθίειν. 6. Ἐκ δὲ τῶν ξηρῶν ἁπάντων τῶν ὀπωρῶν, πιστάκια, κάρυα τὰ βασιλικά, καὶ ἀμύγδαλα, καὶ κουκουνάρια, καὶ λεπτοκάρυα ἐσθίειν. 7. Οἴνους δὲ λεπτοὺς καὶ ἐλαιοχρώους πίνειν καὶ ἀψινθάτους. Λουτρὰ ὀκτώ. Καὶ ἀφροδισιάζειν. Καὶ χρίεσθαι ἅπαξ. καὶ σμήχεσθαι, ὡς εἴρηται.

### Ι΄. Μηνὶ Νοεμβρίῳ.

1. Ἁρμόζει εἰς λουτρὰ μὴ λούεσθαι, μηδὲ χρίεσθαι·
412 εἰ δὲ καὶ συμβῇ, δύο λουτρὰ καὶ μόνα δεῖ. 2. Ἐκ δὲ τῶν κρεῶν, μὴ ἐσθίειν ἐλάφους, καὶ βόεια, καὶ δορκάδας, καὶ λαγών, καὶ ὀνάγρους, καὶ ἀγριοαῖγας· τὰ δὲ λοιπὰ κρέα ἐν πετεινοῖς ἐσθίειν ψαχνὰ καὶ λίαν δίεφθα καὶ καρυκευτά· καὶ λακτέντα τὰ μικρά. 3. Ἐκ δὲ τῶν ἰχθύων, πάντας ἐσθίειν, πλὴν τῶν ὑγροτέρων, καὶ κίχλας καὶ κωβιούς, καὶ πάντα τὰ ἀλέπιδα, καθὼς προλέλεκται ἐν τῷ ὀκτωβρίῳ. Τοῖς δὲ δριμέσι χρᾶσθαι, οἷον πέπερι, καὶ ὅσα διὰ τῶν ἀρωμάτων· καὶ πρασομόλοχα ἐσθίειν. 4. Ἐκ δὲ τῶν ὀσπρίων, κυάμους καὶ λουπινάρια ἀπέχεσθαι· τὰ δὲ λοιπὰ πάντα ἐσθίειν. 5. Ἐκ δὲ τῶν ὀπωρῶν, φοίνικας μὴ ἐσθίειν· ὅλας δὲ τὰς ξηρὰς ἐσθίειν. 6. Ἐκ δὲ τῶν οἴνων, τοὺς παλαιοὺς καὶ λεπτοὺς καὶ λευκοὺς καὶ εὐώδεις πίνειν. Ἐκφεύγειν δὲ πάντων τῶν ὑγροτέρων τὰ βρώματα. Λαμβάνειν δὲ καὶ τὸ ἀπόθερμον τῆς τίλης ἐκ διαλείμματος. Καὶ ἀφροδισιάζειν.

Δ. Μηνὶ Δεκεμβρίῳ.

. . . . . . . . . . Λείπει . . . . . . . . . . .

Ε΄. Μηνὶ Ἰανουαρίῳ.

1. Ἁρμόζει οἴνου καλοῦ εὐωδεστάτου λαμβάνειν ῥοφήματα τρία, μετὰ ἀπάκτης, καὶ ἐπινηστεύειν ἕως ὥρας τρίτης, καὶ τρέφεσθαι τοῖς ἐκ κρεῶν προβείοις χλίοις καὶ ὀπτοῖς, καὶ χοιρείοις ὡσαύτως μικροῖς ὀπτοῖς. 2. Καὶ ζωμοὺς κατασκευάζειν καρυκευτούς, στάχος, κιννάμωμον, καὶ ἔργον τριπτὸν ἀρτύματι, καρναβάδιον ἀνατολικόν, πέπερι, καὶ τὰ λοιπά. Ἐν δὲ τῇ ὀπτήσει τὰ τῶν χοιρείων κρεῶν 413 ἀλειφέσθωσαν οἰνομέλιτι· τὰ δὲ ποδοκέφαλα τῶν οἰῶν, τουτέστι προβατικά, ὀξυστά. 3. Ἐκ δὲ τῶν ὀρνέων, ὄρνιθας, περιστερόπαυλα, λευκὰ δέ, ἐὰν εὑρεθῶσι, καὶ βρακκάτα· ταῦτα γάρ εἰσι τὰ κρείττονα· χλία δὲ καὶ ὀπτὰ ἐσθίειν· καὶ χῆνας καὶ νήσσας, καὶ κίχλας, καὶ ὄρτυγας, καὶ τρωγλίτας· τούτων δὲ ἀγρίων γινομένων, ἐπιβάπτειν αὐτὰ σίναπυ, ἀλοκύμεινον, καὶ οἰνόγαρον. 4. Ἐκ δὲ τῶν ὀσπρίων, λαθύριον καὶ αὖχος, ἀλεστά· ἡ δὲ ἄρτυσις αὐτῶν, ἅλας, ἔλαιον, καὶ κύμινον τριπτόν. 5. Ἐκ δὲ τῶν ὀπωρῶν, σταφίδας, ἀμύγδαλα, πιστάκια, κουκουνάρια· λαμβάνειν δὲ ὀλίγον κίτρον, καὶ ῥοΐδιν καὶ φοίνικας, καὶ πρῶτον γάλα μετὰ μέλιτος, καὶ στάχος τριπτόν, καὶ κιννάμωμον. 6. Καὶ δι' ὅλου τοῦ μηνός, λουτρὰ τέσσαρα· σμηχόμενος νίτρῳ ὀπτῷ, ἐν οἴνῳ λειωθέντι. Καὶ χρίσμα ποιεῖν σκευαστόν, τουτέστι ψίλιθρον, καὶ βάλλειν ἀλόην ξ γ΄ καὶ σμύρναν ξ α΄, καὶ κρόκον ᾠῶν δύο. Ταῦτα πάντα ἑνώσας, χρίου· αὕτη δὲ ἡ σκευὴ ἑνὸς ἀνθρώπου. 7. Ἁρμόζει δὲ πρὶν χρίσασθαι, εἰσελθεῖν εἰς τὸ λουτρόν, καὶ περιχύσασθαι σίτλας δύο ἢ τρεῖς, πρὶν ἱδρώσῃ, καὶ ἐξελθεῖν· καὶ ἀποσπογγίσασθαι καλῶς· καὶ οὕτω χρίσασθαι. Καὶ μὴ βράδυνε μετὰ 414 τοῦ χρίσματος. Μετὰ δὲ τὸ χρίσμα, ἀποτρίβεσθαι δεῖ διὰ οἰνοποτηρίου καὶ κρόκων ᾠῶν, ῥοδελαίῳ ἀναμεμιγμένων. Καὶ ἀφροδισιάζειν μέχρις ἰσημερίας μαρτίου.

ϛ΄. Μηνὶ Φεβρουαρίῳ.

1. Ἁρμόζει σεῦτλον μὴ ἐσθίειν, μηδὲ ἄγριον τὸ οἱονδήποτε, μήτε κίχλας τῶν ἰχθύων· μήτε ζέμα πίνειν τὸ

οἱονδήποτε, ἄνευ τοῦ πρασοζέματος, καὶ τοῦ μαλάθρου, καὶ τοῦ σκορδοζέματος καρυκευτοῦ. Οἴνους δὲ παλαιοὺς καὶ εὐώδεις πίνειν. 2. Ἐν δὲ κρέασιν ἐσθίειν, κατὰ τὸν προλεχθέντα κανόνα τοῦ ἰανουαρίου μηνός. 3. Καὶ ἐκ τῶν ἰχθύων τὰ προλεχθέντα, καὶ ὅσα ὀστρακώδη, τὰ λεγόμενα ὄστρια, καὶ φάγρους, καὶ ἀστακούς, καὶ μύδια καὶ κτένια, καὶ ὅσα τῶν ἰχθύων πετραῖα, ὡσαύτως ὀρφούς, λαπίνας, σκάρια, καρίδας, καὶ ὅσα πετρώδη, πλὴν διὰ σίνηπι. 4. Τὰ δὲ βάμματα, καὶ τὰ ὀπωρινά, ὅσα προελέχθησαν τῷ ἰανουαρίῳ μηνί. Ὡσαύτως καὶ ἐκ τῶν λαχάνων καὶ κοδιμέντων τὰ προλεχθέντα. Ὁμοίως καὶ τὰ λουτρά, καὶ τὸ χρίσμα. Καὶ ἀφροδισιάζειν ὁμοίως.

Ζ'. *Μηνὶ Μαρτίῳ.*

415 1. Ἁρμόζει πᾶσι τοῖς γλυκέσι χρᾶσθαι ἐν τροφαῖς καὶ ποτοῖς. Ἀρκετὰ δὲ ταῦτα ἐν τούτοις· πᾶν γὰρ τὸ πολὺ τῇ φύσει πολέμιον, τὰ δὲ κατὰ μικρὸν ἀσφαλῆ. Δριμυφαγίας δὲ πάσης καὶ πικροφαγίας ἀπέχεσθαι. 2. Ἐκ δὲ τῶν ἰχθύων, παντοῖα ἐσθίειν, ἄνευ τῶν ἀλεπίδων· τοὺς δὲ λάβρακας, καὶ κεφάλους ἐσθίειν συχνῶς. 3. Καὶ ἐκ τῶν ὀσπρίων, τὸν ἄλικα δίεφθον καὶ ὑδαρώτερον καὶ καρυκευτὸν μέλιτι, στάχει, κινναμώμῳ καὶ οἴνῳ εὐωδεστάτῳ. Τὸν δὲ κύαμον, τουτέστι φάβα, βρέχειν δεῖ καὶ ἐκζένειν καλῶς, καὶ ἅλασι καὶ ἐλαίῳ ὀμφακίνῳ καλῷ ἐπιβάλλειν. 4. Λαμβάνειν δὲ καὶ τῆς τίλης τὸ σπέρμα, τουτέστι κέριν, ἀπόθερμον, δίεφθον, ἀρτυθὲν μέλιτι καὶ στάχει. Πλύνεσθαι δὲ δεῖ τὴν τίλην τρίτον, καὶ τρίβειν ταῖς χερσί, καὶ τότε ἕψειν, καὶ μερικῶς ἀποζεματίζειν· ἐὰν γὰρ πάνυ ἀποζεματισθῇ, γίνεται δύσπεπτος, ἰφεκτικὴ καὶ πονηρά, καὶ ἐμφρακτικὴ κοιλίας· μὴ πάνυ δὲ ἀποζεματισθεῖσα τὸν ἴδιον χυλόν, τουτέστι τὴν ἰδίαν πικρίαν, γαστέρα ἐμφράττει. Γλύκαινε οὖν τὴν πικρίαν αὐτῆς μέλιτι. Λαθύριν δὲ καὶ
416 αὖχος, ἀλεστά· τὸν δὲ φασίουλον, τοῖς εὐαρέστοις, λαμβάνειν ἐκζεστόν, δίεφθον ὀξυμέλιτι. 5. Ἐκ δὲ τῶν λαχάνων, σεῦτλον καὶ μολόχιν καὶ χρυσολάχανον ἐσθίειν, καὶ πάντας τοὺς ἀσπαράγους καὶ ἀμανίτας, ἄνευ τῆς βρυωνίας καὶ τῆς χαμαιδάφνου, διότι πικρά εἰσιν. 6. Ἐκ δὲ τῶν

συνθέτων, ἐσθίειν ἐλαίας κολυμβάδας καὶ ὀξυμέλιτα ἐκ διαλείμματος. Καὶ δριμέος παντοίου μηδόλως ἅπτεσθαι τὸν μῆνα τὸν μάρτιον, ἀλλὰ παντοῖα γλυκέα ἐσθίειν. 7. Ἐκ δὲ τῶν ὀπωρῶν πασῶν, τὰς προλεχθείσας, φοίνικας κατὰ χρέος. Ἐκ δὲ γλυκοποσίας, λαμβάνειν κονδύτον, ἔχοντα πέπερι, κιννάμωμον, καρυόφυλλον, καὶ στάχος πλεῖστον. 8. Καὶ λουτρὰ τὸν μῆνα ἕξ, τὰ μὲν τρία χρίεσθαι ἐν ἡμέρᾳ γ', ὥρᾳ γ', ἄνευ τῆς ἀλόης καὶ τῆς σμύρνης· τὰ δὲ ἄλλα τρία λουτρὰ λούεσθαι ἐν ἡμέρᾳ πέμπτῃ ἄνευ τοῦ χρίσματος. Σμήγματα δὲ ὅσα διὰ νίτρου. Οἴνου δὲ λεπτοῦ καὶ εὐωδεστάτου, καὶ ἐλαιοχρόου μεταλαμβάνειν· καὶ συνουσίας μετρίως.

### Η'. Μηνὶ Ἀπριλίῳ.

1. Ἁρμόζει μὴ ἐσθίειν ῥάφανον ἢ ἡδύοσμον, κάπαριν, πεπεροκύμινον, θρύμβον, καὶ πάντων τῶν δριμέων ἀπέχεσθαι παντάπασιν. 2. Ἐν δὲ κρεοῖς, ἁρμόζει ἐσθίειν τρυφερὰ καὶ εὔσαρκα, οἷον ἄρνας νεμομένας καὶ γαλακτοτρόφους, καὶ ἐρίφους γαλακτοτρόφους· καὶ ὅσα δὴ πρόβεια 417
κρεῶν τῶν νέων καὶ εὐνούχων, ψαχνὰ καὶ δίεφθα. ἐκ τούτων λαμβάνειν καὶ ζωμοὺς μετρίως καρυκευτούς, διὰ τὸ εὔλυτον ποιεῖν τὴν κοιλίαν. Τῶν δὲ χοιρείων ἀπέχεσθαι χρή. 3. Ἐκ δὲ τῶν ὀρνέων, ἐσθίειν ὄρνιθας καὶ ὀρνιθόπουλα τὰ ἄρρενα, καὶ περιστερόπουλα τὰ λευκά, καὶ νήσσας, καὶ χῆνας τρυφεράς, ψαχνὰ καὶ δίεφθα, καὶ γλυκέα, καὶ ὀπτά. Γλυκοφαγεῖν δὲ καὶ γλυκοποτεῖν, ὡς προλέλεκται. 4. Καὶ ἐκ τῶν ἰχθύων, λάβρακας καὶ κεφάλους, συάκια καὶ χρυσάφια, καὶ φάγρους, ζωμῷ ὀλίγῳ καρυκευτῷ· λαπίνας δὲ καὶ χάννους, καὶ κοκίμια, σαύρους καὶ μελανούρους, ἔχοντα λέπια, ἐσθίειν τηγάνου, καὶ ἐργ......, ὡς εἴρηται. ὀλίγον δὲ καρυκεύειν καὶ μὴ πλεῖστα. 5. Ἐκ δὲ τῶν ὀσπρίων, παντοίων ἀπέχεσθαι τῶν ξηρῶν, τὰ δὲ χλωρὰ ἐσθίειν μετὰ τῶν προλεχθέντων κρεῶν. 6. Καὶ ἐκ τῶν λαχάνων, ὄξει σκιλλιτικῷ χρυσολάχανον, ἄνηθον, κολίανδρον χλωρόν, μαϊούλια ἐσθίειν καὶ ὀξυγαρίζειν· καὶ σκόροδα 418
χλωρὰ ἐσθίειν μετρίως, ἐλαίῳ καὶ ἅλατι πρὸς ὀλίγον. 7. Ἐκ δὲ τῶν ὀπωρῶν, παντοίας ξηρὰς ἀπέχεσθαι. Καὶ ἀνισά-

τοις χρᾶσθαι. Μυρία ὀσφραίνεσθαι, οἷόν τι νάρδου, κρίνα, χαμαίμηλα τὰ εἰς ὀσμήν, καὶ τῶν ξηρῶν μυρίων τὸν μόσχον καὶ ῥοδόσταγμα. Καὶ μετρίως ἀφροδισιάζειν. 8. Λουτρὰ δὲ ὀκτὼ δι' ὅλου τοῦ μηνός. Σμήχεσθαι δὲ σαπωνίῳ γαλλικῷ. Ψίλωθρον δὲ δεῖ χρίεσθαι ἅπαξ τοῦ μηνός, ἄνευ τῆς ἀλόης καὶ τῆς σμύρνης· εἰ δὲ μή, μόνον λυτὸν ἔχον κρόκον ὠῶν τριῶν καὶ ῥοδέλαιον· καὶ ταῦτα ποιεῖν, ὡς προείρηται.

Θ'. Μηνὶ Μαΐῳ.

1. Ἁρμόζει μὴ ἐσθίειν πᾶν καρφαλέον καὶ κακόχυμον καὶ χολῶδες, οἷόν τι ποδοκέφαλα, καὶ ἐντερόκοιλα, καὶ νευρώδη. Ἐσθίειν δὲ καὶ τὰ προλεχθέντα κρέα τῷ ἀπριλίῳ μηνί· καὶ ἐκ τῶν ἰχθύων τοὺς παστοὺς καὶ ξηρούς. Νέβρων δὲ θαλάσσης ἀπέχεσθαι χρή. 2. Διάγειν δὲ καὶ πολιτεύεσθαι κατὰ τὸν προλεχθέντα ἀπρίλιον, ἔν τε τροφαῖς καὶ ποτοῖς καὶ λουτροῖς. Καὶ ἐκ τῶν λαχάνων, ἐσθίειν ἐλειοσπάραγον καὶ ἀγριοσπάραγον. 3. Ξηροζέματά τε καὶ ἀπό-
419 θερμα, καὶ μίλια, καὶ ὑδρόγαρον καὶ τίλην, πάντα τὰ ξηρὰ καὶ ἁλμυρὰ καὶ πικρά, μὴ ἐσθίειν. Γλυκοφαγεῖν δὲ καὶ γλυκοποτεῖν μετρίως, καὶ ὡς προλέλεκται τῷ ἀπριλίῳ μηνί. Ὡσαύτως καὶ χρᾶσθαι λουτρῷ, χρίσμασι, σμήγμασι, καὶ ἀφροδισίοις.

Ι'. Μηνὶ Ἰουνίῳ.

1. Ἁρμόζει ῥοφᾶν ὕδωρ ψυχρὸν βρόχθους τρεῖς, νήστης, ῥοφήματα δὲ μικρὰ καὶ μὴ ἀπλήστως· καὶ ἐπινηστεύειν ἕως ὥρας τρίτης. Καὶ πᾶσι τοῖς γλισχροτέροις μετρίως χρᾶσθαι, τῶν δὲ δριμυτέρων καὶ ξηρῶν ἀπέχεσθαι, καρυοφύλλων, κινναμώμου, καὶ ὅσα διὰ τῶν ἀρωμάτων ἐσθίειν. 2. Ἐκ δὲ τῶν κοδιμέντων, σκόροδα, κρόμυα, ῥάφανον, εὔζωμον, καρδάμον, σινάπι χλωρὸν καὶ τριπτόν, ὀρίγανον, ὕσσωπον, πήγανον, πρᾶσα, χαμαιδάφνην μὴ ἐσθίειν. 3. Ἐκ τῶν κρεῶν, ἐσθίειν τὰ πρόβεια τὰ τρυφερά, τουτέστι τῶν κριῶν καὶ εὐνούχων. λάμβανε δὲ ψαχνὰ καὶ δίεφθα· στέατος δὲ μὴ ἅπτου· αὐτὸ δὲ τὸ κρέας λιπαροῦ κριοῦ ἔστω. 4. Δεῖ ἐσθίειν καὶ ἀρνοὺς νεμομένους καὶ γαλακτοτροφοῦντας ψαχνοὺς καὶ διέφθους, μὴ καρυκεύειν δὲ τὸ σύνολον,

*ὡς εἴρηται, ἄνευ τοῦ κολιάνδρου καὶ στάχους καὶ ἀνίσου. Ἔργα δὲ ἐσθίειν μετρίως. Καὶ ἀπέχεσθαι ζεματοποσίας παντοίας.* 5. *Καὶ ἐκ τῶν ὀρνέων ἐσθίειν ὄρνιθας καὶ ἀλεκτορόπουλα καὶ περιστερόπουλα λευκά, βρακκάτα, ψαχνὰ δίεφθα καὶ ὀπτά. Καὶ ἐκ τῶν οἴνων λαμβάνειν τοὺς* 420
*λεπτοὺς καὶ εὐώδεις, μὴ παλαιούς, ἀλλὰ χροακούς. Καὶ ἄνισον λιτὸν πίνειν μετὰ θερμοῦ.* 6. *Ἐκ δὲ τῶν ἰχθύων, πάντας τοὺς τρυφεροσάρκους ἐσθίειν, οἷον λαπίνας, κόκκυγα, χάννους, σπάρους, σκάρους, χρυσάφους, κωβιούς, καὶ ὅσα μαλακόσαρκα· λάβρακας δὲ καὶ κεφάλους, γυλάρους, τρίγλας, σκορπιούς, ἀστακούς, φάγρους, καὶ ὅσα ὀστρακόδερμα καὶ σκληρόσαρκα, μὴ ἐσθίειν.* 7. *Ἔστωσαν δὲ τὰ ἐμβάμματα τῶν προβάτων ὀξυμέλιτι. Τοὺς δὲ τῶν ὀψαρίων ζωμοὺς καρυκεύειν διὰ στάχους καὶ κολιάνδρου χλωροῦ, καὶ τὰ τήγανα μετρίως.* 8. *Ἐκ δὲ τῶν λαχάνων, ἐσθίειν χρυσολαχάνου τρυφερά, σεῦτλον, κολοκύνθην, μετὰ τῶν εἰρημένων κρεῶν καὶ αὐτὰ ὀξυμέλιτι, καὶ ἀράχνην ἑφθὴν μετὰ κρέατος· ὀξύγαρον δὲ μερικῶς· μαΐουλιν, ἰντύβιον, σελίνιον ἐν ὄξει σκιλλιτικῷ βαπτόμενον μετρίως. Κατὰ πολὺ γὰρ ἐσθιόμενον τὸ μαΐουλιν ἀμβλύνει τὰς κόρας τῶν ὀφθαλμῶν.* 9. *Ἐκ δὲ τῶν ὀπωρῶν, ἄσπρα κεράσια, καὶ ἄγγουρα ἐσθίειν μετρίως· ὅσα δὲ ἔξω τῶν ἐγγεγραμμένων ἐν τῷ μηνὶ τούτῳ ἀπέχεσθαι χρή.* 10. *Λουτρὰ δὲ ὀκτώ· ψίλωθρον δὲ μηδόλως· σμήγματα τῶν αὐτῶν ἅπαντα,* 421
*ἕως κδ'. Καὶ ἀφροδισιάζειν μετρίως.*

### *ΙΑ'. Μηνὶ Ἰουλίῳ.*

1. *Ἁρμόζει ἀφροδισίων καὶ πλείστης τροφῆς παντοίας, μόχθου τε βιαίου καὶ πλείστης κραιπάλης ἀπέχεσθαι.* 2. *Ἐν δὲ κρεοῖς, ὡς προλέλεκται τῷ ἰουνίῳ μηνί· χρὴ δὲ λαμβάνειν κρέα αἴγεια, τρυφερά, εὐνοῦχα· λαγὼν δέ, καὶ δορκάδας καὶ ἐλάφους, τρυγόνας καὶ φάσσας ἐσθίειν μετρίως· ἄνευ δὲ ὄξους ταῦτα μὴ ἐσθίειν.* 3. *Ἐν κοδιμέντοις, ὡς προλέλεκται τῷ ἰουνίῳ μηνί, μὴ δριμέα καὶ πικρὰ καὶ θερμὰ . . . . . . . . . .*

*Τὰ ἕτερα λείπει.*

# XXXII.

## ΕΡΜΟΥ ΤΟΥ ΤΡΙΣΜΕΓΙΣΤΟΥ

### ΠΕΡΙ ΚΑΤΑΚΛΙΣΕΩΣ ΝΟΣΟΥΝΤΩΝ ΠΕΡΙΓΝΩΣΤΙΚΑ, ΕΚ ΤΗΣ ΜΑΘΗΜΑΤΙΚΗΣ ΕΠΙΣΤΗΜΗΣ, ΠΡΟΣ ΑΜΜΩΝΑ ΑΙΓΥΠΤΙΟΝ.

---

Ed. Haeschel. p. 2 *Τὸν ἄνθρωπον, ὦ Ἄμμων, κόσμον φασὶν οἱ σοφοί, ἐπειδὴ ἀφομοιοῦται τῇ τοῦ κόσμου φύσει. ἐν γὰρ τῇ καταβολῇ τοῦ ἀνθρωπίνου σπέρματος, ἐκ τῶν ζ' ἀστέρων ἀκτῖνες ἐπιπλέκονται ἐφ' ἕκαστον μέρος τοῦ ἀνθρώπου· ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἐκτροπῆς, κατὰ τὴν τῶν ιβ' ζωδίων θέσιν. ὁ μὲν γὰρ ♈ λέγεται κεφαλή. τὰ δὲ τῆς κεφαλῆς αἰσθητήρια τοῖς ζ' πλάνησιν ἀπονενέμηται. ὁ μὲν γὰρ δεξιὸς ὀφθαλμός, ἀπονενέμηται τῷ ☉. ὁ δὲ εὐώνυμος, τῇ ☾. αἱ ἀκοαὶ τῷ ♄. ὁ ἐγκέφαλος τῷ ♃, ἡ γλῶσσα καὶ ὁ γαργαρεὼν τῷ ☿, ἡ ὄσφρησις καὶ ἡ γεῦσις τῇ ♀. ὅσα δὲ ἔναιμα, τῷ ♂. ἐάν τις οὖν τούτων κακῶς τύχῃ κείμενος ἐπὶ τῆς σπορᾶς ἢ τῆς γεννήσεως, ἐπὶ τοῦ προσῳκειωμένου αὐτῷ μέλους, ἡ πήρωσις γίνεται. Τέσσαρα δὲ καθολικὰ μέρη εἰσὶν ἐν τῷ ἀνθρώπῳ· κεφαλή, θώραξ, χεῖρες καὶ πόδες. ἕκαστον δὲ τούτων κατὰ τὸν καιρὸν τῆς σπορᾶς ἢ τῆς γεννήσεως, κατά τι ἠσθένηκε, τοῦ δεσπόζοντος αὐτοῦ ἀστέρος*
4 *κακωθέντος. οἷον ὁ ὀφθαλμὸς ὁ εἷς ἢ καὶ οἱ δύο. ἢ καὶ αἱ ἀκοαί, ἢ οἱ ὀδόντες ἔπαθόν τι, ἢ καὶ ἡ λαλιὰ ἐνεποδίσθη. δῆλον γὰρ ὡς ἀκτὶς κακοποιοῦ, ἐπιβαλοῦσα τούτων τινί, ἐλυμήνατο. ὁμοίως καὶ ἐπὶ θώρακος, ἢ ὁ πνεύμων ἔπαθεν ἢ τὸ ἧπαρ, ἢ ὁ σπλὴν ἢ ἡ καρδία, ἢ τι τῶν περὶ τὰ ἔντερα. καὶ ἐπὶ χειρῶν ὁμοίως καὶ ἐπὶ ποδῶν. ἢ γὰρ οἱ δάκτυλοι, ἢ οἱ ὄνυχες, ἢ τι τῶν τοιούτων μορίων κατ' οἰκειότητα ἔπαθε. Δεῖ τοίνυν ἐν τοῖς δυναμένοις τυχεῖν*

*τινὸς θεραπείας, καὶ βοηθήματα κατάλληλα προσάγειν, ἐναντιουμένους τῇ νόσῳ. τὰ μὲν οὖν ψύχοντα πάντα καὶ ἰσχνοποιοῦντα, τῷ ♄ ἀπένειμα καὶ τῷ ☿ φύσει κρυσταλλώδεσι καὶ πνευματώδεσιν οὖσιν. τὰ δὲ θερμαίνοντα καὶ πληροῦντα, τῷ ♂, ὀξυτάτῳ καὶ διαπύρῳ καὶ αἱματοποιῷ ὄντι, τὰ δὲ συναλλάττοντα καὶ κολλῶντα καὶ σωματοποιοῦντα καὶ ἱστῶντα πᾶσαν νομήν, καὶ ῥωννύντα, τῷ ♃ καὶ τῇ ♀. ἡ δὲ ☾ ᾧ ἂν τινι προσέλθῃ τῶν ἀστέρων, εἴτε ἀγαθοποιῷ εἴτε κακοποιῷ, τῇ ἐκείνου δυνάμει συνδιατίθεται. τὸν οὖν τὴν ἰατρικὴν μετερχόμενον ἐπιστήμην δεῖ θεωρεῖν τὴν κοσμικὴν διάθεσιν, καὶ τοὺς ἀστέρας [καὶ] ὅπως ἔχουσι πρὸς ἀλλήλους· ἐπεὶ οὐδὲν τῆς συμπλοκῆς τούτων χωρὶς γίνεταί τι τῶν ἀνθρωπίνων· οὔτε τὰ ὀξέα πάθη, οὔτε τὰ περιοδικά· οὔτε σώζεταί τις ὑπὸ τῆς ἰατρικῆς, οὔτε ἐπιμελείας τυχών, σώζεται ἢ ἀποθνήσκει. χρὴ οὖν τὸν ἰα-* 6
*τρὸν τὴν κατάκλισιν τοῦ ἀρρώστου ἀκριβοῦν, ποίᾳ ὥρᾳ γέγονεν. Εἰ δὲ μὴ δύναιτο ἀκριβῶς λαβεῖν τὴν ὥραν, ἐν ᾗ ἡ νόσος προσηγγέλθη· λαμβάνειν καὶ ἱστᾶν θεμάτιον καὶ σκοπεῖν, ὅπως τὲ ὁ κόσμος διάκειται, καὶ πρὸς τίνα τῶν ἀστέρων ἡ ☾ λόγον ἔχει, ἤτοι ☍ ἢ □, ἢ τίνι συνέστι. τοῖς μὲν γὰρ κακοποιοῖς συσχηματιζομένη, ἐπιβλαβῆ τὴν νόσον ποιεῖ· τοῖς δὲ ἀγαθοποιοῖς, μεγίστην βοήθειαν ἐπάγει. ἔτι δὲ δεῖ καὶ τοῦτο γνῶναι, πότερον ἡ ☾ τοῖς μὲν ἀριθμοῖς αὔξεται, τῷ φωτὶ δὲ λήγει, ἢ τὸ ἀνάπαλιν. ἢ καὶ κατ᾽ ἄμφω προστίθησιν, ἢ καὶ κατ᾽ ἄμφω λήγει. ἀπὸ μὲν γὰρ συνόδου καὶ τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς προστιθεῖσα καὶ τετραγωνιζομένη ὑπ᾽ ♂, ἢ καὶ ἐπ᾽ αὐτὸν φερομένη μέχρι τῆς κατὰ ☍ παραλλάξεως, ἐπισφαλεῖς τὰς νόσους καὶ ἀναιρετικὰς σημαίνει, μηδενὸς ἀγαθοποιοῦ παρεμπλεκομένου. εἰ γάρ τις τούτων παρεμπλέκοιτο, ἡ μὲν νόσος βαρεῖα ἔσται, καὶ σχεδὸν ἀναιρετική, ὁ δὲ νοσήσας σωθήσεται. τῆς δὲ ☾ λειπούσης τοῖς τε ἀριθμοῖς καὶ τῷ φωτί, μάλιστα καὶ ὑπὸ ♄ διαμετρουμένης, ἢ τετραγωνιζομένης, εἰ μὴ μετὰ τὸ παραλλάξαι τὴν διάμετρον [οὐ] ῥαΐσει ἡ νόσος, ἐπισφαλὴς ἔσται καὶ ἀναιρετική. εἰ δὲ ἀγαθοποιοὶ παρεμπλέκονται, ἐπὶ χρόνον νοσήσας σωθήσεται. Δεῖ δὲ ἐπὶ τούτων νοεῖν, ὅτι ἐφ᾽ ὅσον ἡ ☾ προστίθησι τοῖς ἀρι-*

8 θμοῖς, ἐπὶ τοσοῦτον ἡ νόσος αὔξεται. ὅταν δὲ ἄρξηται ἀφαιρεῖσθαι τοῖς ἀριθμοῖς, ἐπὶ τὸ βέλτιον ἄρξεται καὶ ἡ νόσος προϊέναι. καὶ φανερόν, ὡς ἐὰν τοῖς ἀριθμοῖς προστιθῇ, ἡ νόσος αὐξηθήσεται, ἕστ' ἂν σύνδεσμον λύσῃ· οὕτω γὰρ ἐπὶ τὸ κρεῖττον τραπήσεται. ἡ δὲ τοιαύτη ἐπίσκεψις καὶ ἐπὶ πάσης ἔστω σωματικῆς καταρχῆς. οἱ μὲν γὰρ ὑπὸ ♄ καὶ ☿ κατακλινόμενοι, νωχελεῖς ἔσονται καὶ δυσκίνητοι τοῖς τε ἄρθροις καὶ παντὶ τῷ σώματι ἀπὸ ψύχεος καὶ ῥευματισμοῦ, κατὰ μικρὸν ἐκφαίνοντος τὴν νόσον. καὶ βραδέως διεγειρόμενοι μικρόφωνοί τε καὶ δεδιότες, [καὶ φοβούμενοι] καὶ ἑαυτοὺς θάλποντες τοῖς ἱματίοις, καὶ τὸ φῶς φεύγοντες, καὶ πυκνῶς ἀναστενάζοντες, καὶ βραδέως ἀναπνέοντες, καὶ μικρόσφυγμοι, καὶ βοήθειαν τὴν θερμασίαν ἔχοντες, καὶ διὰ τῶν σφυγμῶν δεικνύμενοι, ἐνδεεῖς καὶ ἄτονοι, καὶ τὴν ἐπιφάνειαν τοῦ σώματος κατεψυγμένοι. χρῆσθαι οὖν ἐπὶ τούτων δεῖ τοῖς θερμαίνουσι καὶ χαλῶσιν ἐστεγνωμένοις. οἱ δὲ ὑπὸ ♂ καὶ ☉ κατακλιθέντες, ἔσονται κεκινημένοι καὶ ῥιπιζόμενοι, καὶ τὴν τοῦ σώματος ἐπιφάνειαν καταφλεγόμενοι, ἐξιστάμενοί τε καὶ ἀναπηδῶντες, καὶ πρὸς τοὺς οἰκείους ὀργιζόμενοι, καὶ κράζοντες, καὶ τοῖς ὀφθαλμοῖς ἀναιδῶς ἐμβλέποντες, κατάδιψοι καὶ τὴν γλῶτταν τραχεῖς. ἐπιθυμοῦντες πιεῖν οἶνον καὶ ὕδωρ ψυχροῦν, καὶ βαλανείῳ χρήσασθαι παρὰ καιρόν. πρὸς τρο-
10 φὴν δὲ ἀνορέκτως ἔχοντες, καὶ πρὸς πάντας συγκρούοντες τῇ γλώττῃ συνεχῶς. μικρόσφυγμοι δὲ καὶ οὗτοι εἰσίν, καὶ ἐν ἀταξίᾳ, ἐρυθροὶ τῇ ὄψει, καὶ ἔνογκοι τῷ σώματι. τούτοις συνοίσει μέχρι τῆς πέμπτης ἡμέρας ἡ τοῦ αἵματος ἀφαίρεσις καὶ ὅσα συνελθεῖν δύναται καὶ καθαιρεῖν τὸν ὄγκον. καὶ ὅσα ἡ ἀναγκαστικὴ φύσις ἀντίθετα τούτοις βοηθήματα εὗρε, τοῖς μὲν ♄ τὰ τοῦ ♂, τουτέστιν ὅσα θερμαίνει καὶ ἀναχαλᾷ καὶ τὴν στεγνότητα λύει. τὰ δὲ τοῦ ♄ τοῖς τοῦ ♂, τουτέστιν ὅσα ψύχει καὶ στεγνοῖ καὶ ἀποκρούει· ὅσα δὲ καρδιακὰ καὶ ἀρθριτικὰ καὶ ἀρτηριώδη καὶ τοιαῦτα πάθη, ὑπὸ ♂ καὶ ☉ γίνεται. στεγνοὶ δὲ πυρετοί, καὶ πλευρῖτις καὶ περιπνευμονία, καὶ ὅσα τοιαῦτα πάθη, ὑπὸ ♄ καὶ ☿ γίνεται. τούτοις οὖν ἐναντίως τὰ ψύχοντα, οἷον στρύχνος, κοτυληδών, ἄλφιτα, κόριον, σέρις, μήκωνος

ὀπός, ἀλικακάβου ῥίζης φλοιός, πολύγονον, ἀείζωον, ψύλλιον, φακὸς ὁ ἐν τοῖς ὕδασιν, ἀμπέλου φύλλα, ψιμύθιον, λιθάργυρος, λίθος αἱματίτης, ἀνδράχνη, ᾠῶν τὸ λευκόν, λινόσπερμον, κάλαμος, φύλλα μαλάχης, ῥοιά, ὑποκυστίς, κυπάρισσος, κισσοῦ φύλλα, βάτος, ἀκακία, μῆλα κυδώνια, ἄπια, ἀχράδες, στυπτηρία, οἰνάνθη, φοίνικες, βάλανοι, μύρτα, ῥοῦς, ῥόδα χλωρά, δάφνη, σχῖνος, λάδανον, κρόκος, ποταμογείτων.

### *ΠΕΡΙ ΘΕΡΜΑΙΝΟΝΤΩΝ.* 12

*Τὰ δὲ θερμαίνοντα, ὅσα ὑπὸ ♂ καὶ ☉ κυριεύονται, καὶ ἄλλα μὲν πολλά, μεθ' ὧν ἔλαιον κύπρινον, καὶ πάντα τὰ εὐώδη, οἷον ἴρινον μῦρον, κινάμωμον, σάμψυχον, νάρκισσος, τῆλις, νάρδος, σμύρνα, βδέλλιον, στύραξ, κηρός, ὤκιμον, κύμινον, πίσσα ὠμὴ καὶ ἑφθή, στέαρ, μυελός, χαλβάνη, ἶρις, κασία, ναρδόσταχυ, λίβανος, ἀμμωνιακόν, πήγανον, μυροβάλανον, ἰσχάδες, κόκκος κνίδιος, ἀφρόνιτρον, σταφὶς ἀγρία, ἄσιος λίθος, κύπειρος, κνίδης σπέρμα, ἀλκυόνιον, ἐλλέβορος, πύρεθρον, ἰοῦ λέπισμα, χρυσόκολλα, κρόμμυον, σκόροδα, πράσον, ῥάφανος, ἐρέβινθος. τούτοις οὖν χρήσεται ὁ ἰατρός, καὶ ὅσα τούτοις ὅμοια κατὰ τὸ θερμαίνειν εἰσὶ καὶ ἀναχαλᾶν, ἐφ' ὧν ἂν ἡ κατάκλισις ὑπὸ ♄ καὶ ☿ γένηται ἢ ἄλλο τι πάθος τούτοις ὑπὸ τούτων ἐπέλθῃ, καθὼς ἂν ἡ ☾ ὑποδεικνύει. τοῖς δὲ ψύχουσι καὶ ἀποκρουομένοις, ἐφ' ὧν ἂν ὑπὸ ♂ καὶ ☉ ἡ κατάκλισις γένηται, ἢ ἕτερόν τι πάθος τούτοις κατάρξηται.*

### ☾. ♈.

*Ὅταν οὖν κατακλιθῇ τις ☽ οὔσης ἐν ♈, ♄ διαμετροῦντος ἢ τετραγωνίζοντος, ἢ συνόντος αὐτῇ, μάλιστα τοῖς ἀριθμοῖς ἀφαιρούσης, καὶ τῷ φωτὶ λειπούσης, ἡ καταρχὴ* 14
*τῆς νόσου, ἀπὸ περιψύξεως ἐστί· καὶ ἔσται τοῦτο δῆλον, ἐκ τῆς κεφαλῆς, ἔσται γὰρ περὶ αὐτὴν βάρος, καὶ περὶ τὰ ὄμματα, καὶ βράγχοι, καὶ περὶ τὸν θώρακα ῥευματισμοί, σφυγμοὶ λεπτοὶ καὶ ἄτακτοι, καὶ νυκτεριναὶ ἐπιτάσεις [ἔντονοι] καὶ ἐν βάθει θερμασία πολλή· ἡ δὲ ἐπιφάνεια κατεψυγμένη, καὶ τὰ ἄκρα περιψυχόμενα, καὶ λειποθυμία,*

καὶ ἀνορεξία, καὶ ἱδρῶτες ἄκαιροι. τούτοις ἁρμόσει τὰ θερμαίνοντα καὶ ἀναχαλῶντα, καὶ τὴν κοιλίαν λύοντα· ἡ δὲ τοῦ αἵματος ἀφαίρεσις, ἄχρηστος. ὁ νοσῶν, ἀγαθοποιοῦ μὲν μήτε παρεμπλεκομένου τῇ ☾ μήτε τετραγωνίζοντος, μήτε διαμετροῦντος, οὐχ ὑπερβήσεται, ἀλλὰ τελευτήσει. ἀγαθοῦ δὲ παρεμπλεκομένου, νοσήσας ἱκανῶς σωθήσεται, ἢ μεταπεσεῖται ἀπὸ τῆσδε τῆς νόσου εἰς ἑτέραν, ἐμπεσὼν εἰς νυκτερινοὺς ἀποτροπιασμούς. ἐὰν δὲ καὶ ὁ ♂ τὸ αὐτὸ σχῆμα ἐπέχῃ πρὸς τὴν ☾, ἀπαραβάτως τελευτήσει, μέχρι τῆς διαμέτρου.

Ἐὰν δὲ ☾ οὔσης ἐν τῷ ♈ κατακλιθῇ τις, πρὸς τὴν ♂ καὶ τὸν ☉ οὕτω σχηματιζομένης· ἀπὸ κεφαλῆς ἔσται ἡ νόσος. καὶ τοῦτο δῆλον ἔσται ἐκ τοῦ τὰς μήνιγγας δοκεῖν παραλύεσθαι. ἔσονται δὲ καὶ πυρετοὶ συνεχεῖς, καὶ ἀγρυπνία, καὶ καυσῶδες τὸ στόμα, καὶ δίψης ἄμετρον, καὶ ταραχώδης ἡ γλῶσσα, θώρακος ἐκπυρώσεις καὶ ἥπατος φλεγμονή, σφυγμοὶ ἐπηρμένοι καὶ ἄτακτοι. τούτοις ἔσται ὠφέλιμος ἡ τοῦ αἵματος ἀφαίρεσις, καὶ προσαγωγαὶ πάντων τῶν δυναμένων ψύχειν καὶ παρηγορεῖν. ἔσται δὲ ἡ νόσος παρακοπὴ καὶ φρενῖτις. ὁ νοσῶν οὕτως, ἀγαθοποιοῦ μηδενὸς παρόντος τῇ ☾, ♄ δὲ παρεμπλεκομένου, μέχρι τῆς ☍ τελευτήσει, ἢ ἐν τῷ □ καὶ μάλιστα τοῖς ἀριθμοῖς προστιθείσης τῆς ☾. ἐὰν δὲ ἀγαθοποιὸς τὴν ☾ ἴδῃ, κινδυνεύσας σωθήσεται.

☾. ♉.

Ἐὰν δὲ ☾ οὔσης ἐν ♉ κατακλιθῇ τις, ♄ ὄντος ἐν ☍ ἢ □, ἢ συνόντος αὐτῇ μάλιστα ἀφαιρούσῃ τοῖς ἀριθμοῖς, καὶ τῷ φωτὶ λειπούσῃ ἔσται ἡ καταρχὴ τῆς νόσου, ἐκ κραιπάλης καὶ πλήθους· καὶ ἔσονται στεγνοὶ πυρετοί, τῶν τε ὑποχονδρίων πόνοι καὶ τῶν ἄρθρων, καὶ σφυγμοὶ ἐπηρμένοι καὶ ἄτακτοι, καὶ ὅλου τοῦ σώματος φλεγμονή, καὶ περιπνευμονία. τούτοις οὖν συμφέρει ἀφαίρεσις αἵματος καὶ πάντα τὰ δυνάμενα καθελεῖν τὴν ἕξιν. ἀγαθοποιῶν δὲ μὴ παρεμπλεκομένων, ὁ οὕτω νοσῶν, μέχρι τῆς ☍ ἀπαραβάτως τελευτήσει· ἀγαθοποιῶν δὲ παρόντων, καὶ τὴν ☾ ἐπιθεωρούντων, κινδυνεύσας σωθήσεται.

*Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♉ κατακλιθῇ τις ♂ συνόντος αὐτῇ, ἢ κατὰ ☍ ὄντος ἢ κατὰ □, ἔσται ἡ νόσος ἐκ πλήθους αἵματος, ἔσονται δὲ πυρετοὶ συνεχεῖς, καὶ στέγνωσις ὅλου τοῦ σώματος, καὶ πύρωσις ὅλου τοῦ τραχήλου, καὶ τῶν ὀστῶν ἀλγηδών, καὶ ἀγρυπνία ὑπερβάλλουσα, καὶ ἐπιθυμία οἴνου καὶ ψυχρῶν. τούτοις ἡ τοῦ αἵματος ἀφαίρεσις ὠφέλιμος, καὶ πάντα τὰ ἀναχαλῶντα. οὕτως οὖν ἔχοντος τοῦ ♂, μηδενὸς τῶν ἀγαθοποιῶν παρεμπλεκομένου, τὴν ἐνάτην οὐχ ὑπερβήσεται ἡμέραν. ἀγαθοποιῶν δὲ σχηματιζομένου, τῇ ἕκτῃ σωθήσεται.* 18

### ☾. ♊.

*Οὔσης δὲ τῆς ☾ ἐν ♊, ἐὰν κατακλιθῇ τις, ♄ συνόντος αὐτῇ, ἢ τετραγωνίζοντος, ἢ διαμετροῦντος, ἔσται ἡ καταρχὴ τῆς νόσου ἐξ ἀγρυπνίας ἢ ὁδοιπορίας, καὶ μάλιστα ἐὰν ἡ ☾ ἀφαιρεῖται τῷ φωτί· ἐξιέναι τὰ ἄρθρα δοκεῖ, καὶ κατὰ μικρὸν ἡ νόσος ἐμφαίνεται, ἢ καὶ ἀπὸ τῆς διὰ τρίτου ἄρχεται αὔξεσθαι μέχρι τῆς τριακοστῆς ἡμέρας. ἔσονται δὲ λεπτοὶ πυρετοί, καὶ καθαίρεσις ὅλου τοῦ σώματος, καὶ νυκτεριναὶ ἐπιτάσεις, σφυγμοί τε λεπτοὶ καὶ μικροί, ἱδρὼς καὶ ὀδύνη σπληνός. θεωροῦντος δὲ ♂, ἢ τὸ αὐτὸ σχῆμα ἔχοντος, μετὰ λʹ ἡμέρας τελευτήσει ὁ ἀσθενῶν. ἀγαθοποιῶν δὲ παρόντων, καὶ τῇ ☾ μαρτυρούντων, εἰς χρόνια πάθη* 20 *ἐμπεσοῦνται πλὴν σωθήσονται.*

*Ἐὰν δὲ ☾ οὔσης ἐν ♊ κατακλιθῇ τις, ♂ συνόντος ἢ τετραγωνίζοντος, ἢ διαμετροῦντος, τῆς ☾ αὐξομένης τοῖς τε ἀριθμοῖς καὶ τῷ φωτί, ἔσται ἡ νόσος ἐπισφαλὴς καὶ ἐπικίνδυνος· ἔσονται γὰρ πυρετοὶ συνεχεῖς, καὶ στεγνώσεις, καὶ καῦσοι, καὶ σφυγμοὶ ἐπηρμένοι καὶ ἄτακτοι. τούτοις συνοίσει ἡ τοῦ αἵματος ἀφαίρεσις. ἐὰν δὲ ἀγαθοποιὸς τὴν ☾ μὴ θεωρῇ, ♄ τὸ αὐτὸ σχῆμα ἐπέχοντος, ἄχρι τῆς διαμέτρου, τελευτήσει· ἐὰν δὲ ἀγαθοποιοὶ θεωρήσωσι τὴν ☾ κινδυνεύσας σωθήσεται.*

### ☾. ♋.

*Οὔσης δὲ τῆς ☾ ἐν ♋, ἐὰν κατακλιθῇ τις, ♄ συνόντος, ἢ διαμετροῦντος ἢ τετραγωνίζοντος· ἔσται ἡ καταρχὴ τῆς*

νόσου ἀπὸ βαλανείου καὶ περιψύξεως, ἢ καὶ περὶ τὸν θώρακα ῥευματισμός, καὶ βῆχες, καὶ στεγνώσεις, καὶ πυρετοὶ λεπτοί. τούτοις συνοίσει, πάντα τὰ θερμαίνοντα. ἀγαθοποιῶν δὲ μὴ θεωρούντων τὴν ☾, ἀλλὰ κακοποιῶν ἐπιμαρτυρούντων, κακοπαθήσας τελευτήσει.

Ἐὰν δέ τις κατακλιθῇ τῆς ☾ οὔσης ἐν ♋, ♂ συμπαρόντος ἢ τετραγωνίζοντος ἢ διαμετροῦντος· ἔσται ἡ
22 καταρχὴ τῆς νόσου ἀπὸ αἵματος καὶ χολέρας, καὶ στομάχου ἀνατροπῆς. τούτοις ἁρμόσει πάντα τὰ ψύχοντα. ἐὰν δὲ ἀγαθοποιοὶ μὴ ἐπιθεωρῶσι, ἐπὶ τὴν πρώτην □ τελευτήσει. ἐὰν δὲ ἀγαθοποιὸς τὴν ☾ θεωρήσῃ, μετὰ τὴν πρώτην □ σωθήσεται.

☾. ♌.

Ἐὰν δὲ ☾ οὔσης ἐν ♌ κατακλιθῇ τις, ♄ συνόντος, ἢ τετραγωνίζοντος, ἢ διαμετροῦντος, ἔσται ἡ καταρχὴ τῆς νόσου ἐπὶ πλήθει αἵματος, καὶ θερμότης περὶ ὅλον τὸν θώρακα, καὶ τῶν ὑποχονδρίων ἐντάσεις, καὶ πυρετοὶ ἐπιτεταμένοι, καὶ σφυγμοί, καὶ ἐν βάθει θερμασίαι, καὶ ἐν τῇ ἐπιφανείᾳ. τούτοις ἁρμόσει πάντα τὰ θερμαίνοντα, καὶ χαλῶντα. ἐὰν δὲ ἀγαθοποιὸς μὴ ἐπιθεωρήσῃ τὴν ☾, μέχρι τῆς ☍ τελευτήσει. ἐὰν δὲ ἀγαθοποιοὶ θεωρήσωσι τὴν ☾, πολλὰ κακοπαθήσας σωθήσεται.

Ἐὰν δὲ ☾ οὔσης ἐν ♌ κατακλιθῇ τις, ♂ συνόντος ἢ τετραγωνίζοντος ἢ διαμετροῦντος, ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ πλήθους αἵματος καὶ ἔσονται πυρετοὶ ῥοώδεις καὶ σφυγμοὶ ἄτονοι, καὶ λειποθυμίαι, καὶ ἀνορεξίαι, καὶ βάρος καὶ καταφορά, καὶ πάρεσις τοῦ παντὸς σώματος, καὶ καρδιακαὶ διαθέσεις. τούτοις ἁρμόσει πάντα τὰ στεγνοῦντα
24 καὶ ψύχοντα. ἐὰν δὲ μηδεὶς ἀγαθὸς ἐπιθεωρήσῃ τὴν ☾, μέχρι τῆς ἐνάτης ἡμέρας τελευτήσει. ἐὰν δὲ ἀγαθοποιοὶ θεωρήσωσι, μέχρι τῆς ☍ κινδυνεύσας σωθήσεται.

☾. ♍.

Οὔσης δὲ τῆς ☾ ἐν ♍, ἐὰν κατακλιθῇ τις, ♄ ὄντος σὺν αὐτῇ, ἢ διαμετροῦντος, ἢ τετραγωνίζοντος, ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ βραδυπεψίας καὶ ὠμότητος περὶ τὴν κοι-

λίαν, καὶ περὶ τὰ ἔντερα στρόφοι, καὶ τὰ ὑποχόνδρια, καὶ πυρετοὶ στεγνοί, καὶ ἀνωμαλίαι. τούτοις ἁρμόσει πάντα τὰ θερμαίνοντα καὶ ἀναχαλῶντα. ἐὰν δὲ ἀγαθοποιὸς μὴ ἐπιθεωρήσῃ, περὶ τὴν ιδ΄ ἡμέραν τελευτήσει. ἐὰν δὲ ἀγαθοποιοὶ ἐπιθεωρήσωσι τὴν ☾, σωθεὶς πολυχρόνιος ἔσται, πλὴν ἐμπαθής.

Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♍ κατακλιθῇ τις, ♂ συνόντος αὐτῇ, ἢ διαμετροῦντος ἢ τετραγωνίζοντος, ἡ νόσος ἔσται ἀπὸ ῥύσεως τῆς κοιλίας καὶ ἑλκώσεως τῶν ἐντέρων, πυρετοί τε λεπτοὶ καὶ ῥοώδεις, καὶ σφυγμοὶ ἄτονοι καὶ πυκνοί, ἀνορεξία τε καὶ τοῦ στομάχου ἀνατροπή. τούτοις ἁρμόσει πάντα τὰ στεγνοῦντα. ἐὰν δὲ ἀγαθοποιὸς μὴ ἐπιθεωρήσῃ τὴν ☽, ἐν τῇ τριακοστῇ ἡμέρᾳ τελευτήσει. ἐὰν δὲ ἀγαθοποιοὶ θεωρήσωσι, σωθήσεται.

☽. ♎.

Οὔσης δὲ τῆς ☽ ἐν ♎, ἐὰν κατακλιθῇ τις, συνόντος αὐτῇ ♄ ἢ τετραγωνίζοντος ἢ διαμετροῦντος, ἡ καταρχὴ τῆς νόσου ἐξ οἰνοποσίας ἔσται καὶ κραιπάλης, καὶ μάλιστα ἐὰν ἀφαιρῇ τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς, καὶ νυκτερινὴ γένηται ἡ κατάκλισις. ἔσται δὲ καὶ ἐπὶ τὴν κεφαλὴν καὶ ἐπὶ τὸν θώρακα πάθη καὶ ῥευματισμοί, καὶ βῆχες καὶ βράγχοι, καὶ βάρος περὶ τὸ στῆθος, καὶ ἀνορεξία, καὶ δυσεπισημασίαι νυκτεριναί, καὶ συνεχεῖς πόνοι, καὶ ἄτονοι σφυγμοί. τούτοις ἁρμόσει πάντα τὰ θερμαίνοντα, καὶ ἐὰν ἡ ☽ ἀνεπιθεώρητος ᾖ ὑπὸ πάντων, κινῆται δὲ τὰ μάλιστα, ἐπὶ τὸ κατὰ διάμετρον ἐλθοῦσα καὶ σημασίαν ποιησαμένη, λύει τὴν νόσον. ἐὰν δὲ ἐπὶ τὰ ἄρρενα κινῆται, μέχρις οὗ ἑσπεριάσῃ τὸν κύκλον, ἀνωμάλως νοσῶν, καὶ πυκνότερον ἀνατροπιάζων σωθήσεται. ἐὰν δὲ μόλις κινουμένης, καὶ ἀνεπιθεωρήτου οὔσης, ἢ κατὰ πρόσθεσιν, ἢ κατὰ ἀφαίρεσιν, ἢ καθ᾽ ὁποῖον δηποτοῦν τρόπον, αἱμορροήσει, τούτοις ἡ περίοδος τὸ πάθος λύσει. ὠχροὶ δὲ ἢ μελάγχροοι ἐπὶ πολὺν χρόνον ἔσονται. οὐδὲν δὲ ἧττον διασώζονται. ἐὰν δὲ ὁ ♂ τὸ αὐτὸ σχῆμα ἐπισχῇ, κατὰ τὸ τετράγωνον, ἀπαραβάτως τελευτήσει.

Ἐὰν δὲ ☽ οὔσης ἐν ♎ κατακλιθῇ τις, ♂ συνόντος αὐτῇ ἢ διαμετροῦντος ἢ τετραγωνίζοντος, ἔσται ἡ νόσος ἀπὸ
28 πλήθους αἵματος, καὶ ἔσονται πυρετοὶ ἐπιτεταμένοι, καὶ σφυγμοὶ ἐπηρμένοι, καὶ ἀγρυπνία, καὶ περὶ ὅλον τὸ σῶμα φλεγμονή. τούτοις ἁρμόσει τοῦ αἵματος ἀφαίρεσις, καὶ πάντα τὰ δυνάμενα καθαιρεῖν τὴν ἕξιν. ἀγαθοποιοῦ δὲ μὴ ἐπιθεωροῦντος, μέχρι τῆς διαμέτρου κινδυνεύσει. ἐὰν δὲ ἀγαθοποιὸς θεωρήσει, κινδυνεύσας σωθήσεται.

☾. ♏.

Οὔσης δὲ τῆς ☾ ἐν ♏, ἐὰν κατακλιθῇ τις, ♄ συνόντος αὐτῇ, ἢ διαμετροῦντος, ἢ τετραγωνίζοντος, ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ ἑλκώσεως, ἢ βουβώνων, ἢ τόπων κρυφίων, τουτέστι δακτυλίου, ἢ αἰδοίου. ἐὰν οὖν προστιθῇ ἡ ☾ τοῖς ἀριθμοῖς καὶ τῷ φωτί, σωθήσεται ὁ νοσῶν.

Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♏, ♂ συνόντος αὐτῇ ἢ τετραγωνίζοντος ἢ διαμετροῦντος, λειπούσης μέντοι καὶ τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς, ἀγαθοποιοῦ ἐπιθεωροῦντος, σωθήσεται. ὁ αὐτὸς τρόπος νοείσθω καὶ ἐπὶ τούτου τοῦ ζωδίου, ὥσπερ καὶ ἐπὶ τῶν λοιπῶν, εἴπερ τὰ αὐτὰ σχήματα ἔχει ἡ ☾.

☾. ♐.

Οὔσης δὲ τῆς ☾ ἐν ♐, ἐὰν κατακλιθῇ τις, ♄ συνόν-
30 τος αὐτῇ ἢ τετραγωνίζοντος, ἢ διαμετροῦντος· ἔσται ἡ καταρχὴ τῆς νόσου ἐκ ῥύσεως, καὶ ῥευμάτων λεπτῶν καὶ δριμέων, καὶ ἀλγηδόνες ἐν τοῖς ἄρθροις, καὶ ῥίγοι καὶ πυρετοί, καὶ περιψύξεις τῶν ἄκρων· καὶ μάλιστα τῆς ☽ τοῖς ἀριθμοῖς καὶ τῷ φωτὶ ἀφαιρούσης. ἁλώσεται γὰρ διπλαῖς ἐπισημασίαις, καὶ ἔσονται δεδοικότες. τούτοις ἁρμόσει τὰ ἀναχαλῶντα, καὶ θερμαίνοντα. ἐὰν δὲ ἀγαθοποιοὶ ἐπιθεωρήσωσι τὴν ☾, κινδυνεύσας σωθήσεται.

Ἐὰν δὲ ☾ οὔσης ἐν ♐, συνόντος ♂, ἢ διαμετροῦντος, ἢ τετραγωνίζοντος, τῷ φωτὶ αὐξούσης τῆς ☽ καὶ τοῖς ἀριθμοῖς, ἔσται ἡ νόσος ἐπισφαλής. ἔσται γὰρ ἀπὸ πλήθους καὶ κραιπάλης, καὶ ἔσονται πυρετοὶ ῥοώδεις, καὶ χολερικὰ πάθη, καὶ κοιλίας ῥύσεις, καὶ σφυγμοὶ ἄτονοι. τού-

τοις ἁρμόσει πάντα τὰ ψύχοντα, καὶ στεγνοποιοῦντα. ἐὰν δὲ ἀγαθὸς μὴ ἐπιθεωρήσῃ τὴν ☽ τῇ ζ′ ἡμέρᾳ, ἀναιρεθήσεται. ἐὰν δὲ ἀγαθοποιὸς θεωρήσῃ, εἰς τὸ κατὰ διάμετρον κινδυνεύσας σωθήσεται.

☾. ♑.

Οὔσης δὲ τῆς ☾ ἐν ♑, ἐὰν κατακλιθῇ τις ἀφαιρούσης τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς, ♄ συνόντος αὐτῇ, ἢ τετραγωνίζοντος, ἢ διαμετροῦντος, ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ ψύξεως βαλανείου, καὶ ῥευμάτων λεπτῶν, καὶ 30 περὶ τὸν θώρακα βάρος. καὶ περὶ τὸν πνεύμονα, βηχὸς ἐπιτάσεις νυκτεριναί, καὶ πυρετοὶ ἐπιτεταμένοι. τούτοις ἁρμόσει τὰ ἀναχαλῶντα καὶ θερμαίνοντα. ἐὰν δὲ ἀγαθοποιὸς ἐπιθεωρήσῃ τὴν ☾, ἔσται τὸ πάθος πολυχρόνιον, οὐ μέντοι τελευτήσει.

Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♑ κατακλιθῇ τις, ♂ συνόντος αὐτῇ, ἢ τετραγωνίζοντος ἢ διαμετροῦντος, ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ ἐμέτου τῆς χολέρας, ἢ βραδυπεψίας. ἔσται δὲ ἡ νόσος ἐπικίνδυνος, καὶ ἀνορεξία, καὶ νεύρων σύστασις, καὶ κοιλίας ῥύσεις, καὶ περὶ τὸν δάκτυλον δριμύτης, καὶ ἕλκωσις, καὶ πυρετοὶ συνεχεῖς καὶ ῥοώδεις, καὶ σφυγμοὶ ἄτονοι, καὶ περὶ τὸν θώρακα ἐκπύρωσις. τούτοις ἁρμόσει τὰ στύφοντα καὶ στεγνοῦντα. ἐὰν δὲ μὴ ἀγαθοποιοὶ θεωρήσωσι τὴν ☾, ἐν τῇ διαμέτρῳ τελευτήσει. ἐὰν δὲ ἀγαθοποιοί, μετὰ τὴν ἑβδόμην σωθήσεται.

☾. ♒.

Ἐὰν δέ τις κατακλιθῇ τῆς ☾ οὔσης ἐν ♒, προστεθείσης ἢ ἀφαιρούσης τοῖς ἀριθμοῖς καὶ τῷ φωτί, ♄ συνόντος αὐτῇ ἢ διαμετροῦντος ἢ τετραγωνίζοντος, ἡ καταρχὴ τῆς νόσου ἀπὸ κόπου ἔσται ἢ ἀγρυπνίας, ἢ ὁδοιπορίας, καὶ ἔσται ἐν ἐπιτάσει καὶ ἀνέσει, καὶ μέχρι τῆς ☍ σωθήσεται. καὶ μάλιστα ἐὰν ἀγαθοποιοὶ τὴν ☾ ἐπιθεωρήσωσιν. 33

Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♒, κατακλιθῇ τις, τοῖς ἀριθμοῖς ἀφαιρούσης καὶ τῷ φωτί, ♂ συνόντος αὐτῇ, ἢ διαμετροῦντος ἢ τετραγωνίζοντος, ἔσται ἡ νόσος τῶν ὀξυτάτων παθῶν, πλὴν κινδυνεύσας σωθήσεται ἀπὸ ἐννεαδεκάτης ἡμέρας, καὶ μάλιστα ἀγαθοποιῶν ἐπιμαρτυρούντων.

☾. ♓.

Ἐὰν δέ τις κατακλιθῇ τῆς ☾ οὔσης ἐν ♓, καὶ τῷ φωτὶ ἀφαιρούσης καὶ τοῖς ἀριθμοῖς, ♄ συνόντος αὐτῇ, ἢ διαμετροῦντος ἢ τετραγωνίζοντος, ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ περιψύξεως βαλανείου καὶ ῥευμάτων. ἔσονται γὰρ τῷ ἀνθρώπῳ ψύξεις καὶ συχνοὶ πυρετοί, καὶ ἐπισημασίαι πυκναί, καὶ στένωσις, καὶ νυγμοί, καὶ τῶν μασθῶν καὶ τῶν ὑποχονδρίων ἐντάσεις. ἁρμόσει δὲ τούτοις πάντα τὰ θερμαίνοντα καὶ ἀναχαλῶντα. ἐὰν δὲ ἀγαθοποιοὶ μὴ ἐπιθεωρήσωσι τὴν ☾, ἐν τῷ ☍ τελευτήσει, ἀγαθοποιῶν δὲ θεωρησάντων, τὴν ☍ παραλλάξας σωθήσεται. πλὴν ἕξει πολυχρόνιον αἴσθησιν περὶ τὰ νεῦρα.

Ἐὰν δὲ τῆς ☾ ἐν ♓ οὔσης, τοῖς τε ἀριθμοῖς προστεθείσης καὶ τῷ φωτί, ♂ συνόντος αὐτῇ, ἢ διαμετροῦντος, ἢ τετραγωνίζοντος, ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ πλή-
36 θους ἢ οἰνοποσίας, διὸ καὶ αὔξεται ἡ νόσος ἐπιτάσεσι νυκτεριναῖς· ἔσται γὰρ πύρωσις τοῦ σώματος, καὶ παραγωγὴ τῶν λογισμῶν, καὶ φρενῖτις, καὶ περὶ τὴν κεφαλὴν κάκωσις, καὶ πυρετοὶ καυσώδεις, καὶ δίψα σφοδρά, καὶ οἴνου ἐπιθυμία. τούτοις ἁρμόσει ἀφαίρεσις αἵματος, καὶ πάντα τὰ δυνάμενα τὴν ἕξιν καθελεῖν. εἰ μὲν οὖν ἀγαθοποιοὶ μὴ ἐπιθεωρήσωσι τὴν ☾, ἐν τῷ πρώτῳ □ τελευτήσει. ἐὰν δὲ τῆς ☽ οὔσης μετὰ τοῦ ♃, ἢ τῆς ♀, ἢ διαμετρούντων ἢ τετραγωνιζόντων, κἂν ἐν οἱῳδήποτε ζῳδίῳ κατακλιθῇ τίς, μέχρι τῆς πρώτης □ ἢ ☍ νοσήσας σωθήσεται. πολὺ δέ τι καὶ ἡ ὥρα συμβάλλεται ἐν τῇ κατακλίσει. ἐὰν γὰρ ὡροσκοπῶσιν ἢ μεσουρανῶσιν οἱ ἀγαθοποιοί, τῆς ☽ οὔσης μετὰ τῶν κακοποιῶν, συναντιλήψονται τῷ ἀρίστῳ ἰατρῷ εἰς τὰ περὶ τῆς ζωῆς βοηθήματα. ἐξετάζειν οὖν δεῖ τὴν ἡμέραν καὶ τὴν ὥραν τῆς κατακλίσεως, καὶ συνορᾶν τὸν κόσμον, πῶς διάκειται. χωρὶς γὰρ τῆς κοσμικῆς συμπαθείας, τοῖς ἀνθρώποις οὐδὲν ἐπιγίνεται.